DIE GRIECHISCHEN

CHRISTLICHEN SCHRIFTSTELLER

DER

ERSTEN DREI JAHRHUNDERTE

HERAUSGEGEBEN VON DER KIRCHENVÄTER-COMMISSION
DER PREUSSISCHEN AKADEMIE DER WISSENSCHAFTEN

ORIGENES

ZEHNTER BAND




LEIPZIG
J. C. HINRICHS'sche BUCHHANDLUNG
1935



IN DER REIHENFOLGE DES ERSCHEINENS BAND 40

DRUCK VON C. SCHULZE & CO., G. M. B. H., GRÄFENHAINICHEN



HERMANN UND ELISE GEB. HECKMANN
WENTZEL-STIFTUNG

ORIGENES WERKE

ZEHNTER BAND

ORIGENES MATTHÄUSERKLÄRUNG

I

DIE GRIECHISCH ERHALTENEN TOMOI

HERAUSGEGEBEN
IM AUFTRAGE DER KIRCHENVÄTER-COMMISSION
DER PREUSSISCHEN AKADEMIE DER WISSENSCHAFTEN

UNTER MITWIRKUNG VON


LIC. DR. ERNST BENZ

VON

D. DR. ERICH KLOSTERMANN



LEIPZIG
J. C. HINRICHS'SCHE BUCHHANDLUNG
1935



Printed in Germany

Vorbemerkung

Nach dem ursprünglichen Plane war Erwin Preuschen die Herausgabe der gesamten exegetischen Arbeiten des Origenes zum Neuen Testament zugefallen. So hat denn auch er selbst nach Erscheinen des Johanneskommentars noch die ersten Schritte zur Edition der Tomoi zum Matthäus getan. Aus seinem Nachlaß kamen an mich die vollständigen Photographien der beiden führenden griechischen Handschriften, eine Lommatzschausgabe mit eingetragenen Kollationen, sowie ein Heft mit Beobachtungen zur Katenenüberlieferung. Es ziemt sich, hier mit Dankbarkeit des unermüdlichen Vorgängers zu gedenken, dessen Vorarbeiten mir als erste Grundlage dienten, nachdem ich die Lösung der von ihm hinterlassenen Aufgabe übernommen hatte. Im übrigen werden die Benutzer dieses Bandes gebeten, da eine ausführliche Einleitung für den abschließenden in Aussicht genommen ist, sich mit der folgenden kurzen Einführung zu begnügen: sie faßt das Ergebnis der 1931/32 erschienenen Vorstudien aus den Texten und Untersuchungen Band 47, 2 und 47, 4 ganz knapp zusammen.

In direkter griechischer Überlieferung sind von den ursprünglichen 25 Tomoi des Matthäuskommentars auf uns gekommen nur acht Bücher aus der Mitte, nämlich die Tomoi X—XVII. Zwei voneinander unabhängige, freilich sehr nah verwandte und verhältnismäßig junge Handschriften sind die Zeugen. Nämlich die gleiche Münchener Bombycinhandschrift, cod. gr. 191 s. XIII, aus der schon 1903 von Preuschen der Johanneskommentar herausgegeben wurde, und daneben eine von Erasmus als Ladenburgensis, von Huet als Holmiensis benutzte Papierhandschrift s. XIV, die auch die zuletzt 1899 von Koetschau edierte Schrift *περὶ εὐχῆς* enthält, nämlich der jetzige cod. Cantabrigiensis Coll. S. Trinit. 194 = B. 8. 10. Neben diesen hat schon der im Jahre 1374 geschriebene Venetus Marc. 43 im allgemeinen keine Bedeutung mehr, da er nichts anderes sein dürfte als eine mit eigenmächtigen Verbesserungen des Ab-

schreibers ausgestattete Kopie des Monacensis. Der Venetus ist also als Zeuge nur da heranzuziehen, wo seine ehemalige Münchener Vorlage inzwischen noch Verluste erlitten hat, wie durch den Ausfall von Blättern am Anfang, vgl. S. 1—4 und 22—25 dieser Ausgabe. Ganz unberücksichtigt bleiben darf das sonst noch vorhandene halbe Dutzend griechischer Handschriften aus dem XV.—XVII. Jahrhundert, die alle irgendwie aus unsern beiden Hauptcodices geflossen und daher ohne jeden selbständigen Wert sind.

Allerdings einfach mit Hilfe der Photographien des Monacensis und des Cantabrigiensis die beiden zugrunde liegende Vorlage herzustellen und an den dazu nötigenden Stellen zu emendieren, bliebe ein ganz unzureichendes Verfahren. Denn offenbar ist nun diese ganze direkte griechische Überlieferung in einem schwer vorstellbaren Maße nicht nur verdorben, sondern vor allem lückenhaft[1]). Das konnten in einzelnen Fällen schon die von meinen Vorgängern nur sehr selten herangezogenen griechischen Katenen und Scholienkommentare zu den Evangelien lehren, deren Verfasser noch das vollständige Werk des Origenes vor sich gehabt und reichliche Auszüge aus ihm gerettet hatten. Mit voller Sicherheit aber ergab es sich für den, der einmal die von Tomos XII, 9 ab neben den griechischen Handschriften herlaufende, vermutlich im 6. Jahrhundert angefertigte lateinische Übersetzung eingehend verglich. Hier fand sich nicht nur für die meisten Unverständlichkeiten der griechischen Handschriften die einleuchtende Verbesserung. Hier erschien auch, neben mancherlei zufälligen Auslassungen oder beabsichtigten Kürzungen, ebenso oft dem Griechen gegenüber eine ausführlichere Textgestalt von offensichtlicher Ursprünglichkeit. Dieser Befund erklärte sich doch nicht mit der z. B. von Harnack wie von Zahn empfohlenen Vermutung, der Lateiner übersetze eine andere, ebenfalls von Origenes selbst herrührende Ausgabe des Werkes. Er mußte vielmehr zu der Überzeugung führen, daß der eine Matthäuskommentar erst im Laufe der Zeiten in diese zwei außerordentlich verschiedenen Gestalten auseinander gegangen ist. Damit aber war dem Herausgeber von heute eine bisher noch nicht gelöste Aufgabe gestellt.

Gewiß haben die alten Ausgaben etwas geleistet. Es ist auch verständlich, wenn die editio princeps des lateinischen Matthäuskommentars, die J. Merlin 1512 fertig stellte, auf die griechische

---

[1]) Das war bei dem in Band IV von Preuschen herausgegebenen Johanneskommentar nicht in diesem Maße deutlich zu sehen gewesen.

Überlieferung keinerlei Rücksicht nahm. Schwerer begreiflich schon, daß der erste und bis heute einzige wirkliche Editor des griechischen Textes, P. D. Huet, sich noch 1668 entsprechend zurückhaltend gegenüber dem Lateiner verhalten hat. Huet, der neben seinem codex Holmiensis auch noch die Varianten der ihm sonst bekannt gewordenen griechischen Handschriften benutzte, verstand Griechisch und kannte zudem seinen Origenes. So hat er wohl die griechische Überlieferung an manchen Stellen glücklich zu verbessern vermocht; aber des überlieferten Lateiners hat er sich dabei nur sehr gelegentlich bedient, um eine sichtliche Unmöglichkeit des Griechen mit seiner Hilfe zurechtzustellen. Der Gedanke, ihn dauernd zu vergleichen, hat ihm so fern gelegen, daß er vielmehr seinem griechischen Text eine selbstgefertigte neue lateinische Version zur Seite stellte. In der großen Maurinerausgabe des Origenes befindet sich der Matthäuskommentar im dritten, nach dem Tode Ch. de la Rues 1740 erschienenen Bande. De la Rues Textherstellung bringt keine sehr wesentlichen Fortschritte über Huet hinaus, der auch darin zum Vorbild dienen muß, daß seine moderne lateinische Übersetzung dem griechischen Text beigegeben bleibt. Nur darin wagt de la Rue eine wichtige Neuerung, daß er nämlich gleichzeitig auch noch die alte lateinische Übersetzung bringt — freilich unter dem Text, womit sie dann doch wieder gewissermaßen kalt gestellt ist. Während der Abdruck in Mignes Patrologie de la Rue getreulich folgt, bietet schließlich Lommatzsch in seiner Ausgabe von 1834/35 wieder nur den griechischen Text mit meist aus den Vorgängern übernommenen Anmerkungen, denen er immerhin noch eine von H. Petermann besorgte zuverlässige Vergleichung des Venetus Marc. gr. 43 beigeben kann. Aber Lommatzsch hat eben nicht nur die moderne Übersetzung Huets wieder fortgelassen, sondern auch die von de la Rue hinzugefügte alte lateinische, als ob aus ihr nichts weiter zu gewinnen gewesen wäre. Sein stolzes „denuo recensuit, emendavit, castigavit" behauptet schon aus diesem Grunde viel zu viel.

Die Aufgabe des gegenwärtigen Herausgebers bestand den nach nicht bloß darin, für den griechischen Text, wie andererseits und ganz besonders für den lateinischen[1]) auf Grund einer besseren Ausnutzung des Handschriftenbestandes die älteste erreichbare Gestalt herauszuarbeiten. Er hatte darüber hinaus zum ersten Male die beiden Rezensionen wirklich ineinander zu arbeiten. Zwei Wege

---

[1]) Siehe dazu auch die Vorbemerkung zu Band XI, 1933.

boten sich hier an. Es hätte schließlich gewagt werden können, mit Hilfe der griechischen Überlieferung und der lateinischen Übersetzung die vor beiden zu vermutende griechische Urgestalt einfach zu rekonstruieren. Das würde dem einst aufgestellten Grundsatz der Kirchenväterkommission entsprochen haben, Übersetzungen nur da zu bringen, wo die griechischen Originale fehlen. Indessen war ein solches Verfahren schon bei Gelegenheit der Jeremiahomilien des Origenes lebhaftestem Widerspruch begegnet. Man bemängelte damals, daß der Leser des griechischen Textes die lateinische Wiedergabe des Hieronymus nicht gleichzeitig im ganzen übersehen konnte, sondern sich entweder mit ihren im Apparat gebotenen Lesarten begnügen, oder selbst den freilich nicht schwer erreichbaren Hieronymustext daneben legen sollte. Bei dem Matthäuskommentar hätten sich solche Einwände noch wesentlich verschärfen müssen. Denn hier gingen eine durch mehrere Zwischenglieder von dem Archetyp getrennte junge, stark verdorbene und verkürzte griechische Überlieferung auf der einen Seite, auf der andern eine z. T. wohl auch kürzende und manchmal irrende, aber im Grunde doch auf Wörtlichkeit eingestellte recht alte lateinische Übersetzung in erstaunlicher Weise auseinander. Eine bloße Buchung von Varianten des Lateiners hätte gewaltige Ausmaße annehmen müssen, ohne doch erschöpfend zu sein und ohne überhaupt eine Vorstellung von dem Sachverhalt im ganzen zu vermitteln. Und den Leser auf eigenes Danebenlegen einer der älteren Ausgaben des Lateiners zu verweisen, verbot sich bei der Seltenheit und Minderwertigkeit dieser Drucke von selbst. Also mußten hier auf jeden Fall beide Textformen, die griechische und die lateinische, in ihrer Ganzheit in Parallelkolumnen geboten werden. Bei einem solchen Verfahren mußten dann die erheblichen Lücken und Überschüsse jedes der beiden Teile ohne weiteres in die Augen springen, und es bedurfte nur in weniger deutlichen Fällen noch der Setzung des besonderen Lückenzeichens (***). Es konnte dann auch davon abgesehen werden, die Ergebnisse einer bis ins einzelne durchgeführten Vergleichung der beiden Textformen im Apparat in extenso vorzuführen, zumal dieser sonst ins Unförmliche hätte anschwellen müssen. Es konnten schließlich auch die jeweils auf Grund der einen Parallelüberlieferung in dem Text der andern zu machenden Verbesserungen im Apparat kurz und einfach durch ein „vgl. gr." oder „vgl. lat." begründet werden. Wie weit freilich dieses Emendieren selbst zu treiben war, konnte Zweifeln unterliegen. Grundsätzlich zurückhaltender hätte sein müssen, wer der Vermutung von einer doppelten Ausgabe des

Origenes selbst anhing. Wer umgekehrt den Griechen wie den Lateiner letztlich auf eine und dieselbe Urgestalt zurückführen zu müssen glaubte, sah sich fortwährend zu starken Eingriffen in beide Textformen angereizt.

Auf diesem Standpunkt habe nicht nur ich gestanden, sondern ebenso Diehl-Halle und Koetschau-Weimar, deren dauernder Beratung und wahrhaft aufopfernder Mitarbeit ich mich auch bei diesem Band erfreuen durfte. Aufgenommen sind in Text und kritischen Apparat allerdings nur diejenigen Verbesserungen, die mir, bei aller Anerkennung des Eigenlebens jeder der beiden Rezensionen, doch unbedingt notwendig und evident oder wenigstens hochwahrscheinlich erschienen. Manche sehr beachtliche, z. T. erst während der Revisionen hinzugekommene Vorschläge mußten für die Nachträge aufgespart werden. Daß auch weiterhin „wer suchen will im dunklen Tann, manch Waffenstück noch finden kann", hat gleich die sorgfältige Superrevision von Eltester-Berlin bewiesen. Souter-Aberdeen hatte wiederum die große Güte, die von mir angeführten Parallelen aus dem Matthäuskommentar des Hieronymus nach seiner in Vorbereitung befindlichen neuen Ausgabe zu revidieren. Außer den Genannten habe ich zu danken für ihre dauernde Hilfe bei der Herstellung dieser Ausgabe, die für den griechischen wie den lateinischen Text noch einmal eine editio princeps bedeutet, und für ihre Unterstützung bei der Korrektur, diesem fortwährenden Kampf mit dem Irrtum in jeglicher Gestalt, meinem ständigen Mitarbeiter Benz-Marburg, Rauer-Sommerfeld, Lic. des. Maaß-Halle und cand. theol. Heyer-Halle. Dafür, daß die Vorarbeiten in einer patristischen Sonderabteilung unseres theologischen Seminars geleistet werden konnten, gebührt der Dank dem Ministerium für Wissenschaft, Erziehung und Volksbildung.

Halle, den 31. Juli 1935

Erich Klostermann

Sigelverzeichnis

1. Griechische Handschriften

M cod. Monacensis gr. 191 s. XIII.
H cod. Cantabrigiensis Coll. S. Trinit. 194 = B. 8. 10 s. XIV.
V cod. Venetus Marc. gr. 43 a. 1374.

Korrekturen in den Hss. z. B.: Mª Lesart des Schreibers, Mc Verbesserung von gleicher oder etwa gleichzeitiger Hand, $M^{c.\,r.}$ Verbesserung späterer Zeit.

2. Lateinische Zeugen

a) Gruppe der Handschriften älterer Textgestalt

R Lesarten des ehemaligen cod. Remensis s. IX (VIII?), soweit aus de la Rues Angaben zu erschließen.
G cod. Rothomagensis (= Gemmeticensis) 423 s. X.
B cod. Brugensis 58 (301) s. XII.

b) Vertreter der Handschriften jüngerer Textgestalt

L cod. Londinensis Mus. Brit. add. 26761 s. XII.

x consensus der Gruppen G B L (x*, wo R hinzutritt).
y consensus der Gruppe G B (y*, wo R hinzutritt).

Pasch der Matthäuskommentar des Paschasius Radbertus ed. Sirmond 1618.

3. Griechische Fragmente

C Origenesfragmente verschiedener Evangelienkatenen C^b, C^c, C^l, C^v, C^{marc}, C^{luc}, vgl. TU. 47, 2, 1931 (C^b = Berol. gr. quart. 77 s. XII).
B Anonyme Exzerpte im Scholienkommentar des „Viktor von Antiochien" zum Markus ed. Matthaei 1775 (einzelnes auch in Cramers Catenae I 1844), vgl. TU. 47, 4, 1932.
H Anonyme Exzerpte im Scholienkommentar des „Petrus von Laodicea" zum Matthäus ed. Heinrici 1908.

4. Angeführte Ausgaben

μ lateinische Erstausgabe des Jac. Merlin Bd. III/IV, Paris 1512.
ν griechische Erstausgabe des P. D. Huet Bd. I, Rouen 1668.
ρ griechisch-lateinische Ausgabe de la Rues Bd. III, Paris 1740 (Bd. IV, 1759); de la Rues Seitenzahlen werden am Rande vermerkt.
λ griechische Ausgabe Lommatzschs, Bd. 3—5, Berlin 1834/35.

5. Sonstiges

Benz	= Ernst Benz	Kl	= Erich Klostermann
Diehl	= Ernst Diehl	Koe	= Paul Koetschau
Elt	= Walther Eltester	Lo	= C. H. E. Lommatzsch
Hu	= P. D. Huet	Ru	= Ch. de la Rue

gr.	= griechischer Text	lat.	= lateinischer Text
+	= fügt hinzu	[ ]	= zu tilgen
<	= läßt aus	〈 〉	= einzusetzen
~	= stellt um	***	= Lücke

Ὠριγένους ἐκ τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν τόμος ι'.

| 1. *Τότε ἀφεὶς τοὺς ὄχλους ἦλθεν εἰς τὴν οἰκίαν αὐτοῦ. καὶ* 442
προσῆλθον ⟨αὐτῷ⟩ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· φράσον ἡμῖν
τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ (13, 36 [—43]).

Ὅτε μὲν μετὰ τῶν ὄχλων ἐστὶν ὁ Ἰησοῦς, οὐκ ἔστιν αὐτοῦ ἐν τῇ οἰκίᾳ,
5 ἔξω γὰρ τῆς οἰκίας οἱ ὄχλοι· καὶ τῆς φιλανθρωπίας αὐτοῦ ἔργον ἐστὶ κα-
ταλιπεῖν τὴν οἰκίαν καὶ ἀπιέναι πρὸς τοὺς μὴ δυναμένους ἥκειν πρὸς αὐτόν.
αὐτάρκως δὲ τοῖς ὄχλοις διαλεχθεὶς ἐν παραβολαῖς ἀφίησιν αὐτοὺς καὶ
ἔρχεται εἰς τὴν ἑαυτοῦ οἰκίαν, ἔνθα *προσέρχονται αὐτῷ οἱ μαθηταὶ*
αὐτοῦ, οὐκ ἀπομείναντες μετὰ τῶν ἀφεθέντων ὑπ' αὐτοῦ. καὶ ὅσοι γε
10 γνησιώτερον ἀκούουσι τοῦ Ἰησοῦ, πρῶτον ἀκολουθοῦσιν αὐτῷ, εἶτα πυν-
θανόμενοι περὶ τῆς μονῆς αὐτοῦ ἐπιτρέπονται ἰδεῖν αὐτήν, καὶ ἐλθόντες
ὁρῶσι καὶ | »παρ' αὐτῷ« μένουσι, πάντες μὲν »τὴν ἡμέραν ἐκείνην«, τάχα δέ 443
τινες αὐτῶν καὶ ἐπὶ πλεῖον. καὶ τὰ τοιαῦτά γε οἶμαι δεδηλῶσθαι ἐν τῷ
κατὰ Ἰωάννην εὐαγγελίῳ διὰ τούτων· »τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάν-
15 νης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο«. ἔτι εἰς παράστασιν τοῦ ὅτι τῶν ἐπι-
τραπέντων σὺν τῷ Ἰησοῦ πορεύεσθαι καὶ ἰδεῖν αὐτοῦ τὴν οἰκίαν ὁ διαφέρων
καὶ ἀπόστολος γίνεται, ἐπιφέρεται τούτοις· »ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος
Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων ὑπὸ Ἰωάννου καὶ ἀκολουθησάντων
αὐτῷ«. καὶ ἡμεῖς οὖν, εἴπερ βουλόμεθα μὴ ὡς ὄχλοι ἀκούειν τοῦ Ἰησοῦ,
20 οὓς ἀφιεὶς [καὶ] *ἔρχεται εἰς τὴν οἰκίαν*, ἐξαίρετόν τι παρὰ τοὺς ὄχλους
ἀναλαμβάνοντες οἰκειωθῶμεν τῷ Ἰησοῦ, ἵν' ὡς μαθηταὶ αὐτοῦ ἐλθόντι

10 Vgl. Joh. 1, 37—39 — **14** Joh. 1, 35 — **17** Joh. 1, 40 — **20ff** Vgl. Orig. c. Cels. III, 21 (I, 217, 22ff): *παραβολῶν, ὧν τοῖς ἔξω ἐλάλησεν ὁ Ἰησοῦς, τηρῶν αὐτῶν τὴν σαφήνειαν τοῖς ὑπερβεβηκόσι τὰς ἐξωτερικὰς ἀκοὰς καὶ κατ' ἰδίαν αὐτῷ »ἐν τῇ οἰκίᾳ« προσερχομένοις*

Inscr. H V | *ἐκ* < v | *εὐαγγέλιον* V < H | *ι'* V *ια'* H **2** ⟨*αὐτῷ*⟩ v < H V **6** *ἀπιέναι* Kl *ἀπεῖναι* H V **13** *αὐτῶν* < V ⟨*τῶν μαθητῶν*⟩ *αὐτοῦ* Koe | *τὰ* < V **14** *διὰ*] *περὶ* V **20** *ἀφιεὶς* Diehl *ἀφίησι καὶ* H

εἰς τὴν οἰκίαν προσέλθωμεν καὶ προσελθόντες ἀξιώσωμεν περὶ φράσεως
παραβολῆς, εἴτε τῶν ζιζανίων τοῦ ἀγροῦ εἴθ' ἡστινοσοῦν. ἵνα δὲ
ἀκριβέστερον νοηθῇ, τίνος παραστατικόν ἐστι πράγματος ἡ τοῦ Ἰησοῦ
οἰκία, συναγαγέτω τις ἀπὸ τῶν εὐαγγελίων ὅσα περὶ τῆς οἰκίας Ἰησοῦ
5 εἴρηται, καὶ τίνα ἐν αὐτῇ λελάληται ἢ πέπρακται αὐτῷ· ἐπὶ γὰρ τὸ αὐτὸ
ἐπισυναχθέντα ταῦτα πείσει τὸν προσέχοντα ταύτῃ τῇ ἀναγνώσει, ὅτι οὐχ
ἁπλᾶ (ὡς οἴονταί τινες) ἐστὶ μόνον τὰ τοῦ εὐαγγελίου γράμματα, ἀλλὰ
τοῖς μὲν ἁπλοῖς κατ' οἰκονομίαν ὡς ἁπλᾶ γεγένηται, τοῖς δὲ ὀξύτερον ἀκού-
ειν αὐτῶν βουλομένοις καὶ δυναμένοις ἐγκέκρυπται σοφὰ καὶ ἄξια λόγου
10 θεοῦ πράγματα.

2. Μετὰ ταῦτα ἀποκριθεὶς εἶπεν ἀπὸ τοῦ· ὁ σπείρων τὸ καλὸν
σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου *** περὶ ὧν εἰ καὶ κατὰ τὸ
δυνατὸν ἡμῖν ἐν τοῖς πρὸ τούτων διειλήφαμεν, οὐδὲν ἧττον καὶ νῦν λελέξε-
ται τὰ δυνάμενα ἐκείνοις προσαρμόσαι, εἰ καὶ καθ' ἑτέραν διήγησιν ἔχει
15 λόγον. καὶ πρόσχες γε, εἰ δύνασαι τὸ καλὸν σπέρμα τοὺς υἱοὺς τῆς
βασιλείας πρὸς τοῖς προαποδεδομένοις καὶ ἑτέρως λαβεῖν, ὅτι ὅσα ἐν τῇ
ἀνθρωπίνῃ φύεται ψυχῇ καλά, ταῦτα ὑπὸ τοῦ »ἐν ἀρχῇ πρὸς τὸν θεὸν«
λόγου θεοῦ ⟨σπείρεται⟩ γεννήματα τυγχάνοντα τῆς τοῦ θεοῦ βασιλείας,
ὡς εἶναι τοὺς περὶ ἑκάστου ὑγιεῖς λόγους τοὺς υἱοὺς τῆς βασιλείας.
20 κοιμωμένων δὲ τῶν μὴ κατὰ τὴν ἐντολὴν τοῦ Ἰησοῦ πραττόντων λέγον-
τος· »γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασ|μόν«, ὁ 444
διάβολος ἐπιτηρῶν ἐπισπείρει τὰ καλούμενα ζιζάνια, τὰ μοχθηρὰ δόγματα,
ταῖς καλουμέναις ὑπό τινων φυσικαῖς ἐννοίαις καὶ σπέρμασι καλοῖς τοῖς
ἀπὸ τοῦ λόγου. κατὰ δὲ τοῦτο ἀγρὸς καὶ ὁ κόσμος πᾶς λέγοιτο ἄν, καὶ
25 οὐ μόνον ἡ ἐκκλησία τοῦ θεοῦ· ἐν γὰρ παντὶ κόσμῳ ὁ μὲν υἱὸς τοῦ ἀν-
θρώπου ἔσπειρε τὸ καλὸν σπέρμα, ὁ δὲ πονηρὸς τὰ ζιζάνια, ἅπερ
εἰσὶν οἱ μοχθηροὶ λόγοι, οἱ ἀπὸ κακίας υἱοὶ τοῦ πονηροῦ. δεήσει δὲ γενέσθαι
ἐπὶ τέλει τῶν πραγμάτων (ὃ καλεῖται συντέλεια τοῦ αἰῶνος) θερισμόν,
ἵν' οἱ ἐπὶ τούτῳ τεταγμένοι ἄγγελοι τοῦ θεοῦ ἀναλέξωνται τὰ προσπεφυκότα
30 τῇ ψυχῇ φαῦλα δόγματα καὶ παραδῶσιν αὐτὰ εἰς ἀνάλωσιν, τῷ λεγομένῳ

1 Zu φράσις vgl. Hautsch TU. 34, 2ª, 36f — 15—3, 17 Vgl. C Nr. 180 Or. vgl. *Π* 156, 17ff An. — 17 Joh. 1, 2. — 21 Matth. 26, 41

7 ἁπλᾶ ϱ ἁπλῶς H 11 ἀπὸ τοῦ H αὐτοῖς Hu | σπεῖρον H 12 *** Kl, l. etwa ⟨ἕως τοῦ »ὁ ἔχων ὦτα ἀκουέτω«⟩ 14 προσαρμῶσαι H 15 γε < V 17f θεὸν H^c. r. und (für θεοῦ) υἱοῦ H^c. r. (ἴσως i. m.) < Hª 18 ⟨σπείρεται⟩ Kl nach C Nr. 180 *Π* 22 ζηζάνια H 28 ὃ (Hu) C¹ Nr. 180 *Π* ὃς H 30 παραδῶσιν Kl mit C¹ Nr. 180 *Π* παραδώσουσιν H V | φλεγομένῳ C¹ Nr. 180 (*Π* cod. Me)

καίειν πυρὶ ἀνατρέποντες αὐτά. καὶ οὕτω συλλέξουσιν οἱ τοῦ λόγου ἄγγελοι καὶ ὑπηρέται ἐκ πάσης τῆς τοῦ Χριστοῦ βασιλείας πάντα τὰ ἐνυπάρχοντα ταῖς ψυχαῖς σκάνδαλα καὶ τοὺς τὴν ἀνομίαν ποιοῦντας λογισμούς, οὕστινας ἀναλίσκοντες βαλοῦσιν εἰς τὴν κάμινον τοῦ
5 πυρὸς τὴν καιομένην· ἔνθα καὶ οἱ συναισθηθέντες ἑαυτῶν διὰ τὸ κοιμᾶσθαι τὰ σπέρματα τοῦ πονηροῦ ἐν ἑαυτοῖς εἰληφέναι κλαύσονται καὶ ὡσπερεὶ ἑαυτοῖς θυμωθήσονται. τοῦτο γὰρ ὁ βρυγμὸς τῶν ὀδόντων, διὸ καὶ ἐν τοῖς Ψαλμοῖς τὸ »ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν« λέλεκται. τότε μάλιστα οἱ δίκαιοι λάμψουσιν οὐκέτι διαφόρως, ὡς κατὰ τὰς
10 ἀρχάς, ἀλλὰ πάντες ὡς εἷς ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. ὡς μυστήριον γοῦν δηλῶν ὁ σωτήρ, τάχα μὲν καὶ διὰ πάντων τῶν ἐν τῇ φράσει τῆς παραβολῆς, τάχα δὲ μάλιστα διὰ τοῦ τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν ἐπιφέρει· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω, διδάσκων τοὺς οἰομένους ἐν τῇ φράσει
15 τῆς παραβολῆς σαφέστατα αὐτὴν ἐκτεθεῖσθαι, ὡς καὶ ἐν τοῖς τυχοῦσι δύνασθαι νοηθῆναι αὐτήν, ὅτι καὶ αὐτὰ τὰ τῆς διηγήσεως τῆς παραβολῆς δεῖται σαφηνείας.

3. Ἀλλ' ἐπεὶ ἀνωτέρω ἐφάσκομεν εἰς τὸ τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, ὅτι οὐχ ὡς τὸ πρότερον διαφόρως λάμψουσιν οἱ δίκαιοι,
20 ἀλλ' ἔσονται οἱ πάντες ὡς εἷς ἥλιος, ἀναγκαίως ἐκθησόμεθα τὸ φανὲν ἡμῖν εἰς τὸν τόπον. ἔοικεν ὁ Δανιήλ, »φῶς τοῦ κόσμου« ἐπιστάμενος τοὺς συνιέντας καὶ τοὺς πολλοὺς τῶν δικαίων διαφέροντας τῇ δόξῃ, εἰρηκέναι τὸ »καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν | ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας καὶ ἔτι«. καὶ ὁ ἀπό- 445
25 στολος δὲ ἐν τῷ »ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ, οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν« τὰ αὐτὰ λέγει τῷ Δανιήλ, τὸν νοῦν ἀπὸ τῆς προφητείας αὐτοῦ τοῦτον λαβών. ζητήσει οὖν τις, πῶς οἱ μὲν περὶ διαφορᾶς τοῦ ἐν τοῖς δικαίοις λέγουσι φωτός, ὁ δὲ σωτὴρ τοὐναντίον· ὡς εἷς ἥλιος λάμψουσιν. ὑπολαμβάνω
30 οὖν, ὅτι παρὰ μὲν τὴν ἀρχὴν τῶν ἐν τοῖς σωζομένοις μακαρισμῶν, ὅτι οὐδέπω ἐκαθάρθησαν οἱ μὴ τοιοῦτοι, τὰ τῆς διαφορᾶς γίνεται τοῦ τῶν σωζομένων φωτός· ἐπὰν δέ, ὡς ἀποδεδώκαμεν, συλλεγῇ ἀπὸ τῆς βασιλείας ὅλης Χριστοῦ πάντα τὰ σκάνδαλα καὶ οἱ ποιοῦντες τὴν ἀνομίαν λο-

8 Psal. 34, 16 — 9 Vgl. Matth. 5, 16 — 10 usw. εἷς kein Textwort gegen Hautsch TU. 34, 2a, 37f — 21 Vgl. Matth. 5, 14 — 23 Dan. 12, 3 Θ' — 25 I. Kor. 15, 41f — 29ff Vgl. Orig. hom. IX, 3 in Ez. (VIII, 412, 8ff)

1 καίειν < C[1] Nr. 180 Π   5 οἱ] οὐ Π   6f καὶ ὡς περὶ ἑαυτοὺς Π   7 θυμοθύσονται H   14 τοὺς οἰομένους < V   16 παραβολῆς + οὐ V   21 ἐπιστάμενος H[a] ἐπισταμένως H[c. r.]   28 ζητήσει Kl ζητήσαι H

γισμοὶ βληθῶσιν εἰς τὴν κάμινον τοῦ πυρός, καὶ καταναλωθῇ τὰ χείρονα, καὶ τούτων γινομένων εἰς συναίσθησιν ἔλθωσιν οἱ παραδεξάμενοι τοὺς υἱοὺς τοῦ πονηροῦ λόγους, τότε ἓν γενόμενοι ἡλιακὸν φῶς οἱ δίκαιοι λάμψουσιν ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. τίνι δὲ
5 λάμψουσιν ἢ τοῖς ὑποδεεστέροις, ἀπολαύσουσι τοῦ φωτὸς αὐτῶν ἀνάλογον τῷ νῦν λάμπειν τὸν ἥλιον τοῖς ἐπὶ γῆς; οὐ γὰρ δήπου ἑαυτοῖς λάμψουσι. μήποτε δὲ καὶ τὸ »λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων« ἀπογράψασθαι δυνατόν ἐστιν »ἐπὶ τὸ πλάτος τῆς καρδίας« (κατὰ τὸ εἰρημένον τῷ Σολομῶντι) τριχῶς, ὥστε καὶ νῦν λάμπειν τὸ φῶς τῶν Ἰησοῦ μαθητῶν
10 ἔμπροσθεν τῶν λοιπῶν ἀνθρώπων καὶ μετὰ τὴν ἔξοδον πρὸ τῆς ἀναστάσεως καὶ μετὰ τὴν ἀνάστασιν, ἕως ἂν καταντήσωσιν οἱ πάντες »εἰς ἄνδρα τέλειον« καὶ γένωνται πάντες εἷς ἥλιος· τότε λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. | 446

4. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ
15 κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψεν (13, 44).

Τὰς μὲν προτέρας παραβολὰς τοῖς ὄχλοις εἶπε· ταύτην δὲ καὶ τὰς ἑξῆς αὐτῆς δύο, οὐ παραβολὰς ἀλλ' ὁμοιώσεις πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν τυγχανούσας, ἔοικεν ἐν τῇ οἰκίᾳ γενόμενος πρὸς τοὺς μαθητὰς εἰρηκέναι· περὶ ἧς ὁ προσέχων τῇ ἀναγνώσει ἐξεταζέτω καὶ τῶν ἑξῆς δύο, μήποτε
20 οὐδὲ παραβολαί εἰσιν· ἐπ' ἐκείνων μὲν γὰρ οὐκ ὤκνησεν ἡ γραφὴ καθ' ἑκάστην προτάσσειν τὸ ὄνομα τῆς παραβολῆς, ἐπὶ δὲ τούτων τὸ αὐτὸ οὐ πεποίηκεν. καὶ εἰκότως γε τοῦτο πεποίηκεν. εἰ γὰρ τοῖς ὄχλοις ἐλάλησεν »ἐν παραβολαῖς« καὶ »ταῦτα πάντα ἐλάλησεν ἐν παραβολαῖς καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς« οὐ τοῖς ὄχλοις δὲ ἐλθὼν »εἰς τὴν οἰκίαν« διαλέγεται ἀλλὰ τοῖς προσελθοῦσιν
25 αὐτῷ μαθηταῖς ἐν αὐτῇ, δῆλον ὅτι οὔκ εἰσι παραβολαὶ τὰ ἐν τῇ οἰκίᾳ λελαλημένα· τοῖς γὰρ »ἔξω« ἐν παραβολαῖς λαλεῖ καὶ οἷς »οὐ δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν«. φήσει τις οὖν· εἰ μή εἰσιν αὗται παραβολαί, τί εἰσιν; μήποτε οὖν τῇ λέξει τῆς γραφῆς ἀκολουθοῦντες φήσομεν, ὅτι ὁμοιότητές εἰσι. διαφέρει δὲ ὁμοιότης παραβολῆς· γέγραπται γὰρ

7 Matth. 5, 16 — 7 ff Vgl. Orig. tom. II, 23 in Joh. (IV, 79, 26ff) — 8 ff Vgl. Orig. de princ. IV, 2, 4 (V, 312, 7) — 8 Vgl. Prov. 3, 3 (var. lect.) — 11 Eph. 4, 13 — 16 Vgl. Matth. 13, 3 — 18 Vgl. Matth. 13, 36 — 18 ff Vgl. Matth. 13, 3. 24. 31. 33 — 22 ff Vgl. Orig. c. Cels. III, 21. 46 (I, 217, 20ff. 242, 13ff) — 23 Vgl. Matth. 13, 3—22; 13, 34 — 24 Vgl. Matth. 13, 36 — 26 Vgl. Marc. 4, 11 — Matth. 13, 11 — 29—5, 10 Vgl. C[luc] Nr. 15 Or.

4 τίνι] hier beginnt cod. M fol. 1r, ebenso Barb. gr. 575 fol. 1r
7 ἡμῶν H 14 πάλιν] vorher: Περὶ τῆς παραβολῆς τοῦ θησαυροῦ τοῦ κεκρυμμένου ἐν τῷ ἀγρῷ H 25 δηλῶν M

ἐν τῷ Μάρκῳ· »τίνι ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ, ἢ ἐν τίνι αὐτὴν παραβολῇ θῶμεν;« ἐκ τούτου γὰρ παρίσταται διαφορὰν εἶναι ὁμοιώσεως καὶ παραβολῆς. ἔοικεν οὖν ἡ μὲν ὁμοίωσις εἶναι γενική, ἡ δὲ παραβολὴ εἰδική. τάχα δὲ καὶ ἡ ὁμοίωσις γενικωτάτη οὖσα τῆς παραβολῆς ἔχει ἐν εἴδει,
5 ὥσπερ τὴν παραβολήν, οὕτω καὶ ὁμώνυμον τῷ γενικῷ τὴν ὁμοίωσιν. ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβέβηκεν, ὡς τετηρήκασιν οἱ δεινοὶ περὶ τὴν τῶν πολλῶν ὀνομάτων θέσιν· οἵτινες λέγουσι καὶ γενικωτάτην εἶναι τὴν ὁρμὴν πολλῶν εἰδῶν ⟨περιεκτικήν⟩, ὥσπερ καὶ ἀφορμῆς καὶ ὁρμῆς, ἐν εἴδει λέγοντες ὁμωνύμως τῷ γενικῷ παραλαμβάνεσθαι πρὸς ἀντιδιαστολὴν τῆς ἀφορμῆς
10 τὴν ὁρμήν.

5. Καὶ ἐν τούτῳ ζητητέον ἰδίᾳ τὸν ἀγρὸν καὶ ἰδίᾳ τὸν κεκρυμμένον ἐν αὐτῷ θησαυρόν, καὶ τίνα τρόπον εὑρὼν τοῦτον κεκρυμμένον τὸν θησαυρὸν ὁ ἄνθρωπος ἀπὸ τῆς χαρᾶς ἄπεισι καὶ πωλεῖ ὅσα ἔχει, ἵνα ἀγοράσῃ τὸν ἀγρὸν ἐκεῖνον. ζητητέον δὲ καὶ τίνα ἐστὶν ἃ πωλεῖ.
15 δοκεῖ δή μοι κατὰ ταῦτα ἀγρὸς μὲν εἶναι ἡ γραφὴ καταφυτευθεῖσα τοῖς φανεροῖς | τῶν ῥητῶν τῆς ἱστορίας καὶ τοῦ νόμου καὶ τῶν προφητῶν καὶ 447 τῶν λοιπῶν νοημάτων (πολλὴ γὰρ φυτεία καὶ ποικίλη ἐστὶ καὶ ἡ τῶν ῥητῶν τῆς ὅλης γραφῆς), ὁ δὲ ⟨ἐν⟩ τῷ ἀγρῷ κεκρυμμένος θησαυρὸς τὰ ἀποκεκρυμμένα καὶ ὑποκείμενα τοῖς φανεροῖς νοήματα τῆς σοφίας »ἐν μυστηρίῳ«
20 ἀποκεκρυμμένης καὶ τῷ Χριστῷ, »ἐν ᾧ εἰσιν οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι«. ἄλλος δ' ἂν λέγοι ἀγρὸν μὲν εἶναι τὸν ἀληθῶς πλήρη, »ὃν εὐλόγησε κύριος«, τὸν »Χριστὸν τοῦ θεοῦ«, τὸν δ' ἐν αὐτῷ κεκρυμμένον θησαυρὸν τὰ εἰρημένα παρὰ τῷ Παύλῳ κεκρύφθαι ἐν Χριστῷ, λέγοντι περὶ Χριστοῦ τὸ »ἐν ᾧ εἰσιν οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι«.
25 τὰ οὐράνια τοίνυν πράγματα καὶ ἡ βασιλεία τῶν οὐρανῶν ὥσπερ ἐν εἰκόνι γέγραπται ταῖς γραφαῖς, αἵτινές εἰσιν ἡ βασιλεία τῶν οὐρανῶν,

1 Marc. 4, 30 — 15—6, 22 Vgl. C[1] 181 Or. *II* 157, 16ff An. C[luc] Nr. 16 Or. C[2] Nr. 56 Or. — 15ff Vgl. Orig. de princ. IV, 3, 11 (V, 340, 3ff): *καὶ ἐπιστήσωμεν εἰ μὴ τὸ βλεπόμενον τῆς γραφῆς καὶ τὸ ἐπιπόλαιον αὐτῆς καὶ πρόχειρον ὁ πᾶς ἐστιν »ἀγρὸς« πλήρης παντοδαπῶν τυγχάνων φυτῶν, τὰ δὲ ἐναποκείμενα καὶ οὐ πᾶσιν ὁρώμενα ... »οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι«.* — 19 Vgl. I. Kor. 2, 7 — 20. 24 Kol. 2, 3 — 21f Vgl. Gen. 27, 27 — 22 Vgl. Luc. 9, 20 — 24ff Vgl. Hier. in Matth. 97 D: *thesaurus iste, »in quo sunt omnes thesauri sapientiae et scientiae absconditi«, aut deus verbum est ... aut sanctae scripturae*

1 ὁμοιώσωμεν v ὁμοιώσομεν M H 8 ⟨περιεκτικήν⟩ Kl mit C[luc] Nr. 15 < M H 9 ἀντιδιαστολὴν + δὲ C[luc] Nr. 15 12 τοῦτον κεκρυμμένον τὸν] τὸν κεκρυμμένον M 14 ἀγοράσει H | πωλῇ H 18 ⟨ἐν⟩ Hu 20 καὶ[1] + ⟨ἐν⟩ ? Kl 21 ἀπόκρυφοι + ⟨φανερωθείσης⟩ Koe, vgl. Röm. 16, 26 22 δὲ H 24 εἰσὶ M | τῆς[2] < *Π*

ἢ αὐτός ἐστιν ὁ Χριστὸς ὁ βασιλεὺς τῶν αἰώνων ἡ βασιλεία τῶν οὐρανῶν, ὡμοιωμένη θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ.

6. Γενόμενος δὲ κατὰ τὸν τόπον ζητήσεις, πότερον ἡ βασιλεία τῶν οὐρανῶν μόνῳ τῷ θησαυρῷ ὡμοίωται τῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, 5 ὡς ἄλλον νοεῖν τῆς βασιλείας τὸν ἀγρόν, ἢ ὅλῳ τούτῳ ὡμοίωται ⟨τῷ ἀγρῷ καὶ τῷ⟩ θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὡς τὴν τῶν οὐρανῶν βασιλείαν εἶναι κατὰ τὴν ὁμοίωσιν καὶ τὸν ἀγρὸν καὶ τὸν κεκρυμμένον ἐν τῷ ἀγρῷ θησαυρόν. ἐλθὼν δέ τις ἄνθρωπος εἰς τὸν ἀγρόν, εἴτε τὰς γραφὰς εἴτε τὸν Χριστὸν τὸν ἐκ φανερῶν καὶ κρυπτῶν συνεστηκότα, εὑρίσκει 10 τὸν κεκρυμμένον τῆς σοφίας θησαυρόν. εἴτε ἐν Χριστῷ εἴτε ἐν ταῖς γραφαῖς (ἐμπεριερχόμενος γὰρ τὸν ἀγρὸν καὶ ἐρευνῶν τὰς γραφὰς καὶ ζητῶν νοῆσαι τὸν Χριστὸν εὑρίσκει τὸν ἐν αὐτῷ θησαυρόν), καὶ εὑρὼν κρύπτει. οὐκ ἀκίνδυνον εἶναι νομίζων τὰ τῶν γραφῶν ἀπόρρητα νοήματα ἢ τοὺς ἐν Χριστῷ θησαυροὺς »σοφίας καὶ γνώσεως« ἐκφαίνειν τοῖς τυχοῦσι, καὶ κρύψας ἄπεισι 15 πραγματευόμενος. πῶς ἀγοράσει τὸν ἀγρὸν ἤτοι τὰς γραφάς, ἵνα ἴδιον κτῆμα αὐτὰς ποιήσῃ. λαβὼν ἀπὸ τῶν τοῦ θεοῦ »τὰ λόγια τοῦ θεοῦ«, ἃ πρῶτον Ἰουδαῖοι »ἐπιστεύθησαν«. καὶ ἀγοράσαντος τοῦ μαθητευθέντος Χριστῷ τὸν ἀγρὸν ἀπαίρεται ἀπ' ἐκείνων »ἡ βασιλεία τοῦ θεοῦ« (ἥτις ἐστὶ κατ' ἄλλην παραβολὴν ἀμπελὼν) καὶ δίδοται »ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐ- 20 τῆς«, τῷ διὰ τῆς πίστεως ἀγοράσαντι τὸν ἀγρὸν ἐκ τοῦ πεπρακέναι πάντα τὰ ὑπάρχοντα καὶ μηδὲν τῶν πρότερον ὑπαρχόντων (κακία δὲ ὑπῆρχεν αὐτῷ) ἔτι ἔχειν παρ' | ἑαυτῷ. τὸ δὲ αὐτὸ ἐφαρμόσεις, κἂν ἀγρὸς ὁ ἔχων τὸν 448 κεκρυμμένον θησαυρὸν ὁ Χριστὸς ᾖ· οἱ γὰρ »ἀφέντες πάντα« καὶ ἀκολουθοῦντες αὐτῷ οἱονεὶ κατ' ἄλλον λόγον πεπράκασι τὰ ὑπάρχοντα αὐτῶν, ἵνα 25 διὰ τοῦ πεπρακέναι καὶ ἀπο⟨δε⟩δόσθαι ἐκεῖνα καὶ ἀντ' ἐκείνων καλὴν προαίρεσιν βοηθουμένους αὐτοὺς εἰληφέναι ἀπὸ θεοῦ ὠνήσωνται τῆς πολλῆς τιμῆς καὶ ἀξίας τοῦ ἀγροῦ τὸν ἔχοντα θησαυρὸν κεκρυμμένον ἐν ἑαυτῷ ἀγρόν.

7. *Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας* (13, 45 [46]).

30 Ἐπειδὴ ἡ βασιλεία τῶν οὐρανῶν ὁμοία ἐστί, πολλῶν ὄντων ἐμπόρων πολλὰ ἐμπορευομένων, οὐδενὶ μὲν ἐκείνων, τῷ δὲ ζητοῦντι τοὺς

14 Vgl. Kol. 2, 3 — 16 Vgl. Röm. 3, 2 — 18 Matth. 21, 43 — 23 Vgl. Luc. 5, 11 — 26 f Vgl. Orig. c. Cels. VII, 33 (II, 184, 10 f)

5—6 ἄλλον—ὡς < H 5 l. ἄλλο? Kl 5 f ⟨τῷ ἀγρῷ καὶ τῷ⟩ Kl 7 εἶναι Kl ἔχειν M H 9 τὸν²] τῶν H 13 ἀκίνδυνον Kl mit C^luc Nr. 16 ἀκίνδυνα M H 14 ἐκφαίνειν] μὴ ἐμφαίνων Π 16 f πρῶτοι οἱ Π 18 ἀπαίρεται Diehl ἀφαιρεῖται M H 22 αὐτῷ] ταῦτα C^luc Nr. 16 25 ἀπο⟨δε⟩δόσθαι Koe 26 τῆς] l. ⟨ἕνεκεν⟩ τῆς Koe? vgl. c. Cels. VIII, 53 (II, 269, 4) 31 μὲν < H

καλοὺς μαργαρίτας καὶ εὑρόντι ἕνα ἀντάξιον τῶν πολλῶν πολύτιμον μαργαρίτην, ὃν ἀντὶ πάντων ἠγόρασεν, εὔλογον ἡγοῦμαι τυγχάνειν τὰ περὶ τῆς φύσεως τοῦ μαργαρίτου ἐξετάσαι. παρατήρει δὲ ἐπιμελῶς, ὅτι οὐκ εἶπεν, ὅτι πέπρακε πάντας οὓς εἶχεν· οὐ γὰρ μόνους οὓς ὁ ζητῶν καλοὺς
5 μαργαρίτας ἑώνηται πέπρακεν, ἀλλὰ καὶ πάντα ὅσα εἶχεν. ἵνα ἀγοράσῃ τὸν καλὸν μαργαρίτην ἐκεῖνον. εὕρομεν οὖν παρὰ τοῖς περὶ λίθων πραγματευσαμένοις περὶ τῆς φύσεως τοῦ μαργαρίτου ταῦτα, ὅτι τῶν μαργαριτῶν οἱ μέν εἰσι χερσαῖοι οἱ δὲ θαλάττιοι. καὶ οἱ μὲν χερσαῖοι παρ' Ἰνδοῖς μόνοις γίνονται πρέποντες σφραγῖσι καὶ σφενδόναις καὶ ὅρμοις. οἱ
10 δὲ θαλάττιοι οἱ μὲν διαφέροντες παρὰ τοῖς αὐτοῖς Ἰνδοῖς εὑρίσκονται, οἵτινές εἰσι καὶ ἄριστοι ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ γινόμενοι. δευτερεύουσι δὲ ὡς ἐν μαργαρίταις οἱ ἐκ τοῦ κατὰ Βρεττανίαν Ὠκεανοῦ λαμβανόμενοι. τρίτοι δὲ καὶ ἀπολειπόμενοι, οὐ μόνον τῶν πρώτων ἀλλὰ καὶ τῶν δευτέρων, οἱ κατὰ τὸν Βόσπορον περὶ τὴν Σκυθίαν εὑρισκόμενοι. ἔτι δὲ ταῦτα ἐλέγετο
15 περὶ τοῦ Ἰνδικοῦ μαργαρίτου, ὅτι | ἐν κόγχοις γίνεται προσεοικόσι τὴν φύσιν 449 εὐμεγέθεσι στρόμβοις. οὗτοι δὲ ἱστοροῦνται οἱονεὶ κατὰ ἴλας τὴν θαλάττιον ποιούμενοι νομὴν καθάπερ ἀγελάρχου τινὸς ἐξηγουμένου, περιόπτου τὴν χρόαν καὶ τὸ μέγεθος καὶ διαφέροντος τῶν ὑπ' αὐτόν, ὥστε ἀναλογίαν αὐτὸν ἔχειν τῷ καλουμένῳ ἐσσῆνι μελισσῶν. ἱστόρηται δὲ καὶ περὶ τῆς θήρας

6—10, 22 Vgl. C[luc] Nr. 17 Or. — **8ff** Vgl. Aelian περὶ ζώων XV, 8 (I, 372, 29ff He) — **9ff** Vgl. Aelian a. O. (I, 372, 21ff): ἄριστος δὲ ἄρα ὁ Ἰνδικὸς γίνεται καὶ ὁ τῆς θαλάττης τῆς Ἐρυθρᾶς. Plinius nat. hist. IX, 35 § 106 Ma *praecipue autem laudantur circa Arabiam in Persico sinu maris rubri.* IX, 35 § 113: *et in candore ipso magna differentia: clarior in rubro mari repertis, in Indico specularium lapidum squama adsimulant* etc. — **11ff** Vgl. Aelian a. O. (I, 372, 23ff): γίνεται δὲ καὶ κατὰ τὸν Ἑσπέριον ὠκεανόν, ἔνθα ἡ Βρεττανικὴ νῆσός ἐστι κτλ. — **12ff** Vgl. Aelian a. O. (I, 372, 26ff): γίνεσθαι δέ φησιν Ἰόβας καὶ ἐν τῷ κατὰ Βόσπορον πορθμῷ, καὶ τοῦ Βρεττανικοῦ ἡττᾶσθαι αὐτόν, τῷ δὲ Ἰνδῷ καὶ τῷ Ἐρυθραίῳ μηδὲ τὴν ἀρχὴν ἀντικρίνεσθαι — **14ff** Vgl. Aelian a. O. (I, 372, 7ff): γίνεσθαι δὲ τὸν προειρημένον λίθον ἐκ κόγχης στρόμβῳ ἐμφεροῦς μεγάλῳ, νήχεσθαί τε κατὰ ἀγέλας τοὺς μαργάρους, καὶ ἔχειν ἡγεμόνας, ὡς ἐν τοῖς σμήνεσιν αἱ μέλιτται τοὺς καλουμένους βασιλέας, ἀκούω δὲ εἶναι καὶ τοῦτον διαπρεπῆ καὶ τὴν χρόαν καὶ τὸ μέγεθος. Ähnlich auch Arrianus Ἰνδική VIII, 11ff Ro (nach Megasthenes) — **19ff** Vgl. Aelian a. O. (I, 372, 5ff): ὅθεν ὁρμωμένους σὺν τοῖς δικτύοις φασὶ τοὺς προειρημένους περιλαμβάνειν ἀγκῶσι μεγάλοις αἰγιαλοῦ κύκλον εὐμεγέθη . . . ἀγώνισμα δὲ ἄρα ποιοῦνται συλλαβεῖν αὐτὸν οἱ κολυμβηταὶ οἱ ὕφυδροι· τούτου γὰρ ᾑρημένου καὶ τὴν ἀγέλην αἱροῦσι πᾶσαν . . . ἀτρεμεῖ γὰρ καὶ οὐκέτι πρόεισιν. Auch Arrianus a. O.

3 δὲ] τὲ M **6** καλὸν < H **11** εἰσὶ καὶ] εἰσὶν M | ὡς] πως ? Hu
14 τὸν < H

τῶν διαφερόντων, τουτέστι τῶν ἐν Ἰνδίᾳ, τοιοῦτον· ὅτι περιλαμβάνοντες οἱ ἐπιχώριοι δικτύοις κύκλον αἰγιαλοῦ μέγαν κατακολυμβῶσιν, ἕνα ἐξ ἁπάντων τὸν προηγούμενον ἐπιτηδεύοντες λαβεῖν, τούτου γὰρ ἁλόντος φασὶν ἄμοχθον γενέσθαι τὴν θήραν τῆς ὑπὸ τούτῳ ἀγέλης, οὐδενὸς ἔτι ἀτρεμοῦν- 5 *τος τῶν ἀπ' αὐτῆς, ἀλλὰ οἷον δεδεμένου ἱμάντι καὶ ἑπομένου τῷ ἀγελάρχῃ.*

Λέγεται δὲ καὶ ἡ γένεσις τῶν ἐν Ἰνδίᾳ μαργαριτῶν χρόνοις συνίστασθαι, τροπὰς λαμβάνοντος τοῦ ζώου πλείονας καὶ μεταβολάς, ἕως τελειωθῇ. ἔτι δὲ καὶ τοῦτο ἱστόρηται, ὅτι διοίγεται ὁ κόγχος χάσμῃ παραπλησίως ὁ τοῦ φέροντος τὸν μαργαρίτην ζώου καὶ διοιχθεὶς τὴν ἐπουράνιον εἰς 10 *ἑαυτὸν δέχεται δρόσον, ἧς ἐμπλησθεὶς καθαρᾶς καὶ ἀθολώτου περιαυγὴς γίνεται καὶ λοχεύει μέγαν καὶ εὔρυθμον τὸν λίθον. εἰ δέ ποτε ἐπηχλυμένης καὶ ἀνωμάλου χειμερίου τε μεταλάβοι δρόσου, ὁμιχλώδη κύει μαργαρίτην καὶ κηλῖσιν ἐπίμωμον. ἔτι δὲ καὶ τοῦτο εὕρομεν, ὅτι εἰ μεσολαβηθείη ὁδεύων ἐπὶ τὴν πλήρωσιν οὗ κύει λίθου ὑπὸ ἀστραπῆς, μύει καὶ ὡσπερεὶ **** 15 *τῷ δείματι σκορπίζει καὶ διαχεῖ τὸν γόνον εἰς τὰ λεγόμενα φυσήματα. ἔστι δὲ ὅτε καθάπερ ἠλιτόμηνα γεννᾶται βραχέα καὶ ἀχλύος τι ἔχοντα, πλὴν εὔρυθμα. ἔτι δὲ καὶ τοῦτο ἔχει ὁ Ἰνδικὸς μαργαρίτης παρὰ τοὺς* | 450 *ἄλλους· λευκός ἐστι τὴν χρόαν ἀργύρῳ διαφανεῖ προσφερὴς αὐγήν τε ὑποχλωρίζουσαν ἠρέμα διαλάμπει, ὡς ἐπίπαν δὲ σχῆμα ἔχει στρογγύλον. ἔστι δὲ καὶ* 20 *τρυφερόχρως καὶ ἁπαλώτερος ἢ κατὰ λίθον. οὕτως δέ ἐστιν ἐπιτερπὴς ἰδέσθαι, ὡς καὶ παρὰ τοῖς ἐμφανεστέροις (καθὰ ὁ ἀναγράψας ἔλεγε περὶ τῶν λίθων) ἀφυμνεῖσθαι. ἔτι δὲ καὶ τοῦτο σημεῖον ἀρίστου ἐστὶ μαργαρίτου τὸ τὴν περιφέρειαν τετορνευμένην ἔχειν, καὶ τὸ χρῶμα λευκότατον καὶ*

8ff Vgl. Plinius a. O. IX, 35 § 107f: *has ubi genitalis anni stimularit hora, pandentes se quadam oscitatione impleri roscido conceptu tradunt, gravidas postea eniti, partumque concharum esse margaritas, pro qualitate roris accepti: si purus influxerit, candorem conspici; si vero turbidus, et fetum sordescere ... si fulguret, conprimi conchas ac pro ieiunii modo minui; si vero etiam tonuerit, pavidas ac repente conpressas quae vocant physemata efficere ... hos esse concharum abortus.* — **19ff** Vgl. Theophrast. de lapid. 6: *τῶν σπουδαζομένων δὲ λίθων ἐστὶ καὶ ὁ μαργαρίτης καλούμενος διαφανὴς μὲν τῇ φύσει κτλ.* — **22ff** Vgl. Aelian a. O. X, 13 (I, 248, 4ff): *δοκοῦσι δὲ ἄρα ... οἱ ἄγαν λευκοὶ καὶ οἱ μεγάλοι κάλλιστοι ... φύσει δὲ ἔχει τῆς περιφερείας τὸ λεῖον καὶ εὐπερίγραφον*

1 *ἐν δία* H | *τοιούτων* Hª 4 *τοῦτον* M 8 *χάσμοι* Hª 9 *οὐράνιον* H 10 *ἀθολότου* H 11 *ἐπιχλυμένης* H 12 *μεταλάβοι* Kl, vgl. Z. 13 *μεταλάβῃ* M H 14 *** Diehl, der ergänzt ⟨*τῇ πείνῃ ἐλαττοῦται, εἰ δὲ βροντήσαι,*⟩ 19 *διαλάμπει* Hu *διαλάμπειν* M H 22 *ἐστιν ἀρίστου* H

διαυγέστατον, καὶ τῷ μεγέθει μέγιστον. ταῦτα μὲν οὖν περὶ τοῦ Ἰνδικοῦ. ὁ δὲ κατὰ τὴν Βρεττανίαν (φασὶ) χρυσωπὸς μέν ἐστι τὴν ἐπίχροιαν, ὁμιχλώδης δέ τις καὶ ταῖς μαρμαρυγαῖς ἀμβλύτερος. ὁ δὲ ἐν τῷ πορθμῷ τῷ κατὰ Βόσπορον κνεφωδέστερος τοῦ Βρεττανικοῦ καὶ πελιδνὸς καὶ τέλεον ἀμυδρός,
5 ἁπαλός τε καὶ μακρομεγέθης. καὶ γεννᾶται δὲ ὁ ἐν τῷ κατὰ Βόσπορον πορθμῷ οὐκ ἐν ταῖς πίναις, ὅ ἐστιν ὀστράκων εἶδος μαργαριτοφόρον, ἀλλ' ἐν τοῖς προσαγορευομένοις μυσί. τούτοις δέ, λέγω δὴ τοῖς κατὰ Βόσπορον, ἡ νομὴ ἐν τέλμασίν ἐστιν. ἱστόρηται δὲ καὶ τέταρτον γένος εἶναι μαργαριτῶν | περὶ τὴν Ἀκαρνανίαν ἐν ταῖς τῶν ὀστρέων πίναις· οὐ σπουδαῖοι δὲ 451
10 οὗτοι ἄγαν, ἀλλὰ καὶ ἄρρυθμοι καὶ τὸ σχῆμα καὶ τὸ χρῶμα τέλεον διατεθολωμένοι καὶ ῥυπῶντες. καὶ ἄλλοι δὲ παρὰ τούτους εἰσὶ περὶ τὴν αὐτὴν Ἀκαρνανίαν πάντων ἕνεκεν ἀπόβλητοι.

8. Ταῦτα δὲ συναγαγὼν ἐκ τῆς περὶ λίθων πραγματείας, φημὶ τὸν σωτῆρα ἐπιστάμενον διαφορὰν μαργαριτῶν, ὧν ἐν τῷ γένει εἰσὶ καὶ καλοὶ καὶ ἄλλοι
15 φαῦλοι, εἰρηκέναι τὸ ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι τοὺς καλοὺς μαργαρίτας· εἰ γὰρ μὴ καὶ φαῦλοι ἦσάν τινες ἐν μαργαρίταις, οὐκ ἂν εἴρητο ζητοῦντι καλοὺς μαργαρίτας. ἐν τοῖς παντοδαποῖς δὲ ἐπαγγελλομένοις ἀλήθειαν λόγοις καὶ τοῖς φέρουσιν αὐτοὺς ζήτει τοὺς μαργαρίτας, καὶ ἔστωσαν (ἵν' οὕτως ὀνομάσω) οἱ ἀπὸ
20 τῆς οὐρανίου δρόσου συλλαμβάνοντες κόγχοι καὶ κύοντες ἐξ οὐρανοῦ λόγον ἀληθείας προφῆται οἱ καλοὶ μαργαρῖται, οὓς ὁ κατὰ τὴν προκειμένην λέξιν ζητεῖ ἔμπορος ἄνθρωπος. ὁ δὲ ἀγελάρχης τῶν μαργαριτῶν, ᾧ εὑρισκομένῳ καὶ οἱ λοιποὶ συνευρίσκονται, ὁ πολυτίμητος μαργαρίτης, ὁ Χριστὸς τοῦ θεοῦ, ὁ ὑπὲρ τὰ τίμια γράμματα καὶ νοήματα τοῦ νόμου καὶ τῶν προφη-

1ff Vgl. Aelian a. O. XV, 8 (I, 372, 24ff): *δοκεῖ δέ πως χρυσωπότερος ἰδεῖν εἶναι, τάς τε αὐγὰς ἀμβλυτέρας ἔχειν καὶ σκοτωδεστέρας.* Plinius a. O. IX, 35 § 116: *in Britannia parvos atque decolores nasci certum est.* IX, 35 § 115: *in nostro mari reperiri solebant crebrius circa Bosporum Thracium, rufi ac parvi in conchis quas myas appellant* — 8ff Vgl. Plinius a. O. IX, 35 § 115: *at in Acarnania quae vocatur pina gignit . . . enormes et feri colorisque marmorei* — 18ff Vgl. Hier. in Matth. 98 A: *bonae margaritae, quas quaerit institor, lex et prophetae sunt . . . unum autem est pretiosissimum margaritum scientia salvatoris etc.* — 19—24 Vgl. C[v] Nr. 15 Or. (Anfg) = C[l] Nr. 182 Or. (Anfg): *μαργαρῖται ἦσαν ὁ νόμος καὶ οἱ προφῆται, καὶ ἐν αὐτοῖς εὑρίσκεται ὁ μόνος πολύτιμος μαργαρίτης Χριστός* — 21 Vgl. Jac. 1, 18? — 23ff Vgl. Clemens Alex. Paed. II, 12, 4 (I, 228, 1ff.): *ὁ δὲ πολυτίμητος μαργαρίτης . . . τὸν διαυγῆ καὶ καθαρὸν Ἰησοῦν κτλ.* — 23 Vgl. Luc. 9, 20

2 τὴν < H 4 κνεφοδέστερος H 17 εἴρηται H 19 ζήτει Kl ζητεῖ MH | ἵνα H 23 πολύτιμος C[l] Nr. 182

τῶν λόγος. οὗ εὑρεθέντος καὶ τἄλλα πάντα εὐμαρῶς παραλαμβάνονται. διαλέγεται δὲ ὁ σωτὴρ τοῖς μαθηταῖς πᾶσιν ὡς ἀνθρώποις ἐμπόροις, οὐ μόνον ζητοῦσι τοὺς καλοὺς μαργαρίτας ἀλλὰ καὶ εὑροῦσιν αὐτοὺς καὶ κεκτημένοις, ἐν οἷς φησι· »μὴ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν
5 χοίρων«. δῆλον δέ, ὅτι τοῖς μαθηταῖς ταῦτα λέλεκται, ἐκ τοῦ προτετάχθαι τῶν λόγων τὸ »ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ«· ἐν γὰρ τῷ εἱρμῷ τῶν λόγων ἐκείνων εἴρηται· »μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων«. μήποτε οὖν ὁ μὴ ἔχων μαργαρίτας ἢ τὸν πολύτιμον
10 μαργαρίτην οὐδὲ μαθητής ἐστι τοῦ σωτῆρος καὶ *** τοὺς μαργαρίτας τοὺς καλούς. οὐ τοὺς νεφώδεις οὐδὲ τοὺς ἀχλυώδεις, ὁποῖοί εἰσιν οἱ τῶν ἑτεροδόξων λόγοι, οὐ πρὸς ἀνατολὰς γεννώμενοι ἀλλὰ πρὸς δυσμὰς ἢ πρὸς βορρᾶν, εἰ χρὴ καὶ ταῦτα προσπαραλαμβάνειν δι' ἣν εὕρομεν διαφορὰν μαργαριτῶν ἐν διαφόροις γινομένων τόποις. τάχα δὲ οἱ τεθολωμένοι λόγοι
15 καὶ αἱ ἐν τοῖς ἔργοις τῆς σαρκὸς κατειλιγμέναι αἱρέσεις οἱ ἀχλυώδεις εἰσὶ καὶ οἱ ἐν τέλμασι γινόμενοι μαργαρῖται οὐ καλοί. | 452

9. Συνάψεις δὲ τῷ ζητοῦντι καλοὺς μαργαρίτας τὸ »ζητεῖτε, καὶ εὑρήσετε« καὶ τὸ »πᾶς ὁ ζητῶν εὑρίσκει«. τί γὰρ »ζητεῖτε«, ἢ τί »πᾶς ὁ ζητῶν εὑρίσκει«; ἀποτολμήσας εἴπω· τοὺς μαργαρίτας καὶ τὸν μαρ-
20 γαρίτην, ὃν ὁ πάντα δοὺς καὶ ζημιωθεὶς κτᾶται, δι' ὃν φησιν ὁ Παῦλος· »τὰ πάντα ἐζημιώθην, ἵνα Χριστὸν κερδήσω«, »πάντα« λέγων τοὺς καλοὺς μαργαρίτας, καὶ »Χριστὸν κερδήσω«, τὸν ἕνα πολύτιμον μαργαρίτην. τίμιον μὲν οὖν λύχνος τοῖς ἐν σκότει, καὶ χρεία λύχνου ἕως ἀνατείλῃ ὁ ἥλιος· τιμία δὲ καὶ ἡ ἐπὶ τοῦ προσώπου Μωσέως δόξα (ἐγὼ δ' οἶμαι ὅτι
25 καὶ τῶν προφητῶν) καὶ καλὸν θέαμα, δι' ἧς εἰσαγόμεθα πρὸς τὸ δυνηθῆναι ἰδεῖν τὴν δόξαν Χριστοῦ, ᾗ μαρτυρῶν ὁ πατήρ φησιν· »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ηὐδόκησα«. ἀλλ' »οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης«, καὶ χρεία ἡμῖν πρότερον δόξης τῆς ἐπιδεχομένης κατάργησιν ὑπὲρ »τῆς ὑπερβαλλούσης δόξης«, ὡς
30 χρεία γνώσεως τῆς ἐκ μέρους, ἥτις »καταργηθήσεται, ὅταν ἔλθῃ τὸ τέλειον«. πᾶσα τοίνυν ψυχὴ ἐρχομένη εἰς νηπιότητα καὶ ὁδεύουσα »ἐπὶ τὴν τελειότητα«

4. 8 Matth. 7, 6 — 6 Matth. 5, 1 — 12 Vgl. Luc. 13, 29 — 18 Matth. 7, 7f — 21ff Phil. 3, 8 — 21f Vgl. Hier. in Matth. 98 B: *similis Pauli apostoli . . . ut Christum lucri faciat* — 23 Vgl. Luc. 1, 79 Apoc. 22, 5 — 24 Vgl. II. Kor. 3, 7 — 26 Matth. 3, 17 — 27. 29 II. Kor. 3, 10 — 29 Vgl. II. Kor. 3, 11 — 30 I. Kor. 13, 10 — 31 Vgl. Hebr. 6, 1

10 *** Kl, l. etwa ⟨ζητεῖν διδάσκοντος⟩ 13 βορᾶν MH 16 οἱ < H 19 ἀποτολμίσας H 20 ⟨ἀπο⟩δοὺς Diehl 22 καὶ] ἵνα v 24 l. τίμιον? Kl, vgl. Z. 23 | Μωσέως] s. zu S. 23, 26ff

δεῖται, μέχρις ἐνστῇ αὐτῇ »τὸ πλήρωμα τοῦ χρόνου«, παιδαγωγοῦ καὶ οἰκονόμων καὶ ἐπιτρόπων, ἵνα μετὰ ταῦτα πάντα ὁ πρότερον μηδὲν »διαφέρων δούλου κύριος πάντων ὤν« ἀπολάβῃ ἐλευθερωθεὶς ἀπὸ παιδαγωγοῦ καὶ οἰκονόμων καὶ ἐπιτρόπων τὰ πατρῷα. τὰ ἀνάλογον τῷ πολυτιμήτῳ μαρ-
5 γαρίτῃ καὶ τῷ ἐρχομένῳ τελείῳ, καταργοῦντι »τὸ ἐκ μέρους«, ὅταν »τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ« χωρῆσαί τις δυνηθῇ, προεγγυμνασάμενος ταῖς (ἵν' οὕτως ὀνομάσω) ὑπερεχομέναις γνώσεσιν ὑπὸ τῆς Χριστοῦ γνώσεως. ἀλλ' οἱ πολλοί, μὴ νοήσαντες τὸ κάλλος τῶν πολλῶν μαργαριτῶν νομικῶν καὶ τὴν ἔτι »ἐκ μέρους« γνῶσιν τὴν πᾶσαν προφητικήν, οἴονται
10 δύνασθαι χωρὶς ἐκείνων τρανουμένων καὶ καταλαμβανομένων δι' ὅλων εὑρεῖν τὸν ἕνα πολύτιμον μαργαρίτην καὶ θεωρῆσαι »τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ«, οὗ συγκρίσει πάντα τὰ πρὸ τῆς τηλικαύτης καὶ τοσαύτης γνώσεως, οὐ »σκύβαλα« τῇ ἰδίᾳ φύσει τυγχάνοντα, σκύβαλα ἀναφαίνεται, ἅπερ ἐστὶ τὰ παραβαλλόμενα τάχα τῇ συκῇ ὑπὸ τοῦ ἀμπελουργοῦ
15 κόπρια, αἴτια τυγχάνοντα τοῦ αὐτὴν καρποφορῆσαι.

10. »Τοῖς πᾶσι τοίνυν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν«, καὶ ἔστι τις »καιρὸς τοῦ συναγαγεῖν (τοὺς καλοὺς μαργαρίτας) λίθους«, καὶ καιρὸς μετὰ τὴν συναγωγὴν αὐτῶν τοῦ εὑρεῖν ἕνα πολύτιμον μαργαρίτην, ὅτε καθήκει ἀπελ|θόντα πωλῆσαι πάντα ὅσα 453
20 τις ἔχει, ἵνα ἀγοράσῃ τὸν μαργαρίτην ἐκεῖνον. ὥσπερ γὰρ πάντα τὸν ἐσόμενον σοφὸν ἐν λόγοις ἀληθείας δεήσει στοιχειωθῆναι πρότερον καὶ ἐπὶ πλεῖον διαβῆναι τῆς στοιχειώσεως καὶ περὶ πολλοῦ ποιεῖσθαι τὴν στοιχείωσιν, οὐ μὴν ἀπομένειν ἐν τῇ στοιχειώσει ὡς τιμήσαντα αὐτὴν κατὰ τὰς ἀρχάς, ἀλλὰ διαβάντα »ἐπὶ τὴν τελειότητα« χάριν ἔχειν τῇ εἰσαγωγῇ ὡς
25 χρησίμῳ γενομένῃ κατὰ τὰ πρότερα, οὕτως τελείως νοηθέντα τὰ νομικὰ καὶ τὰ προφητικὰ στοιχείωσίς ἐστι πρὸς τελείως ἐννοούμενον τὸ εὐαγγέλιον καὶ πάντα τὸν περὶ τῶν Χριστοῦ Ἰησοῦ ἔργων καὶ λόγων νοῦν.

11. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν (13. 47 [—50]).

30 Ὥσπερ ἐπὶ τῶν εἰκόνων καὶ τῶν ἀνδριάντων αἱ ὁμοιότητες οὐκ ἐξ ὅλων εἰσὶν ὁμοιότητες ἐκείνων πρὸς ἃ ταῦτα γίνεται, ἀλλ' ἡ μὲν ἐν ἑνὶ ἐπιπέδῳ ξύλῳ (φέρε εἰπεῖν) κηρογραφουμένη εἰκὼν τῆς ἐπιφανείας μετὰ τοῦ χρώματος ἔχει τὴν ὁμοιότητα. οὐκέτι δὲ σώζει τὰς εἰσοχὰς καὶ τὰς ἐξοχὰς ἀλλ' ἔμφασιν μόνην αὐτῶν, ἡ δὲ κατὰ τοὺς ἀνδριάντας πλάσις τὸ μὲν κατὰ

1 Vgl. Gal. 4, 4 — 1ff Vgl. Gal. 4, 2. 1 — 5f Vgl. I. Kor. 13, 10 — 5. 11 Phil. 3, 8 — 9 Vgl. I. Kor. 13, 9 — 13 Vgl. Phil. 3, 8 — 14f Vgl. Luc. 13, 7ff — 16 Pred. 3, 1 — 17 Vgl. Pred. 3, 5 — 24 Vgl. Hebr. 6, 1

25 χρησίμῳ υ χρησίμως M H 25 κατὰ τὰ | κατὰ τὰ H 26 τελείως ἐννοούμενον Kl (nach Hu) τελείωσιν νοούμενον M H

τὰς εἰσοχὰς καὶ τὰς ἐξοχὰς πειρᾶται σώζειν ὁμοίωμα οὐκέτι δὲ καὶ τὰ κατὰ τὴν χρόαν, ἐὰν δὲ καὶ κήρινον ἐκμαγεῖον γένηται, σώζειν μὲν πειρᾶται ἀμφότερα (λέγω δὲ καὶ τὰ κατὰ τὴν χρόαν καὶ τὰ κατὰ τὰς εἰσοχὰς καὶ ἐξοχὰς) οὐ μὴν καὶ τῶν ἐν βάθει εἰκών ἐστιν, οὕτω μοι νόει καὶ ἐπὶ τῶν κατὰ
5 *τὸ εὐαγγέλιον ὁμοιώσεων τὴν βασιλείαν τῶν οὐρανῶν ὁμοιουμένην τινὶ ὁμοιοῦσθαι οὐ διὰ πάντα τὰ προσόντα τῷ εἰς ὃ ἡ ὁμοίωσις, ἀλλὰ διά τινα ὧν χρήζει ὁ παραληφθεὶς λόγος. καὶ ἐνταῦθα τοίνυν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, οὐχ ὡς οἴονταί τινες παριστάντες τῷ λόγῳ φύσεις εἶναι ὑποκειμένας διαφόρους*
10 *τῶν ὑπὸ τὴν σαγήνην ἐληλυθότων πονηρῶν καὶ δικαίων, ὥστε νομίζειν εἶναι διὰ τὸ ἐκ παντὸς γένους συναγαγούσῃ δικαίων πολλὰς καὶ διαφόρους φύσεις. ὁμοίως δὲ καὶ πονηρῶν· τῇ γὰρ τοιαύτῃ ἐκδοχῇ ἐναντιοῦνται πᾶσαι αἱ τὸ αὐτεξούσιον ἐμφαίνουσαι γραφαὶ καὶ αἰτιώμεναι μὲν τοὺς ἁμαρτάνοντας ἀποδεχόμεναι δὲ τοὺς κατορθοῦντας, οὐκ ἂν δικαίως*
15 *μέμψεως τοῖς ἀπὸ τῶν φαύλων γενῶν φύσει τοιούτων τυγχανόντων ἀκολουθούσης ἢ ἐπαίνου τοῖς ἀπὸ τῶν ἀστειοτέρων. ἰχθύων γὰρ φαύλων καὶ καλῶν ἡ αἰτία οὐ περὶ τὰς ψυχὰς τῶν ἰχθύων ἐστίν, ἀλλὰ περὶ ἐκεῖνο, ὅπερ ἐπιστάμενος ὁ λόγος εἶπεν· »ἐξαγαγέτω τὰ | ὕδατα ἑρπετὰ ψυχῶν* 454
ζωσῶν«, ὅτε καὶ »ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν
20 *ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν«. οὐκοῦν ἐκεῖ μὲν »πᾶσαν ψυχὴν ζώων ἑρπετῶν« »ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν«, οὐκ οὔσης τῆς αἰτίας περὶ αὐτήν. ἐνταῦθα δὲ ἡμεῖς ἐσμεν οἱ αἴτιοι τοῦ εἶναι καλὰ καὶ ἄξια τῶν λεγομένων ἀγγῶν γένη ἢ σαπρὰ καὶ ἄξια τοῦ ἔξω βληθῆναι· οὐ γὰρ φύσις ἐν ἡμῖν αἰτία τῆς πονηρίας, ἀλλὰ προαίρεσις ἑκούσιος*
25 *οὖσα κακοποιητική. οὕτως δὲ οὐδὲ φύσις αἰτία δικαιοσύνης ὡς ἀνεπίδεκτος ἀδικίας, ἀλλὰ λόγος ὃν παρεδεξάμεθα ὁ κατασκευάζων δικαίους· καὶ γὰρ τὰ μὲν τῶν ἐνύδρων γένη οὐκ ἔστιν ἰδεῖν μεταβάλλοντα ἀπὸ φαύλων ὡς ἐν ἰχθύσι γενῶν ἐπὶ τὰ ἀστεῖα, ἢ ἀπὸ τῶν βελτιόνων ἐπὶ τὰ χείρονα, τοὺς δὲ ἐν ἀνθρώποις δικαίους ἢ πονηροὺς ἀεὶ ἔστι θεωρεῖν ἢ ἐπὶ τὴν ἀρετὴν*
30 *ἐκ κακίας φθάνοντας ἢ ἀπὸ τῆς ἐπ' ἀρετὴν προκοπῆς ἀναλυομένους ἐπὶ τὴν τῆς κακίας χύσιν.*

Διὸ καὶ ἐν τῷ Ἰεζεκιὴλ περὶ μὲν τοῦ ἀπὸ ἀνομίας ἐπιστρέφοντος ἐπὶ τὴν τήρησιν τῶν θείων ἐντολῶν τοιαῦτα γέγραπται· »καὶ ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε« καὶ τὰ ἑξῆς ἕως τοῦ »ὡς

13ff Orig. de or. 29, 13 (II, 387, 26ff) frgm. in Joh. 3, 19 (IV, 518, 13) u. ö. Vgl. Harnack TU. 42, 4, 62 A. 1 — **18** Gen. 1, 20 — **19** Gen. 1, 21 — **26** Vgl. Marc. 4, 20 — **32ff** Ez. 18, 21 — **34** Ez. 18, 23

1 *τὰ* < H **3** *τὰ*[1] < H **4ff** *Ση περὶ ὁμοιοτήτων* i. m. H
10 *καὶ* < H **11** *συναγούσῃ* M **30—13, 2** *ἀναλυομένους—προκοπῆς* < H

τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν«, περὶ δὲ τοῦ
ἀναλυομένου ἀπὸ τῆς ἐπ' ἀρετὴν προκοπῆς ἐπὶ τὴν τῆς κακίας χύσιν τοιαῦτα·
»ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιῆσαι ἀδικίαν«
καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀπο-
5 θανεῖται«. ἢ λεγέτωσαν ἡμῖν οἱ ἐκ τῆς κατὰ τὴν σαγήνην παραβολῆς φύσεις
εἰσάγοντες, »ὁ ἄνομος« ὕστερον ἀποστρέφων »ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ
ὧν ἐποίησε« καὶ φυλάσσων »πάσας τὰς ἐντολὰς« τοῦ κυρίου καὶ ποιῶν »δικαιο-
σύνην καὶ ἔλεον«, ποίας φύσεως ἦν ἄνομος ὤν; οὐ γὰρ δὴ τῆς ἐπαινετῆς. ἀλλ'
εἰ ἄρα ψεκτῆς, καὶ ποίας φύσεως εὐλόγως ἂν λεχθ⟨εί⟩η, ὅτε ἀποστρέφει
10 »ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησεν«; εἰ μὲν γὰρ τῆς φαύλης διὰ τὰ
πρότερα, πῶς μετέβαλλεν ἐπὶ τὰ βελτίονα; εἰ δὲ τῆς ἀστείας διὰ τὰ δεύτερα,
πῶς ἀστείας φύσεως τυγχάνων ἄνομος ἦν; τὸ δ' ὅμοιον ἐπαπορήσεις καὶ
περὶ τοῦ ἀποστρέφοντος δικαίου »ἐκ τῆς δικαιοσύνης αὐτοῦ« καὶ ποιοῦντος
»ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας«. πρὶν γὰρ ἀποστρέψαι ἀπὸ τῆς δικαιο-
15 σύνης ἐν δικαίοις ἔργοις τυγχάνων φαύλης φύσεως οὐκ ἦν· φαύλη γὰρ φύσις
οὐκ ἂν ἐν δικαιοσύνῃ γένοιτο, ἐπεὶ μὴ δύναται δένδρον πονηρὸν (ἡ κακία)
καρποὺς ἀγαθοὺς ποιεῖν (τοὺς ἀπὸ ἀρετῆς). πάλιν τε αὖ οὐκ ἂν ἀστείας
| καὶ ἀμεταβλήτου φύσεως ὢν ἀπὸ τοῦ καλοῦ ἀπέστρεφεν ἄν, μετὰ τὸ 455
χρηματίσαι δίκαιος, »ἐκ τῆς δικαιοσύνης αὐτοῦ« ἐπὶ τὸ »ποιῆσαι ἀδικίαν
20 κατὰ πάσας τὰς ἀνομίας αὐτοῦ, ἃς ἐποίησε«.

12. Τούτων δὲ εἰρημένων, νομιστέον ὡμοιῶσθαι τὴν βασιλείαν τῶν
οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς
γένους συναγαγούσῃ εἰς παράστασιν τοῦ ποικίλου τῶν ἐν ἀνθρώποις
προαιρέσεων, διαφορὰν πρὸς ἀλλήλας πλείστην ὅσην ἐχουσῶν, ὡς εἶναι τὸ
25 ἐκ παντὸς γένους συναγαγούσῃ ἐπαινετοὺς καὶ ψεκτοὺς ἐν ταῖς πρὸς
τὰ εἴδη τῶν ἀρετῶν ἢ τῶν κακιῶν ἐπιρρεπείαις. σαγήνης δὲ πλοκῇ ποικίλῃ
ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν κατὰ τὴν πεπλεγμένην ἐκ παντο-
δαπῶν καὶ ποικίλων νοημάτων παλαιὰν καὶ καινὴν γραφήν. καὶ ὥσπερ

3. 4 Ez. 18, 24 — **6ff. 10** Vgl. Ez. 18, 21 — **13ff** Vgl. Ez. 18, 24 — **16f** Vgl. Matth. 7, 18 — **19f** Ez. 18, 24 — **26—15, 12** Vgl. C[1] Nr. 183 Or. (?) *Π* 159, 1ff. An. C[luc] Nr. 18 Or. — **26ff** Vgl. Orig. hom. XVI, 1 in Jer. (III, 132, 5ff.): *τοὺς ἔχοντας ἀπὸ θεοῦ χάριν λόγου πεπλεγμένην ὡς δίκτυα καὶ συγκειμένην ἀπὸ τῶν ἱερῶν γραφῶν ὡς ἀμφίβληστρον.* Vgl. Hier. in Matth. 98 D: *contexuerunt sibi ex veteri et novo testamento sagenam evangelicorum dogmatum et miserunt eam in mare huius saeculi, quae usque hodie in mediis fluctibus tenditur, capiens de salsis et amaris gurgitibus* etc.

3 ἐκ] ἀπὸ M **5** τὴν < H **7** πάσας < H **9** λεχθ⟨εί⟩η Kl mit V **10** ἑαυτοῦ H **11** πῶς—δεύτερα < H | μετέβαλεν *v* **21** ὡμοιῶσθαι *v* < M ὁμοιῶσθαι H **26ff** σαγήνης (Hu) C[1] Nr. 183 *Π* σαγήνη MH **26** κακῶν M

τῶν ὑπὸ τὴν σαγήνην πιπτόντων ἰχθύων οἱ μὲν κατὰ τάδε τὰ μέρη τῆς σαγήνης εὑρίσκονται οἱ δὲ καθ' ἕτερα, καὶ ἕκαστος ὑφ' ὃ κεκράτηται μέρος, οὕτως εὕροις ἂν καὶ ἐπὶ τῶν ὑπὸ τὴν σαγήνην τῶν γραφῶν ἐληλυθότων τινὰς μὲν κεκρατημένους ὑπὸ τὴν προφητικὴν πλοκὴν (φέρ' εἰπεῖν, Ἡσαΐου
5 κατὰ τόδε τὸ ῥητὸν ἢ Ἱερεμίου ἢ Δανιήλ), ἄλλους δὲ κατὰ νομικὴν καὶ ἄλλους κατὰ εὐαγγελικὴν καὶ τινὰς κατὰ ἀποστολικήν. πρῶτον γὰρ ἁλισκόμενός τις ὑπὸ τοῦ λόγου ἢ δοκῶν ἁλίσκεσθαι, ἔκ τινος λαμβάνεται μέρους τῆς ὅλης σαγήνης. οὐδὲν δὲ ἄτοπον εἴ τινες τῶν ἁλόντων ἰχθύων ἐμπεριέχονται ὅλῃ τῇ τῆς ἐν ταῖς γραφαῖς σαγήνης πλοκῇ καὶ πανταχόθεν συνέχονται
10 καὶ κρατοῦνται, διαδρᾶναι μὴ δυνάμενοι, ἀλλ' ὡσπερεὶ πάντοθεν καταδουλούμενοι καὶ ἐκπεσεῖν τῆς σαγήνης οὐκ ἐώμενοι. βέβληται δὲ ἡ σαγήνη αὕτη εἰς τὴν θάλασσαν, τὸν πανταχοῦ τῆς οἰκουμένης τῶν ἀνθρώπων κυματούμενον βίον, *** καὶ ἐν τοῖς ἁλμυροῖς πράγμασι τοῦ βίου νηχομένων. αὕτη δὲ ἡ σαγήνη πρὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ ὅλη μὲν πεπληρωμένη
15 οὐκ ἦν· ἔλειπε γὰρ τῇ νομικῇ καὶ προφητικῇ πλοκῇ ὁ εἰπών· »μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι«. καὶ πεπλήρωται ἡ τῆς σαγήνης πλοκὴ ἐν τοῖς εὐαγγελίοις καὶ τοῖς Χριστοῦ διὰ τῶν ἀποστόλων λόγοις. διὰ τοῦτο οὖν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν
20 καὶ ἐκ παντὸς γένους συναγαγούσῃ.

Δύναται δὲ χωρὶς τῶν ἀποδεδομένων τὸ ἐκ παντὸς ⟨γένους⟩ συναγαγούσῃ δηλοῦν τὴν ἀπὸ παντὸς γένους ἐθνῶν κλῆσιν. οἱ δὲ διακονησάμενοι τῇ βληθείσῃ εἰς τὴν θάλασσαν σαγήνῃ ὁ κύριός ἐστι τῆς σαγήνης | Ἰησοῦς Χριστὸς καὶ οἱ προσελθόντες ἄγγελοι καὶ διακονησά- 456
25 μενοι αὐτῷ, οἵτινες οὐκ ἀναβιβάζουσιν ἀπὸ τῆς θαλάσσης τὴν σαγήνην οὐδὲ φέρουσιν ἐπὶ τὸν ἔξω αὐτῆς αἰγιαλόν, τὰ ἔξω τοῦ βίου πράγματα, ἐὰν μὴ πληρωθῇ ἡ σαγήνη, τουτέστι »τὸ πλήρωμα τῶν ἐθνῶν« εἰς αὐτὴν »εἰσέλθῃ«. ὅταν δὲ εἰσέλθῃ, τότε αὐτὴν ἀναβιβάζουσιν ἀπὸ τῶν τῇδε καὶ κάτω πραγμάτων, καὶ φέρουσιν ἐπὶ τὸν τροπικῶς καλούμενον αἰγιαλόν· ἔνθα
30 ἔργον ἔσται τῶν ἀναβιβασάντων αὐτὴν καὶ καθίσαι παρὰ τῷ αἰγιαλῷ καὶ ἱδρύσαι ἑαυτοὺς ἐκεῖ, ἵνα ἕκαστον μὲν τῶν ὑπὸ τὴν σαγήνην καλῶν εἰς τὸ οἰκεῖον τάγμα καταστήσωσι κατὰ τὰ ὀνομαζόμενα ἐνταῦθα αὐτῶν ἀγγεῖα, τὰ δὲ ἐναντίως ἔχοντα καὶ σαπρὰ καλούμενα ἔξω βάλωσι. τὸ δὲ ἔξω ἡ κάμινός ἐστι τοῦ πυρός, ὡς ὁ σωτὴρ ἡρμήνευσεν εἰπών· οὕτως

15 Matth. 5, 17 — 24f Vgl. Matth. 4, 11 — 27 Vgl. Röm. 11, 25 —

4 φέρε M 13 *** Koe, etwa: ⟨ἄνω καὶ κάτω φερομένων⟩ 13 νηχομένων Kl νηχόμενον M H 21 τὸ] τῇ M 21 ⟨γένους⟩ Kl mit C[luc] Nr. 18 24 ἄγγελοι] + καὶ ἅγιοι Π cod. Me | διακομισάμενοι M 26 τοῦ] τοῦδε τοῦ C[luc] Nr. 18 28 ἔλθῃ H 29 τὸν] τῶν H

ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσιν αὐτοὺς τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. πλὴν τηρητέον, ὅτι ἤδη διὰ τῆς τῶν ζιζανίων παραβολῆς καὶ τῆς προκειμένης ὁμοιώσεως 5 διδασκόμεθα, ὅτι ἄγγελοι μέλλουσι πιστεύεσθαι τὸ διακρῖναι καὶ διαχωρίσαι τοὺς φαύλους ἀπὸ τῶν δικαίων. ἀνωτέρω μὲν γὰρ λέγεται ὅτι »ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ 10 βρυγμὸς τῶν ὀδόντων«, ἐνταῦθα δέ, ὅτι ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός.

13. Τούτοις δὲ οὐκ ἀκολουθεῖ, ὅπερ οἴονταί τινες, ὅτι καὶ τῶν ἁγίων ἀγγέλων εἰσὶ κρείττους οἱ ἄνθρωποι οἱ ἐν Χριστῷ σωζόμενοι· πῶς γὰρ 15 δύνανται οἱ ὑπὸ τῶν ἁγίων ἀγγέλων εἰς ἄγγη βαλλόμενοι τοῖς βάλλουσιν εἰς τὰ ἄγγη παραβάλλεσθαι, ὑπὸ τὴν ἐκείνων τεταγμένοι ἐξουσίαν; ταῦτα δέ φαμεν οὐκ ἀγνοοῦντες, τινῶν ἀγγέλων τῶν μὴ τοιαύτην οἰκονομίαν ἐγκεχειρισμένων (ἀλλ' οὐδὲ τούτων πάντων) διαφέρειν τοὺς ἐν Χριστῷ σωθησομένους ἀνθρώπους· ἀνέγνωμεν γὰρ καὶ τὸ »εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι 20 παρακύψαι«, ἔνθα οὐκ εἴρηται· πάντες »ἄγγελοι«. οἴδαμεν καὶ τὸ »ἀγγέλους κρινοῦμεν«, ὅπου μὴ λέλεκται· πάντας »ἀγγέλους«. τούτων δὲ ἀναγεγραμμένων περὶ τῆς σαγήνης καὶ τῶν ὑπὸ τὴν σαγήνην, ὁ βουλόμενος πρὸ τῆς συντελείας τοῦ αἰῶνος καὶ πρὸ τοῦ ἐξελθόντας τοὺς ἀγγέλους ἀφορίσαι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων μὴ εἶναι καὶ πονηροὺς | 457 25 ὑπὸ τὴν σαγήνην ἐκ παντὸς γένους ἔοικε μήτε τὴν γραφὴν νενοηκέναι καὶ ἀδυνάτων ἐπιθυμεῖν. διὸ μὴ ξενιζώμεθα, ἐὰν πρὸ τοῦ ἀφορισθῆναι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων ὑπὸ τῶν ἐπὶ τούτῳ ἐξαποσταλησομένων ἀγγέλων ὁρῶμεν ἡμῶν τὰ ἀθροίσματα πεπληρωμένα καὶ πονηρῶν. ἀλλ' εἴθε μὴ πλείους οὗτοι τυγχάνοιεν ὄντες τῶν δικαίων οἱ 30 βληθησόμενοι εἰς τὴν κάμινον τοῦ πυρός. ἐπεὶ δὲ ἐλέγομεν ἐν ἀρχῇ, ὅτι αἱ παραβολαὶ καὶ αἱ ὁμοιώσεις οὐκ εἰς πάντα, οἷς παραβάλλονται ἢ ὁμοιοῦνται, παραλαμβάνονται ἀλλ' εἴς τινα, ἔτι τοῦτο κατασκευαστέον καὶ ἐκ τῶν λεχθησομένων, ὅτι ἐπὶ μὲν τῶν ἰχθύων, ὡς πρὸς τὴν ζωὴν αὐτῶν, φαῦλόν τι αὐτοῖς συμβαίνει τὸ ὑπὸ τὴν σαγήνην εὑρεθῆναι (τῆς γὰρ κατὰ 35 φύσιν αὐτοῖς ζωῆς στερίσκονται καὶ οὔτε εἰς ἄγγη βαλλόμενοι οὔτε ἔξω

6 Matth. 13, 41f — 19 I. Pet. 1, 12 — 20 I. Kor. 6, 3 — 30ff Vgl. S. 12, 4ff — 33ff Vgl. Orig. hom. XVI, 1 in Jer. (III, 132, 13ff)

2 [αὐτοὺς]? Kl | μέσων M 15 τῶν ἁγίων] vgl. Z. 13 ἁγίων H 19 ἃ] τὸ M 21 ὅπου] ἔνθα M 24. 27 μέσων M 26 ἀδύνατον H

ῥιπτόμενοι πλεῖόν τι πάσχουσι τοῦ ἀπολέσαι τὴν ὡς ἐν ἰχθύσι ζωήν), ἐπὶ δὲ τῶν, δι' ἃ λαμβάνεται ἡ παραβολή, φαῦλον μέν ἐστι τὸ εἶναι ἐν θαλάσσῃ καὶ μὴ ὑπὸ τὴν σαγήνην ἐλθεῖν ἐπὶ τῷ εἰς ἄγγη μετὰ τῶν καλῶν βληθῆναι. οὕτω δὲ ἰχθῦς μὲν φαῦλοι ἔξω βάλλονται καὶ ῥιπτοῦνται, οἱ δὲ κατὰ
5 τὴν προκειμένην ὁμοίωσιν φαῦλοι βάλλονται εἰς τὴν κάμινον τοῦ πυρός, ἵνα τὰ ἐν τῷ Ἰεζεκιὴλ περὶ τῆς καμίνου εἰρημένα καὶ ἐπὶ τούτους φθάσῃ· »καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ἰσραὴλ ἀναμεμιγμένοι πάντες χαλκῷ καὶ σιδήρῳ« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος ἐξέχεα τὸν θυμόν μου ἐφ'
10 ὑμᾶς«.

14. Συνήκατε ταῦτα πάντα; λέγουσι ναί (13, 51 [52]).

Ὁ γινώσκων τὰ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων Χριστὸς Ἰησοῦς (ὡς καὶ περὶ τούτου ἐδίδαξεν ἐν τῷ εὐαγγελίῳ ὁ Ἰωάννης) οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλ' ἅπαξ ἀναλαβὼν ἄνθρωπον χρῆται καὶ τοῖς αὐτοῦ πᾶσιν, ὧν
15 ἓν καὶ τὸ ἐρωτᾶν. καὶ οὐ θαυμαστὸν εἰ ὁ σωτὴρ τοῦτο ποιεῖ, ὅπου γε καὶ ὁ τῶν ὅλων θεὸς τροποφορῶν τοὺς ἀνθρώπους »ὡς εἴ τις τροποφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ« πυνθάνεται, ὡς ἐν τῷ »Ἀδάμ, ποῦ εἶ«; καὶ »ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου«; βιασάμενος δέ τις ἐνταῦθα φήσει οὐκ ἐρωτηματικῶς εἰρῆσθαι ἀλλὰ ἀποφαντικῶς τὸ συνήκατε, ἐρεῖ δ' ὅτι καὶ οἱ
20 μαθηταὶ μαρτυροῦντες αὐτοῦ τῇ ἀποφάσει λέγουσιν αὐτῷ τὸ ναί. πλὴν εἴτε ἐρωτᾷ εἴτε ἀποφαίνεται, ἀναγκαίως λέγεται οὐ τὸ ταῦτα μόνον (δεικτικὸν ὂν) οὐδὲ τὸ πάντα μόνον, ἀλλὰ τὸ ταῦτα πάντα. ἔοικε δὲ νῦν τοὺς μαθητὰς παριστάναι πρὸ τῆς τῶν οὐρανῶν βασιλείας γραμματεῖς γεγονέναι· ἀλλὰ τούτῳ ἐναντιώσεται τὸ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων
25 τοῦτον εἰρημένον τὸν τρόπον· »θεωροῦν|τες δὲ τὴν τοῦ Πέτρου παρρησίαν 458 καὶ Ἰωάννου καὶ καταλαβόντες ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν«. ἐπιζητήσει τις οὖν πρὸς ταῦτα· εἰ μὲν γραμματεῖς ἦσαν, πῶς »ἀγράμματοι« ἐν ταῖς Πράξεσι λέγονται »καὶ ἰδιῶται«; εἰ δ' ἦσαν »ἀγράμματοι καὶ ἰδιῶται«,
30 πῶς σαφέστατα γραμματεῖς ὑπὸ τοῦ σωτῆρος ὀνομάζονται; λεχθείη δ' ἂν εἰς τὰ ἐζητημένα ὅτι ἤτοι οὐ πάντες ἀλλὰ Πέτρος καὶ Ἰωάννης »ἀγράμματοι

6 Ez. 22, 17f — 7 Ez. 22, 22 — **13ff** Vgl. Joh. 2, 24f — **14—20** Vgl. *Π* 160, 1ff — **14ff** Vgl. Orig. tom. X, 6 in Joh. (IV, 176, 24f) — **16** Deut. 1, 31 — **17** Gen. 3, 9 — Gen. 4, 9 — **22—18, 7** Vgl. C[1] Nr. 184 Or. = C[b] Nr. 27 Or. — **25** Act. 4, 13 — **28ff. 31** Vgl. Act. 4, 13

2 ἃ] οὓς? M 4 μὲν] < M 6 τούτοις M 8 οἶκος + τοῦ M 14 ἀλλὰ M 15 γε] δὲ M 16 ὅλων] ἀγγέλων M 18 τις < H 18f οὐκ —ἀποφαντικῶς z. T. zerstört in M 21 ἀποφέρεται H 25 παρουσίαν M 27 ἐπιζητήσει Kl ἐπιζητήσαι M H 28f ἐν ταῖς Πράξεσι < M

καὶ ἰδιῶται« ἐν ταῖς Πράξεσιν εἴρηνται, πλείονες δ' ἦσαν οἱ μαθηταί, ἐφ' οἷς συνιεῖσι πάντα λέλεκται τὸ πᾶς γραμματεὺς καὶ τὰ ἑξῆς· ἢ γραμματεὺς πᾶς ὁ μεμαθητευμένος τῇ κατὰ τὸ γράμμα τοῦ νόμου διδασκαλίᾳ ὀνομάζεται, ὡς καὶ τοὺς ἀγραμμάτους μὲν καὶ ἰδιώτας (ἀγομένους δὲ ὑπὸ
5 τῷ τοῦ νόμου γράμματι) γραμματεῖς λέγεσθαι κατά τι σημαινόμενον. καὶ ἰδιωτῶν γε μάλιστά ἐστι, μὴ εἰδότων τροπολογεῖν μηδὲ συνιέντων τὰ τῆς ἀναγωγῆς τῶν γραφῶν, ἀλλὰ τῷ γράμματι ψιλῷ πιστευόντων καὶ τοῦτο ἐκδικούντων, τὸ χρηματίζειν αὐτοὺς γραμματεῖς.

Οὕτως δέ τις διηγήσεται καὶ τὸ »οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι
10 ὑποκριταί«, ὡς παντὶ εἰρημένον τῷ πλὴν τοῦ γράμματος μηδὲν ἐπισταμένῳ. ἔνθα ζητήσεις, εἰ ὥσπερ νομικὸς γραμματεὺς οὕτως ἔσται καὶ εὐαγγελικός, καὶ ὥσπερ τὸν νόμον ἀναγινώσκων καὶ ἀκούων καὶ λέγων »ἅτινά ἐστιν ἀλληγορούμενα«, οὕτω καὶ τὸ εὐαγγέλιον, ὡς εἰδέναι (τηρουμένης τῆς κατὰ τὰ γενόμενα ἱστορίας) τὴν ἐπὶ τὰ πνευματικὰ ἄπταιστον ἀναγωγήν, ἵνα
15 μὴ ᾖ μαθήματα »πνευματικὰ πονηρίας«, ἀλλ' ἐναντίως ἔχοντα πνευματικοῖς πονηρίας πνευματικὰ ἀγαθότητος. μαθητεύεται δὲ τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματεὺς κατὰ μὲν τὸ ἁπλούστερον, ὅτε ἀπὸ Ἰουδαϊσμοῦ ἀναλαμβάνει τις τὴν Ἰησοῦ Χριστοῦ ἐκκλησιαστικὴν διδασκαλίαν· κατὰ δὲ τὸ βαθύτερον, ὅτε τὰς διὰ τοῦ γράμματος τῶν γραφῶν εἰσαγωγὰς παρα-
20 λαβών τις ἀναβαίνει ἐπὶ τὰ πνευματικά, ὀνομαζόμενα βασιλείαν οὐρανῶν. καὶ καθ' ἕκαστόν γε διανόημα ἐπιτυγχανόμενον καὶ ἐπαναβεβηκότως νοηθὲν καὶ παραδειχθὲν καὶ ἀποδειχθὲν ἔστι νοῆσαι βασιλείαν οὐρανοῦ, ὡς τὸν περισσεύοντα τῇ ἀψευδεῖ γνώσει ἐν τῇ βασιλείᾳ γίνεσθαι τοῦ πλήθους τῶν οὕτως ἀποδεδομένων οὐρανῶν. οὕτω δὲ καὶ τροπολογήσεις τὸ »μετα-
25 νοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν«, ἵν' οἱ γραμματεῖς, τουτέστιν οἱ τῷ γράμματι ψιλῷ προσαναπαυόμενοι, μετανοοῦντες | ἀπὸ τῆς τοιαύτης ἐκδοχῆς μαθητεύωνται τῇ διὰ Ἰησοῦ Χριστοῦ τοῦ ἐμψύχου λόγου πνευματικῇ διδασκαλίᾳ, καλουμένῃ βασιλείᾳ οὐρανῶν. διὰ τοῦτο καὶ ὅσον μὲν Ἰησοῦς Χριστός, ὁ »ἐν ἀρχῇ πρὸς τὸν θεὸν« θεὸς λόγος οὐκ ἐπιδημεῖ
30 ψυχῇ, οὐκ ἔστιν ἐν ἐκείνῃ ἡ βασιλεία τῶν οὐρανῶν· ὅταν δὲ ἐγγύς τις γένηται τοῦ χωρῆσαι τὸν λόγον, τούτῳ ἐγγίζει ἡ βασιλεία τῶν οὐρανῶν. 459

Εἰ δὲ ταὐτόν ἐστιν ὑποστάσει (εἰ καὶ μὴ ἐπινοίᾳ) βασιλεία οὐρανῶν καὶ βασιλεία θεοῦ, δῆλον ὅτι πρὸς οὓς λέγεται· »ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστι«, πρὸς τούτους ἂν λέγοιτο καὶ τὸ »ἡ βασιλεία« τῶν οὐρανῶν

4f Vgl. Gal. 5, 18; Röm. 2, 27 — 5ff Vgl. Orig. c. Cels. VII, 18 (II, 170, 1ff) — 9 Matth. 23, 13 — 12 Gal. 4, 24 — 15 Vgl. Eph. 6, 12 — 24 Matth. 4, 17 — 29 Joh. 1, 2 — 33. 34 Luc. 17, 21

10 γραμματέως M 11 ἐστὶ H 20 οὐρανῶν] τοῦ οὐνου M 21 ἐπιτυγχάνομεν M^c 23 περισσεύοντα] πιστεύων C^1 Nr. 184

»ἐντὸς ὑμῶν ἐστι«, καὶ μάλιστα διὰ τὴν ἀπὸ τοῦ γράμματος ἐπὶ τὸ πνεῦμα μετάνοιαν, ὅτι »ἡνίκα ἂν ἐπιστρέψῃ« τις »πρὸς κύριον, περιαιρεῖται τὸ« ἐπὶ τῷ γράμματι »κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν«. ὁ δὲ ἀληθῶς οἰκοδεσπότης καὶ ἐλεύθερός ἐστι καὶ πλούσιος· πλουτῶν διὰ τὸ ἀπὸ γραμματείας
5 μεμαθητεῦ⟨σ⟩θαι τῇ βασιλείᾳ τῶν οὐρανῶν »ἐν παντὶ λόγῳ« τῷ παρὰ τῆς παλαιᾶς διαθήκης »καὶ ἐν πάσῃ γνώσει« τῇ περὶ τῆς καινῆς Χριστοῦ Ἰησοῦ διδασκαλίας, καὶ τὸν πλοῦτον τοῦτον ἔχων ἀποκείμενον ἐν τῷ αὐτοῦ θησαυρῷ, ᾧ θησαυρίζει ὡς βασιλείᾳ μαθητευθεὶς τῶν οὐρανῶν »ἐν οὐρανῷ, ὅπου οὔτε σὴς ἀφανίζει, οὔτε κλέπται διορύσσουσι«. καὶ ἔστι
10 γε ἀληθῶς ὁρίσασθαι περὶ τοῦ (ὡς ἀποδεδώκαμεν) ἐν οὐρανοῖς θησαυρίζοντος, ὅτι οὐδὲ εἷς σὴς τῶν παθῶν ἅψασθαι αὐτοῦ τῶν πνευματικῶν καὶ οὐρανίων δύναται χρημάτων. σὴς δὲ τῶν παθῶν εἶπον λαβὼν ἀφορμὴν ἀπὸ τῶν Παροιμιῶν, ἐν αἷς γέγραπται· »ὥσπερ ⟨σὴς ἐν ἱματίῳ καὶ⟩ ἐν ξύλῳ σκώληξ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν«· σκώληξ γὰρ καὶ σής
15 ἐστιν ἡ λύπη, βλάπτουσα καρδίαν τὴν μὴ ἐν οὐρανοῖς καὶ τοῖς πνευματικοῖς ἔχουσαν τοὺς θησαυρούς, ἐν οἷς ἐάν τις θησαυρίζῃ (ἐπεὶ »ὅπου ὁ θησαυρός, ἐκεῖ καὶ ἡ καρδία«), ἐν οὐρανοῖς ἔχει τὴν καρδίαν καὶ δι' αὐτὴν λέγει· »ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου«. οὕτω δὲ οὐδὲ κλέπται, περὶ ὧν εἶπεν ὁ σωτὴρ ὅτι »πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ
20 κλέπται εἰσὶ καὶ λῃσταί«, διορύσσειν δύνανται τὰ ἐν οὐρανοῖς τεθησαυρισμένα καὶ τὴν παροῦσαν αὐτοῖς καρδίαν καὶ διὰ τοῦτο λέγουσαν· »συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ« καὶ »ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει«.

15. Ἐπεὶ δὲ πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ
25 τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰ|κοδεσπότῃ, ὅστις 460 προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά, δῆλον ὅτι καὶ (κατὰ τὴν καλουμένην τῆς προτάσεως ἀντιστροφὴν) πᾶς ὅστις μὴ προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά, οὐκ ἔστι γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν. συνάγειν οὖν
30 παντὶτρόπῳ πειρατέον ἐν τῇ καρδίᾳ ἡμῶν διὰ τοῦ προσέχειν »τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ« καὶ »ἐν τῷ νόμῳ κυρίου μελετᾶν ἡμέρας καὶ νυκτὸς« οὐ μόνον τὰ καινὰ τῶν εὐαγγελίων καὶ τῶν ἀποστόλων καὶ τῆς

2 II. Kor. 3, 16f — **5f** I. Kor. 1, 5 — **9** Matth. 6, 20 — **10f. 16f. 18ff** Vgl. Matth. 6, 20 — **13** Prov. 25, 20a — **16** Matth. 6, 21 — **17** Psal. 26, 3 — **19** Joh. 10, 8 — **21** Eph. 2, 6 — **22** Phil. 3, 20 — **30** I. Tim. 4, 13 — **31** Psal. 1, 2 — **32ff** Vgl. Harnack TU. 42, 4, 4 A. 2

2 ὅτι Hu ὅτε M H **5** μεμαθητεῦ⟨σ⟩θαι ϱ **11** ὅτε M | ἅψεσθαι M **13** ⟨σὴς—καὶ⟩ Lo **21** καὶ[1] + ⟨κλέπτειν⟩ Koe **26** προσφέρει M **31** νόμῳ + τοῦ M

ἀποκαλύψεως αὐτῶν λόγια, ἀλλὰ καὶ παλαιὰ τοῦ »σκιὰν« ἔχοντος »τῶν μελλόντων ἀγαθῶν« νόμου καὶ τῶν ἀκολούθως αὐτοῖς προφητευσάντων προφητῶν. συναχθήσεται δὲ ταῦτα, ἐὰν καὶ ἀναγινώσκωμεν καὶ γινώσκωμεν καὶ μεμνημένοι τούτων »πνευματικὰ πνευματικοῖς« εὐκαίρως συγκρίνωμεν, οὐ τὰ ἀσύγκριτα πρὸς ἄλληλα συγκρίνοντες, ἀλλὰ συγκριτὰ καὶ ὁμοιότητά τινα ἔχοντα λέξεως ταὐτὸν σημαινούσης καὶ νοημάτων καὶ δογμάτων, ἵν' »ἐπὶ στόματος δύο ἢ τριῶν« ἢ καὶ πλειόνων »μαρτύρων« τῶν ἀπὸ τῆς γραφῆς στήσωμεν καὶ βεβαιώσωμεν »πᾶν ῥῆμα« τοῦ θεοῦ. καὶ διὰ τούτων δὲ δυσωπητέον τοὺς (ὅσον ἐφ' ἑαυτοῖς) τὴν θεότητα διαιροῦντας καὶ διακόπτοντας ἀπὸ τῶν παλαιῶν τὰ καινά, ὡς μακρὰν τυγχάνοντας τῆς πρὸς τὸν οἰκοδεσπότην ὁμοιώσεως, προφέροντα ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

Ἐπεὶ δὲ ὁ ὁμοιούμενός τινι ἕτερός ἐστι παρ' ἐκεῖνον ᾧ ὁμοιοῦται, ἔσται ὁ μὲν μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματεὺς ὁ ὁμοιούμενος, ἕτερος δὲ παρὰ τοῦτον ὁ οἰκοδεσπότης, ὃς προφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά· ὁ δὲ ὁμοιούμενος αὐτῷ, ὡς τοῦτον μιμούμενος, τὸ παραπλήσιον ποιεῖν βούλεται. μήποτε οὖν ὁ μὲν οἰκοδεσπότης ἄνθρωπος αὐτός ἐστιν ὁ Ἰησοῦς, προφέρων ἐκ τοῦ θησαυροῦ αὐτοῦ κατὰ τὸν καιρὸν τῆς διδασκαλίας καινὰ μὲν τὰ πνευματικὰ καὶ ἀεὶ ἀνακαινούμενα ὑπ' αὐτοῦ ἐν τῷ ἔσω τῶν δικαίων ἀνθρώπῳ καὶ ἀεὶ ἀνακαινουμένῳ »ἡμέρᾳ καὶ ἡμέρᾳ«, παλαιὰ δὲ τὰ »ἐν γράμμασιν ἐντετυπωμένα λίθοις« καὶ λιθίναις καρδίαις τοῦ παλαιοῦ ἀνθρώπου, ἵνα τῇ συγκρίσει τοῦ γράμματος καὶ τῇ παραστάσει τοῦ πνεύματος πλουτίσῃ τὸν μαθητευθέντα τῇ βασιλείᾳ τῶν οὐρανῶν γραμματέα καὶ ποιήσῃ ἑαυτῷ ὅμοιον, ἕως ὁ μαθητὴς »γένηται ὡς ὁ διδάσκαλος«, μιμούμενος πρῶτον τὸν μιμητὴν τοῦ Χριστοῦ, μετὰ δὲ τοῦτον καὶ αὐτὸν ⟨τὸν⟩ Χριστὸν κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Παύλου· »μιμηταί μου γίνεσθε, καθὼς | κἀγὼ Χριστοῦ«. δύναται δὲ καὶ ἁπλούστερον Ἰησοῦς ὁ οἰκοδεσπότης προφέρειν ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ μὲν τὴν εὐαγγελικὴν διδασκαλίαν παλαιὰ δὲ τὴν σύγκρισιν τῶν ἀπὸ νόμου καὶ προφητῶν παραλαμβανομένων ῥητῶν, ὧν παραδείγματα ἔστιν ἐν τοῖς εὐαγγελίοις εὑρεῖν. περὶ δὲ τούτων τῶν

1 Vgl. Hebr. 10, 1 — **3** Vgl. II. Kor. 3, 2 — **4** Vgl. I. Kor. 2, 13 — **7ff** Vgl. II. Kor. 13, 1 — **9f** Vgl. Orig. hom. IX, 1 in Jer. (III, 64, 20ff) — **20f** Vgl. II. Kor. 4, 16 — **21** II. Kor. 3, 7 — **22** Vgl. Ez. 11, 19; Orig. de princ. III, 1 (V, 219, 5) — **25** Matth. 10, 25 — **27** I. Kor. 11, 1

13 δὲ < M | ὁ < H **14** ὁ μὲν] ὁ δὲ καὶ M καὶ ὁ μὲν Diehl **21** ἀνακαινουμένῳ Koe ἀνακαινουμένων M H | ἀεὶ] hinter ἀνακαινουμένων H **22** καὶ] l. ἢ ? Kl **26** τὸν² v < M H **31ff** Ση ταῦτα ὡς ἀναγκαιότατα i. m. H

παλαιῶν καὶ καινῶν ἀκουστέον καὶ τοῦ πνευματικοῦ νόμου λέγοντος ἐν Λευϊτικῷ· »καὶ φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε· καὶ θήσω τὴν σκηνήν μου ἐν ὑμῖν«· ἐσθίομεν γὰρ ἐν εὐλογίᾳ τὰ παλαιά, τοὺς προφητικοὺς λόγους, καὶ τούτων 5 τῶν παλαιῶν τὰ παλαιά, τοὺς νομικούς, καὶ ἐλθόντων τῶν νέων καὶ εὐαγγελικῶν βιοῦντες κατὰ τὸ εὐαγγέλιον τὰ παλαιὰ τοῦ γράμματος ἐκ προσώπου νέων ἐκφέρομεν. καὶ τίθησι τὴν ἑαυτοῦ σκηνὴν ἐν ἡμῖν πληρῶν ἣν εἶπεν ἐπαγγελίαν· »ἐνοικήσω καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς«.

16. *Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς 10 ταύτας, μετῆρεν ἐκεῖθεν. καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ* (13, 53 [—58]).

Ἐπεὶ ἐν τοῖς ἀνωτέρω ἐξητάσαμεν μήποτε τὰ μὲν τοῖς ὄχλοις λελαλημένα παραβολαὶ ἦσαν τὰ δὲ τοῖς μαθηταῖς ὁμοιότητες, καὶ τὰς εἰς τοῦτο ὑποπεσούσας παρατηρήσεις ἐξεθέμεθα, ὡς οἶμαι, οὐκ εὐκαταφρονήτους 15 τυγχανούσας, χρὴ εἰδέναι, ὅτι δόξει ἐκείνοις πᾶσιν ἐναντιοῦσθαι τὸ ἐπιλέγεσθαι οὐκ ἐπὶ ταῖς παραβολαῖς μόνον, ἀλλὰ καὶ ἐπὶ ταῖς (ὡς ἐξεδώκαμεν) ὁμοιότησι τὸ καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. ζητοῦμεν οὖν πότερον ἐκεῖνα πάντα ἀθετητέον ἢ δύο γένη παραβολῶν λεκτέον, τῶν τε τοῖς ὄχλοις λαλουμένων καὶ 20 τῶν τοῖς μαθηταῖς ἐπαγγελλομένων, ἢ καὶ ὁμώνυμον τὸ τῆς παραβολῆς ὄνομα νομιστέον ἢ τὸ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας ἐπὶ τὰς ἀνωτέρω παραβολὰς μόνας τὰς πρὸ τῶν ὁμοιώσεων ἀνακτέον. διὰ γὰρ τὸ »ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς«, οὐχ οἷόν τε λέγειν τοῖς μαθη- 25 ταῖς (ἅτε οὐκ οὖσι τῶν ἔξω) ἐν παραβολαῖς ἐκείνοις τὸν σωτῆρα λελαληκέναι. τούτῳ δὲ ἀκολουθεῖ ἤτοι τὸ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν ἀναφέρεσθαι ἐπὶ τὰς ἀνωτάτω εἰρημένας παραβολὰς ἢ ὁμώνυμον εἶναι τὸ τῆς παραβολῆς ὄνομα ἢ δύο γένη εἶναι παραβολῶν ἢ μηδ' ὅλως εἶναι παραβολὰς ἃ ὠνομάσαμεν 30 ὁμοιώσεις. πρόσχες δὲ ὅτι ἔξω τῆς πατρίδος αὐτοῦ λέγει τὰς παραβολάς, ἃς ὅτε ἐτέλεσε μετῆρεν ἐκεῖθεν, καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν. καὶ ὁ Μᾶρκος δέ φησι· »καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ, καὶ ἀκολουθοῦσιν αὐτῷ | οἱ μαθηταὶ αὐτοῦ«. ζητητέον οὖν καὶ κατὰ τὴν λέξιν, πότερον Νάζαρα λέγει 462

2 Lev. 26, 10f — 6 Vgl. Röm. 7, 6 — 8 II. Kor. 6, 16 (Lev. 26, 12) — 12ff Vgl. S. 4, 16ff — 23 Luc. 8, 10 — 25 Vgl. Marc. 4, 11 — 33 Marc. 6, 1 — 34f Matth. 2, 23

3 *ἐξοίσεται* H 5 *τῶν*[1] < H 8 *ἑαυτοῖς* M 18 *πάντα*] *ταῦτα* M 20 *καὶ* < M 23 *ἀνενεκτέον* H 25 *ἐκείναις* Diehl 26 *τὸ* + *καὶ* M 30 *ἑαυτοῦ* H 31 *ἐτέλεσε*] *ἔλεγε* M

τὴν πατρίδα αὐτοῦ ἢ Βηθλεέμ· Νάζαρα μὲν διὰ τὸ »Ναζωραῖος κληθήσεται«. Βηθλεὲμ δὲ ἐπεὶ ἐν αὐτῇ γεγέννηται. ἔτι δὲ ἐφίστημι μήποτε δυνάμενοι οἱ εὐαγγελισταὶ εἰπεῖν· ἐλθὼν εἰς Βηθλεὲμ ἢ ἐλθὼν εἰς Νάζαρα, τοῦτο μὲν οὐ πεποιήκασι πατρίδα δὲ ὠνομάκασι διά τι μυστικῶς ἐν τῷ
5 τόπῳ περὶ τῆς πατρίδος αὐτοῦ δηλούμενον ὅλης ⟨οὔσης⟩ τῆς Ἰουδαίας, ἐν ᾗ ἠτίμωται κατὰ τὸ οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ. καὶ ἐάν τις κατανοήσῃ Ἰησοῦν Χριστὸν »Ἰουδαίοις μὲν σκάνδαλον«, παρ' οἷς μέχρι τοῦ νῦν διώκεται, ἐν δὲ τοῖς ἔθνεσι κηρυσσόμενον καὶ πεπιστευμένον (ἕως γὰρ πάσης τῆς γῆς ἔδραμεν ὁ λόγος αὐτοῦ),
10 ὄψεται ὅτι Ἰησοῦς ἐν μὲν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ εἶχε, παρὰ δὲ τοῖς ξένοις »τῶν διαθηκῶν« τιμᾶται, τοῖς ἔθνεσι. τίνα δὲ διδάσκων ἔλεγεν ἐν τῇ συναγωγῇ αὐτῶν, οὐκ ἀναγεγράφασιν οἱ εὐαγγελισταί, ἀλλ' ὅτι τηλικαῦτα καὶ τοιαῦτα ἦν, ὥστε ἐκπλήττεσθαι πάντας· καὶ εἰκὸς ὅτι ὑπὲρ γραφὴν ἦν τὰ εἰρημένα. πλὴν ἐν τῇ συναγωγῇ αὐτῶν ἐδίδασκεν,
15 οὐ σχίζων ἀπ' αὐτῆς οὐδὲ ἀθετῶν αὐτήν.

17. Τὸ δὲ τούτῳ πόθεν ἡ σοφία αὕτη; πλείονα σαφῶς ἐμφαίνει καὶ ἐξαίρετον σοφίαν τῶν λόγων τοῦ Ἰησοῦ, ἀξίαν τοῦ »καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε«. καὶ δυνάμεις μείζους ἐποίει τῶν ἐν Ἠλίᾳ καὶ ἐν Ἐλισσαίῳ καὶ ἔτι πρότερον ἐν Μωσῇ καὶ Ἰησοῦ τοῦ Ναυῆ. ἔλεγον δὲ οἱ θαυμάζοντες,
20 οὐκ εἰδότες αὐτὸν παρθένου υἱὸν οὐδὲ πιστεύοντες (εἰ καὶ ἐλέγετο) ἀλλ' ὑπολαμβάνοντες εἶναι Ἰωσὴφ τοῦ τέκτονος· οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; καὶ ὅλην γε τὴν φαινομένην αὐτοῦ ἐγγυτάτω συγγένειαν ἐξευτελίζοντες ἔφασκον τὸ οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ
25 Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν; ᾤοντο οὖν αὐτὸν εἶναι Ἰωσὴφ καὶ Μαρίας υἱόν. τοὺς δὲ ἀδελφοὺς Ἰησοῦ φασί τινες εἶναι, ἐκ παραδόσεως ὁρμώμενοι τοῦ ἐπιγεγραμμένου κατὰ Πέτρον εὐαγγελίου ἢ τῆς βίβλου Ἰα|κώβου, υἱοὺς Ἰωσὴφ ἐκ προτέρας γυναικὸς 463 συνῳκηκυίας αὐτῷ πρὸ τῆς Μαρίας. οἱ δὲ ταῦτα λέγοντες τὸ ἀξίωμα τῆς
30 Μαρίας ἐν παρθενίᾳ τηρεῖν μέχρι τέλους βούλονται, ἵνα μὴ τὸ κριθὲν ἐκεῖνο σῶμα διακονήσασθαι τῷ εἰπόντι λόγῳ· »πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι« γνῷ κοίτην ἀνδρὸς μετὰ τὸ ἐπελθεῖν ἐν αὐτῇ πνεῦμα ἅγιον καὶ τὴν ἐπεσκιακυῖαν αὐτῇ δύναμιν ἐξ ὕψους. καὶ

2 Vgl. Matth. 2, 1 — 7 I. Kor. 1, 23 — 8f Vgl. I. Tim. 3, 16 — 9 Vgl. Röm. 10, 18; II. Thess. 3, 1 — 11 Vgl. Eph. 2, 12 — 17 Matth. 12, 42 — 26f Vgl. *Π* 161, 5f — 27ff Vgl. Harnack TU. 42, 4, 37 — 29ff Vgl. Harnack a. O.: „ein wichtiges Stück in der beginnenden Mariologie" — 31 Luc. 1, 35

2 γεγέννηται Kl γεγένηται MH 5 ⟨οὔσης⟩ Koe | Ἰουδαίας] zerstört in M am Zeilenanfang Γαλιλαίας V 7 τις] + γε H 15 σχιζόμενος Koe 19 Μωσῇ] vgl. zu S. 23, 26ff 23 οὐχὶ μηρ M 27 εἶναι s. l. M[c]

οἶμαι λόγον ἔχειν, ἀνδρῶν μὲν καθαρότητος τῆς ἐν ἁγνείᾳ ἀπαρχὴν γεγονέναι
τὸν Ἰησοῦν, γυναικῶν δὲ τὴν Μαρίαν· οὐ γὰρ εὔφημον, ἄλλῃ παρ' ἐκείνην
τὴν ἀπαρχὴν τῆς παρθενίας ἐπιγράψασθαι.

Ἰάκωβος δέ ἐστιν οὗτος, ὃν λέγει Παῦλος ἰδεῖν ἐν τῇ πρὸς Γαλάτας ἐπι-
5 στολῇ εἰπών· »ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν
ἀδελφὸν τοῦ κυρίου«. ἐπὶ τοσοῦτον δὲ διέλαμψεν οὗτος ὁ Ἰάκωβος ἐν
τῷ λαῷ ἐπὶ δικαιοσύνῃ, ὡς Φλάβιον Ἰώσηπον, ἀναγράψαντα ἐν εἴκοσι
βιβλίοις τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν, τὴν αἰτίαν παραστῆσαι βουλόμενον
τοῦ τὰ τοσαῦτα πεπονθέναι τὸν λαὸν ὡς καὶ τὸν ναὸν κατασκαφῆναι, εἰρη-
10 κέναι κατὰ μῆνιν θεοῦ ταῦτα αὐτοῖς ἀπηντηκέναι διὰ τὰ εἰς Ἰάκωβον
τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ ὑπ' αὐτῶν τετολμημένα. καὶ
»τὸ θαυμαστόν ἐστιν«, ὅτι τὸν Ἰησοῦν ἡμῶν οὐ καταδεξάμενος εἶναι Χριστὸν
οὐδὲν ἧττον Ἰακώβῳ δικαιοσύνην ἐμαρτύρησε τοσαύτην. λέγει δὲ ὅτι καὶ
ὁ λαὸς ταῦτα ἐνόμιζε διὰ τὸν Ἰάκωβον πεπονθέναι. καὶ Ἰούδας ἔγραψεν ἐπι-
15 στολὴν ὀλιγόστιχον μέν, πεπληρωμένην δὲ τῶν τῆς οὐρανίου χάριτος ἐρρωμέ-
νων λόγων· ὅστις ἐν τῷ προοιμίῳ εἴρηκεν· »Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος,
ἀδελφὸς δὲ Ἰακώβου«. περὶ δὲ Ἰωσὴφ καὶ Σίμωνος ἡμεῖς οὐδὲν ἱστορή-
σαμεν. τὸ δὲ καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι;
δοκεῖ μοι τοιοῦτόν τι σημαίνειν· τὰ ἡμέτερα φρονοῦσιν οὐ τὰ τοῦ Ἰησοῦ,
20 καὶ οὐδὲν ξένον ἔχουσιν ἐξαιρέτου συνέσεως ὡς ὁ Ἰησοῦς. μήποτε δὲ ἐμ-
φαίνεται διὰ τούτων ἐπαπόρησις περὶ τοῦ μηδὲ ἄνθρωπον εἶναι, ἀλλά τι
θειότερον τὸν Ἰησοῦν, υἱὸν μὲν ὄντα (ὡς ὑπελάμβανον) Ἰωσὴφ καὶ Μαρίας,
ἀδελφὸν δὲ τεσσάρων ⟨ἀρρένων⟩, οὐδὲν δ' ἧττον καὶ ἑτέρων θηλειῶν, καὶ
μηδὲν ἔχοντά τινι τῶν ἐκ γένους παραπλήσιον μηδ' ἐκ παιδεύσεως καὶ διδασκα-
25 λίας ἐπὶ τοσοῦτον σοφίας καὶ δυνάμεως ἐληλακότα. καὶ γὰρ ἀλλαχοῦ λέγουσι·
»πῶς οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς;« ὧν παραπλήσιόν ἐστι καὶ τὸ
ἐνταῦθα λεγόμενον. πλὴν οἱ λέγοντες ταῦτα καὶ ἐπὶ τοσοῦτον ἐπαποροῦντες
καὶ ἐκπλησσόμενοι οὐκ ἐπίστευον | μὲν ἐσκανδαλίζοντο δὲ ἐν αὐτῷ, 464
ὡσεὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας κρατούμενοι ὑπὸ δυνάμεων, ἃς ἔμελλεν
30 ἐν τῷ καιρῷ τοῦ πάθους θριαμβεύειν ἐν τῷ ξύλῳ.

5 Gal. 1, 19 — 7ff Vgl. Orig. c. Cels. I, 47 (I, 97, 2ff) II, 13 (I, 143, 24ff) und Schürer[4] I, 581ff; Harnack TU. 42, 4, 51 — 12 Vgl. Joh. 9, 30 — 16 Jud. 1 — 17f Vgl. Zahn, Forschungen 6, 1900 passim — 23 Vgl. Epiphanius haer. 78, 7, 6 (III, 457, 16f): τέσσαρας μὲν ἄρρενας, θηλείας δὲ δύο. — 26 Joh. 7, 15 — 29 Vgl. Luc. 24, 16 — 30 Vgl. Kol. 2, 15

1 ἀνδρῶν$^{\beta}$ ἔχειν$^{\alpha}$ M 2 ἄλλῃ M^{c} ἄλλην M^{a} H 7 Φλάνιον M 9 καταστραφῆναι M 11f καὶ τὸ] vgl. Joh. 9, 30 καίτοι Hu 15 l. τῇ οὐρανίᾳ χάριτι? Elt 23 τεσσάρων] τεσάρων M | ⟨ἀρρένων⟩ Kl 24 mit μηδ' ἐκ παι schließt in M fol. 8^{v}, es fehlt dann ein Blatt; M beginnt wieder auf S. 25, 23

18. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ ἔστι προφήτης ἄτιμος
εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ. ζητητέον πότερον καθολικῶς ἴσον δύναται
ἐπὶ πάντα προφήτην ἀναφερόμενον τὸ λεγόμενον, ὡς ἑκάστου τῶν προφη-
τῶν ἐν τῇ ἰδίᾳ πατρίδι ἀτιμωθέντος μόνῃ (οὐ παντὸς τοῦ ἀτιμωθέντος
ἐν τῇ πατρίδι ἀτιμωθέντος). ἢ διὰ τὸ ἑνικῶς εἰρῆσθαι περὶ ἑνὸς ταῦτα
λέλεκται. εἰ μὲν οὖν περὶ ἑνὸς ταῦτα λέγεται, ἀρκεῖ τὰ εἰρημένα. ἀναφερόν-
των ἡμῶν τὸ γεγραμμένον εἰς τὸν σωτῆρα. εἰ δὲ καθολικόν ἐστιν, ἀπὸ μὲν
τῆς ἱστορίας οὐκ ἀληθές (οὔτε γὰρ Ἠλίας ἐν Θεσβὼν τῆς Γαλαὰδ ἠτιμώθη
οὔτε Ἐλισσαῖος ἐν Ἐβαλμαουλὰ οὔτε [ὁ] Σαμουὴλ ἐν Ἀρμαθαῒμ οὐδ᾽ Ἱερε-
10 μίας ἐν Ἀναθώθ). τροπολογούμενον δὲ καὶ πάνυ ἀληθές. χρὴ γὰρ πατρίδα
νομίζειν αὐτῶν τὴν Ἰουδαίαν καὶ συγγενεῖς τὸν Ἰσραὴλ ἐκεῖνον. οἰκίαν
δὲ τάχα τὸ σῶμα· ἠτιμώθησαν γὰρ πάντες ἐν τῇ Ἰουδαίᾳ ὑπὸ τοῦ »κατὰ
σάρκα« Ἰσραὴλ ἔτι ὄντες ἐν τῷ σώματι. ὡς ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι
γέγραπται ἐν ἐλεγμῷ λεγόμενον πρὸς τὸν λαόν· »τίνα γὰρ τῶν προφητῶν
15 οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; ⟨καὶ ἀπέκτειναν⟩ τοὺς προκαταγγείλαντας
περὶ τῆς ἐλεύσεως τοῦ δικαίου;« παρὰ δὲ τῷ Παύλῳ ἐν τῇ πρὸς Θεσσαλονι-
κεῖς προτέρᾳ τὰ ὅμοια λέλεκται· »ὑμεῖς δὲ μιμηταὶ ἐγενήθητε, ἀδελφοί,
τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ, ὅτι
τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ
20 ὑπὸ τῶν Ἰουδαίων. τῶν καὶ τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς
προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν
ἀνθρώποις ἐναντίων«. οὐκ ἔστιν οὖν προφήτης ἄτιμος ἐν τοῖς ἔθνεσιν·
ἢ γὰρ οὐδ᾽ ὅλως οἴδασιν αὐτὸν ἢ μαθόντες καὶ παραδεξάμενοι αὐτὸν προφή-
την τιμῶσι. τοιοῦτοι δὲ οἱ ἀπὸ ἐκκλησίας. ἀτιμάζονται δὲ οἱ προφῆται
25 πρῶτον μὲν διωχθέντες κατὰ ἱστορίαν ὑπὸ τοῦ λαοῦ, δεύτερον δὲ μὴ πιστευο-
μένης αὐτῶν τῆς προφητείας ὑπὸ τοῦ λαοῦ. εἰ γὰρ ἐπίστευον Μωσῇ καὶ προ-
φήταις, ἐπίστευον ἂν Χριστῷ τῷ παραστήσαντι, ὅτι ἀκολουθεῖ τοῖς πιστεύουσι
Μωσῇ καὶ προφήταις ⟨τὸ⟩ πιστεύειν Χριστῷ καὶ τοῖς μὴ πιστεύουσι
Χριστῷ τὸ μὴ πιστεύειν Μωσῇ. ἔτι δὲ ὥσπερ »διὰ τῆς παραβάσεως τοῦ νόμου
30 τὸν θεὸν« ἀτιμάζειν ὁ ἁμαρτάνων λέγεται, οὕτω διὰ τοῦ μὴ πιστεύειν τῷ προ-
φητευομένῳ ἀτιμάζεται ὑπὸ τοῦ ἀπιστοῦντος ταῖς προφητείαις ὁ προφήτης.
Χρήσιμον δὲ ὡς πρὸς τὴν ἱστορίαν ἀναλέξασθαι ἃ πέπονθεν Ἱερεμίας ἐν
τῷ λαῷ, ἐφ᾽ οἷς εἶπε· »καὶ εἶπα· οὐ | μὴ λαλήσω οὐδὲ μὴ ὀνομάσω τὸ ὄνομα 465

11 Vgl. Marc. 6, 4 — **12** Vgl. I. Kor. 10, 18 — **14** Act. 7, 52 —
17 I. Thess. 2, 14f — **26ff** Vgl. Joh. 5, 46 — **29** Röm. 2, 23 — **32ff** Vgl.
Orig. hom. I, 13 in Jer. (III, 11, 14): ἃ πέπονθεν Ἱερεμίας ἀναγέγραπται κτλ. —
33 Jer. 20, 9

9 ἐλεβαλμαουλα V | [ὁ] Kl **15** ⟨καὶ ἀπέκτειναν⟩ Koe **24** δὲ < V
26ff Μωσῇ] die Formen ohne υ überwiegen in den Haupthandschriften, ebenso im dat. μωση über μωσει **28** ⟨τὸ⟩ Koe **29** τῆς s. l. H[c] **32** χρήσιμον Koe χρήσιμα H

κυρίου«, καὶ πάλιν ἀλλαχοῦ »διετέλεσα μυκτηριζόμενος«. ὅσα δὲ καὶ ὑπὸ τοῦ τότε βασιλέως τοῦ Ἰσραὴλ πέπονθεν, ἐν τῇ προφητείᾳ αὐτοῦ ἀναγέγραπται. καὶ Μωσέα δὲ ὅτι ἦλθον πολλάκις λιθόλευστον ποιῆσαι οἱ ἀπὸ τοῦ λαοῦ, καὶ τοῦτο γέγραπται, καὶ ἦν αὐτῷ πατρὶς οὐχ οἱ λίθοι τινὸς τόπου, 5 ἀλλ' οἱ ἀκολουθήσαντες αὐτῷ, ὁ λαός, παρ' οἷς καὶ αὐτὸς ἠτιμώθη. καὶ Ἡσαΐας δὲ πεπρῖσθαι ὑπὸ τοῦ λαοῦ ἱστόρηται. εἰ δέ τις οὐ προσίεται τὴν ἱστορίαν, διὰ τὸ ἐν τῷ ἀποκρύφῳ Ἡσαΐᾳ αὐτὴν φέρεσθαι, πιστευσάτω τοῖς ἐν τῇ πρὸς Ἑβραίους οὕτω γεγραμμένοις· »ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν«· τὸ γὰρ »ἐπρίσθησαν« ἐπὶ τὸν Ἡσαΐαν ἀναφέρεται, ὥσπερ 10 τὸ »ἐν φόνῳ μαχαίρας ἀπέθανον« ἐπὶ τὸν Ζαχαρίαν φονευθέντα »μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου«, ὡς ὁ σωτὴρ ἐδίδαξε μαρτυρῶν (ὡς οἶμαι) γραφῇ οὐ φερομένῃ μὲν ἐν τοῖς κοινοῖς καὶ δεδημευμένοις βιβλίοις, εἰκὸς δ' ὅτι ἐν ἀποκρύφοις φερομένῃ. ἠτιμώθησαν δὲ ἐν τῇ πατρίδι παρὰ τοῖς Ἰουδαίοις καὶ περιελθόντες »ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερού- 15 μενοι, θλιβόμενοι« καὶ τὰ ἑξῆς. »πάντες« γὰρ »οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται«. εἰκὸς δ' ὅτι τοῦτο ἐπιστάμενος ὁ Παῦλος, τὸ προφήτην ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχειν, πολλαχοῦ τὸν λόγον κηρύξας, οὐκ ἐκήρυξεν ἐν Ταρσῷ. καὶ οἱ ἀπόστολοι διὰ τοῦτο κατέλιπον τὸν Ἰσραήλ, ἐποίησαν δὲ τὸ προστεταγμένον ὑπὸ τοῦ σωτῆρος· »μαθη- 20 τεύσατε πάντα τὰ ἔθνη« καὶ τὸ »ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς«. πεποιήκασι μὲν οὖν τὸ προστεταγμένον ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλήμ· ἀλλ' ἐπεὶ προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει, μὴ παραδεξαμένων Ἰουδαίων τὸν λόγον, ἀπεληλύθασιν εἰς τὰ ἔθνη. πρόσχες δέ, εἰ δύνασαι 25 διὰ τὸ »ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι« πεπληρωμένον μετὰ τὴν παρουσίαν τοῦ σωτῆρος ἐν ταῖς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίαις λέγειν, ὅτι οἱ πρότερον ἐκ τοῦ κόσμου καὶ διὰ τοῦ πιστεύειν γενόμενοι οὐκέτι ἐκ τοῦ κόσμου ἐν τῇ ἰδίᾳ πατρίδι, τῷ κόσμῳ, ἅγιον | 466 πνεῦμα λαβόντες καὶ προφητεύοντες τιμὴν οὐκ ἔχουσιν, ἀλλὰ ἀτιμάζονται.

1 Jer. 20, 7 — **3ff** Vgl. Ex. 17, 4; Num. 14, 10 — **5ff** Vgl. Harnack TU. 42, 4, 49 — **8—10** Hebr. 11, 37 — **10** Matth. 23, 35 — **11ff** Vgl. Orig. prol. in Cant. (VIII, 88, 1ff) — **12ff** Vgl. Orig. comm. in Matth. 23, 37ff (XI, 50, 24) — **14** Hebr. 11, 37 — **15** II. Tim. 3, 12 — **19** Matth. 28, 19 — **20** Act. 1, 8 — **23f** Vgl. Act. 13, 46 — **25** Joel 2, 28 — **27f** Vgl. Joh. 15, 19

7 l. *ἀποκρύφῳ Ἡσαΐου* ? Kl, vgl. *secretum Esaiae* Orig. comm. ser. 28 (XI, 50, 28) **12** *οὐ*] auch V *μὴ* v | l. *δεδημ⟨οσι⟩ευμένοις* ? Schürer RE³ 1, 622, 53, dagegen Zahn GK 1, 128 A. 1 **14** *περιελθόντες* V *ὑπελθόντες* H **24** *ἀπεληλύθησαν* V | *δὲ* < V | *εἰ* V *ἢ* H **29** *προφητεύσαντες* V

διὸ μακάριοί εἰσι τὰ αὐτὰ τοῖς προφήταις παθόντες κατὰ τὸ ὑπὸ τοῦ σωτῆρος λεγόμενον· »κατὰ ταὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν«. τούτοις δέ τις ἐμμελῶς προσέχων, εἰ διὰ τὸ πάνυ εὐτόνως βιοῦν καὶ ἐλέγχειν τοὺς ἁμαρτάνοντας μισοῖτο καὶ ἐπιβουλεύοιτο, ὡς διωκόμενος καὶ ὀνει-
5 διζόμενος »ἕνεκεν δικαιοσύνης« οὐ μόνον οὐ λυπηθήσεται, ἀλλὰ καὶ χαρήσεται καὶ ἀγαλλιάσεται, πειθόμενος διὰ ταῦτα μισθὸν ἔχειν πολὺν »ἐν τοῖς οὐρανοῖς« ἀπὸ τοῦ ὁμοιώσαντος αὐτὸν τοῖς προφήταις ἐκ τοῦ ταὐτὰ πεπονθέναι. ἀτιμάζεσθαι τοίνυν ἐν τῷ κόσμῳ καὶ παρὰ τοῖς ἁμαρτάνουσι, βαρουμένοις τῷ βίῳ τοῦ δικαίου, χρὴ τὸν ζηλοῦντα βίον προφητικὸν καὶ χωρήσαντα
10 τὸ ἐν ἐκείνοις πνεῦμα.

19. Ἑξῆς ἔστιν ἰδεῖν τὸ *οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν*. διὰ τούτων δὲ διδασκόμεθα, ὅτι αἱ δυνάμεις ἐν τοῖς πιστεύουσιν ἐγίνοντο, ἐπεὶ »παντὶ τῷ ἔχοντι δοθήσεται καὶ περισσευθήσεται«, ἐν ἀπίστοις δὲ οὐ μόνον οὐκ ἐνήργουν αἱ δυνάμεις,
15 ἀλλ' (ὡς ὁ Μᾶρκος ἀνέγραψεν) οὐδὲ ἐδύναντο ἐνεργεῖν. πρόσχες γὰρ τῷ »οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν ποιῆσαι δύναμιν«· οὐ γὰρ εἶπεν »οὐκ« ἤθελεν, ἀλλ' »οὐκ ἠδύνατο«, ὡς ἐρχομένης μὲν ἐπὶ τὴν ἐνεργοῦσαν δύναμιν συμπράξεως ὑπὸ πίστεως ἐκείνου εἰς ὃν ἐνήργει ἡ δύναμις, κωλυομένης δὲ ἐνεργεῖν ὑπὸ τῆς ἀπιστίας. ὅρα οὖν, ὅτι πρὸς τοὺς
20 εἰπόντας· »διὰ τί οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;« εἶπε· »διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν«, καὶ πρὸς τὸν ἀρξάμενον καταποντίζεσθαι Πέτρον λέλεκται· »ὀλιγόπιστε, εἰς τί ἐδίστασας;« ἀλλὰ καὶ ἡ αἱμορροοῦσα, μὴ ἀξιώσασα περὶ τῆς θεραπείας, ἀλλὰ μόνον λογισαμένη, εἰ ἅψαιτο »τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ«, ὅτι ἰαθήσεται, »ἰάθη παραχρῆμα«, καὶ ὁμολογεῖ τῷ τρόπῳ
25 τῆς ἰάσεως ὁ σωτὴρ λέγων· »τίς μου ἥψατο; ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ«. καὶ τάχα ὥσπερ ἐπὶ τῶν σωμάτων ἐστί τισι πρός τινα φυσικὴ ὁλκή, ὡς τῇ μαγνησίᾳ λίθῳ πρὸς σίδηρον καὶ τῷ καλουμένῳ νάφθᾳ πρὸς πῦρ, οὕτως τῇ τοιᾷδε πίστει πρὸς θείαν δύναμιν· καθὸ εἴρηται καὶ τὸ »ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· μετάβηθι

1 Vgl. Luc. 6, 22 — **2** Luc. 6, 23 — **3** Vgl. Matth. 18, 15? — **4ff** Vgl. Matth. 5, 10—12 — **8ff** Vgl. Orig. hom. XIV, 14 in Jer. (III, 120, 4ff): *τί οὖν παράδοξον, εἰ θέλων τις ζηλοῦν τὸν βίον τὸν προφητικόν, ἐλέγχων, ἐπιπλήσσων τὸν ἁμαρτάνοντα κακολογεῖται, μισεῖται, ἐπιβουλεύεται;* — **13** Matth. 25, 29 — **16ff** Marc. 6, 5 — **20f** Matth. 17, 19f — **22** Matth. 14, 31 — **23** Vgl. Marc. 5, 28; 6, 56 — **24** Vgl. Luc. 8, 47 — **25** Marc. 5, 31; Luc. 8, 46 — **27f** Vgl. Harnack TU. 42, 4, 101 — **29** Matth. 17, 20

2 *ταυτὰ* V *ταῦτα* H 7 *ταυτὰ* H V 9 l. *προφητῶν* Koe (wegen *ἐν ἐκείνοις* Z. 10) 15 *ἀνέγραψε* H 21 *Πέτρον καταποντίζεσθαι* V 23 *ἀλλὰ μόνον*] hiermit setzt M wieder ein: fol. 16[r]

ἔνθεν ἐκεῖ. καὶ μεταβήσεται«. ἀκριβῶς δὲ δοκοῦσί μοι ὁ Ματθαῖος καὶ ὁ Μᾶρκος τὸ ὑπερέχον τῆς θείας δυνάμεως παραστῆσαι βουλόμενοι ὅτι καὶ ἐν ἀπιστίᾳ δύναται, ἀλλ' οὐκ ἐπὶ πλεῖον δύναται, ὅσον δύναται ἐν πίστει τῇ τῶν εὐεργετουμένων, εἰρηκέναι οὐχ ὅτι οὐκ ἐποίησε δυνάμεις διὰ
5 τὴν ἀπιστίαν αὐτῶν, ἀλλ' οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς. καὶ ὁ Μᾶρκος δὲ οὐκ εἶπεν ὅτι »οὐκ ἐδύνατο ἐκεῖ οὐδεμίαν ποιῆσαι δύναμιν« | καὶ ἔστη ἐπὶ τούτῳ, ἀλλὰ προσέθηκεν· »εἰ μὴ ὀλίγοις ἀρρώστοις 467 ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε«. νικώσης τῆς ἐν αὐτῷ δυνάμεως καὶ οὕτως τὴν ἀπιστίαν.

10 Δοκεῖ δέ μοι ὅτι, ὥσπερ ἐπὶ τῶν σωματικῶν οὔτε αὐτάρκης γεωργία πρὸς συγκομιδὴν καρπῶν, ἐὰν μὴ τὸ περιεχόμενον εἰς τοῦτο συνεργῇ (μᾶλλον δὲ τὸ περιέχον) ποιότητι ὁποίᾳ βούλεται ὁ κοσμῶν καὶ ποιῶν αὐτὸ ὁποῖον θέλει, οὔτε τὸ περιέχον χωρὶς γεωργίας (μᾶλλον δὲ ὁ προνοῶν οὐ ποιῆσαι ἂν ἀνατεῖλαι ἀπὸ τῆς γῆς τὰ ἀπὸ τῆς γῆς ἀνατέλλοντα χωρὶς γεωργίας·
15 ἅπαξ γὰρ τοῦτο πεποίηκεν ἐν τῷ »βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα«), οὕτω δὴ οὔτε τὰ ἐνεργήματα τῶν δυνάμεων χωρὶς πίστεως τῆς τῶν θεραπευομένων τὸ αὐτοτελὲς ἔργον ἐπιδείκνυται πρὸς ἴασιν οὔθ' ἡ πίστις, ὁποία ποτ' ἂν ᾖ, χωρὶς τῆς θείας δυνάμεως. καὶ τὸ γεγραμμένον δὲ περὶ σοφίας ἐφαρμόσεις καὶ τῇ
20 πίστει καὶ ταῖς ἀρεταῖς κατ' εἶδος, ὥστε τοιοῦτον ποιῆσαι λόγον· »κἂν γάρ τις ᾖ τέλειος« ἐν πίστει »ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ« δυνάμεως »ἀπούσης εἰς οὐδὲν λογισθήσεται«, ἢ »τέλειος« τῇ σωφροσύνῃ, ὡς »ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ« σωφροσύνης »ἀπούσης, εἰς οὐδὲν λογισθήσεται«, ἢ »τέλειος« ἐν δικαιοσύνῃ καὶ ταῖς λοιπαῖς ἀρεταῖς, »τῆς ἀπὸ σοῦ« δικαιοσύνης ⟨ἀπού-
25 σης⟩ καὶ τῶν ἀπὸ σοῦ λοιπῶν ἀρετῶν »εἰς οὐδὲν λογισθήσεται«. ὅθεν »μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ«· τὸ γὰρ καυχήσεως ἄξιον οὐχ ἡμέτερον, ἀλλὰ δῶρόν ἐστι τοῦ θεοῦ ἡ ἀπ' αὐτοῦ σοφία καὶ ἡ ἀπ' αὐτοῦ ἰσχὺς καὶ οὕτω τὰ λοιπά.

20. Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης
30 τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν ἑαυτοῦ· οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής (14, 1. 2 [—11]).

Παρὰ δὲ τῷ Μάρκῳ οὕτως καὶ παρὰ τῷ Λουκᾷ οὕτως. διαφόρους δόξας εἶχον περὶ τῶν πραγμάτων Ἰουδαῖοι, τινὰς μὲν ψευδεῖς, ὁποίας

6f Marc. 6, 5 — **10** Vgl. Orig. de princ. III, 1, 19 (V, 232, 6) — **15** Gen. 1, 11 — **16f** Vgl. I. Kor. 12, 10 — **20ff** Sap. Sal. 9, 6 — **26** Jer. 9, 23 — **32** Vgl. Harnack TU. 42, 4, 84 A. 1

6 εἶπεν + ⟨μόνον⟩ Koe **11** l. περιέχον? Hu **16** δὴ Kl δὲ M H
22—23 ἢ—λογισθήσεται < M **24/25** ⟨ἀπούσης⟩ Hu **27** τοῦ < H

ἐφρόνουν οἱ Σαδδουκαῖοι περὶ ἀναστάσεως νεκρῶν ὡς οὐκ ἐγειρομένων,
καὶ περὶ ἀγγέλων ὡς οὐχ ὑπαρχόντων, ἀλλὰ τροπολογουμένων τῶν περὶ
αὐτῶν ἀναγεγραμμένων μόνον καὶ μηδὲν ὡς πρὸς τὴν ἱστορίαν ἀληθὲς ἐχόν-
των· ἑτέρας δὲ [ὡς] ἀληθεῖς, ὡς περὶ ἀναστάσεως νεκρῶν ὅτι ἐγείρονται,
5 ἐδίδασκον οἱ Φαρισαῖοι. τὸ οὖν ζητούμενον κατὰ τὸν τόπον ἐστίν, εἰ τοι-
αύτη τις ἦν περὶ ψυχῆς δόξα, ἣν ἐφρόνει Ἡρώδης ἐσφαλμένως καί τινες
τῶν ἀπὸ τοῦ λαοῦ, ὅτι ὁ πρὸ ὀλίγου ἀναιρεθεὶς ὑπ' αὐτοῦ Ἰωάννης ἀνέστη
ἀπὸ τῶν νεκρῶν μετὰ τὸ ἀποκεφαλισθῆναι, καὶ ἦν αὐτὸς ἑτέρῳ ὀνό-
ματι χρώμενος καὶ καλούμενος νῦν | Ἰησοῦς, δεκτικὸς τῶν αὐτῶν δυνά- 468
10 μεων, αἳ πρότερον ἐνήργουν ἐν τῷ Ἰωάννῃ. ποίαν οὖν ἔχει πιθανότητα τὸν
ἐπὶ τοσοῦτον γνώριμον παντὶ λαῷ καὶ διαβόητον ἐν ὅλῃ τῇ Ἰουδαίᾳ, ὃν
ἔλεγον υἱὸν εἶναι »τοῦ τέκτονος« καὶ Μαρίας καὶ ἀδελφοὺς ἔχειν τοιούσδε
καὶ ἀδελφάς, νομίζεσθαι εἶναι οὐχ ἕτερον Ἰωάννου, ᾧ πατὴρ ἦν Ζαχαρίας
καὶ μήτηρ Ἐλισάβετ. οὐδ' αὐτοὶ ἄσημοι ἐν τῷ λαῷ; εἰκὸς δ' ὅτι ὁ λαὸς
15 φρονοῦντες περὶ τοῦ Ἰωάννου »ὅτι ὄντως προφήτης ἦν«, καὶ τοσοῦτοι
τυγχάνοντες, ὡς φοβεῖσθαι τοὺς Φαρισαίους (διὰ τὸ μὴ δυσάρεστον δο-
κεῖν τῷ λαῷ λέγειν) ἀποκρίνεσθαι, πότερον »ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώ-
πων« τὸ βάπτισμα αὐτοῦ, οὐκ ἠγνόουν υἱὸν αὐτὸν τυγχάνειν Ζαχαρίου.
τάχα δὲ καὶ εἴς τινας ἔφθασεν αὐτῶν τὰ τῆς ἑωραμένης ὀπτασίας ἐν τῷ
20 ναῷ, φανέντος τῷ Ζαχαρίᾳ τοῦ Γαβριήλ. ποίαν δὴ οὖν ἔχει πιθανότητα
ἡ τοῦ εἴτε Ἡρώδου εἴτε τινῶν ἀπὸ τοῦ λαοῦ ἀπάτη, πρὸς τὸ νομίσαι, ὅτι
οὐ δύο τινὲς γεγόνασιν ὁ Ἰωάννης καὶ ὁ Ἰησοῦς, ἀλλ' εἷς καὶ ὁ αὐτὸς ὢν
Ἰωάννης, ἀναστὰς μετὰ τὸ ἀποκεφαλισθῆναι ἐκ τῶν νεκρῶν, ἐκλήθη
Ἰησοῦς;

25 Λέγοι δ' ἄν τις τὴν τῆς μετενσωματώσεως ψευδοδοξίαν γεγονέναι
ἐν τῷ Ἡρώδῃ καί τισι τῶν ἀπὸ τοῦ λαοῦ, ἀφ' ἧς ᾤοντο τόν ποτε Ἰωάννην
ἐν γενέσει γενέσθαι καὶ ἐκ νεκρῶν ἐληλυθέναι εἰς τὸν βίον ὡς Ἰησοῦν.
ἀλλ' οὐδὲ ταύτην τὴν ψευδοδοξίαν πιθανὴν ἐᾷ νομισθῆναι ὁ μεταξὺ χρόνος
τῆς γενέσεως Ἰωάννου καὶ Ἰησοῦ, οὐ πλεῖον μηνῶν ἓξ τυγχάνων. τάχα
30 δὲ μᾶλλον τοιαύτη τις ὑπόληψις ἦν ἐν τῷ Ἡρώδῃ, ὅτι αἱ ἐνεργήσασαι

12 Vgl. Matth. 13, 55f (vgl. Marc. 6, 3 var. lect.) — 15 Marc. 11, 32 — 17 Marc. 11, 30 — 19f Vgl. Luc. 1, 22. 19 — 25—28, 8 C[1] Nr. 186 Or. *Π* 163, 1ff An. Hier. in Matth. 100 C: *quidam ecclesiasticorum interpretum causas quaerit, quare Herodes ista sit suspicatus* etc. — 28f Vgl. Luc. 1, 24—26. 36

4 [ὡς] Kl vgl. S. 26, 33   8 αὐτὸς] ὁ αὐτὸς v   9 αὐτῶν Hu αὐτοῦ M H   11 παντὶ] + ⟨τῷ⟩ ? Kl   20 ναῷ M H[c. r.] λαῷ H[a] V | δὴ < M   22 ὁ[3] H[c] < M H[a]   23 ἐκ] ἀπὸ M   29 πλεῖων H

δυνάμεις ἐν τῷ Ἰωάννῃ μετέστησαν ἐπὶ τὸν Ἰησοῦν, ἀφ' ὧν ὁ Ἰωάννης βαπτιστὴς εἶναι πεπίστευτο ἐν τῷ λαῷ. καὶ χρήσαιτό τις ἐπιχειρήματι τοιούτῳ· ὥσπερ διὰ τὸ πνεῦμα καὶ τὴν δύναμιν Ἠλίου καὶ οὐ διὰ τὴν ψυχὴν αὐτοῦ περὶ Ἰωάννου λέγεται· »αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«,
5 τοῦ ἐν Ἠλίᾳ πνεύματος καὶ τῆς ἐν ἐκείνῳ δυνάμεως μετεληλυθυιῶν ἐπὶ τὸν Ἰωάννην, οὕτως ᾤετο ὁ Ἡρώδης τὰς ἐν Ἰωάννῃ *δυνάμεις* ἐν μὲν τῷ Ἰωάννῃ ἐνηργηκέναι τὰ τοῦ βαπτίσματος καὶ τῆς διδασκαλίας (»Ἰωάννης γὰρ ἐποίησε σημεῖον οὐδὲ ἕν«), ἐν δὲ τῷ Ἰησοῦ τὰς τεραστίους *δυνάμεις*. τὸ δ' ὅμοιόν τις φήσει ὑπειληφέναι τοὺς εἰρηκότας Ἠλίαν πεφηνέναι | ἐν 469
10 τῷ Ἰησοῦ, ἢ προφήτην ἕνα »τῶν ἀρχαίων« ἐγηγέρθαι. οὐδὲν δὲ ζητήσεως ἔχεται τὸ δόγμα τῶν εἰρηκότων »ὅτι προφήτης ὡς εἷς τῶν προφητῶν« ἦν Ἰησοῦς. ψευδὴς μὲν οὖν ὁ τοῦ εἴτε Ἡρώδου λόγος, ⟨ὃς⟩ περὶ τοῦ Ἰησοῦ ἐστιν ἀναγεγραμμένος, εἴτε ὁ ὑπό τινων εἰρημένος. πλὴν δοκεῖ μοι μᾶλλον ἔχεσθαι πιθανότητος τὸ ἀνάλογον τῷ »ἐν πνεύματι καὶ δυνάμει Ἠλίου« προεληλυ-
15 θέναι τὸν Ἰωάννην τοῖς νῦν ὑπονοουμένοις περὶ Ἰωάννου καὶ Ἰησοῦ ὑπὸ τούτων. ἐπεὶ δὲ πρῶτον μὲν ἐμάθομεν ὅτι μετὰ τὸν πειρασμὸν ὁ σωτὴρ »ἀκούσας ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν«, δεύτερον δὲ ὅτι ⟨Ἰωάννης⟩ ἐν τῷ δεσμωτηρίῳ τυγχάνων, ἀκούσας τὰ περὶ τοῦ Ἰησοῦ, »πέμψας δύο τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον
20 προσδοκῶμεν«; καὶ τρίτον ἁπαξαπλῶς ὅτι Ἡρώδης εἶπε περὶ τοῦ Ἰησοῦ, ὅτι *αὐτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν*, οὐδαμόθεν δὲ προέγνωμεν τὸν τρόπον τῆς ἀναιρέσεως τοῦ βαπτιστοῦ, διὰ τοῦτο νῦν καὶ τοῦτο ἀνέγραψεν ὁ Ματθαῖος, καὶ ὁ Μᾶρκος δὲ αὐτῷ παραπλησίως· ὁ δὲ Λουκᾶς τὰ πολλὰ τῆς παρὰ τούτοις παρεσιώπησεν
25 ἱστορίας.

21. Ἔχει δὲ οὕτως ἡ τοῦ Ματθαίου λέξις· *ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ*. εἰς ταῦτ' οὖν δοκεῖ μοι ὅτι, ὥσπερ »ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου«, μεθ' ὃν ἔληξεν ἡ προφητικὴ ἀπὸ Ἰουδαίων χάρις, οὕτως ἡ τῶν βασιλευσάντων ἐν τῷ
30 λαῷ ἐξουσία (μέχρι τοῦ ἀναιρεῖν τοὺς νομιζομένους ἀξίους θανάτου αὐτοῖς ὑπάρχουσα) ἕως Ἰωάννου ἦν, καὶ ἀναιρεθέντος τοῦ τελευταίου τῶν προφητῶν παρανόμως ὑπὸ τοῦ Ἡρώδου ἀφῃρέθη ὁ Ἰουδαίων βασιλεὺς τῆς τοῦ ἀναιρεῖν ἐξουσίας. εἰ γὰρ μὴ ἀφῄρητο αὐτὴν ὁ Ἡρώδης, οὐκ ἂν ἐδίκασεν ὁ

3. 4. 14 Vgl. Luc. 1, 17 — **4** Matth. 11, 14 — **7** Joh. 10, 41 — **9f** Vgl. Luc. 9, 8 — **11** Marc. 6, 15 — **17** Matth. 4, 12 — **18f** Matth. 11, 2f — **23** Vgl. Marc. 6, 17ff — **28** Matth. 11, 13. Vgl. S. 29, 9f. 27; Hautsch TU. 34, 2ᵃ, 43

1 ὁ < H **2** τις ⟨ἂν⟩ Diehl **12** ⟨ὃς⟩ Diehl Koe **14** τῷ Kl τὸ MH **18** ⟨Ἰωάννης⟩ Koe **20** εἶπεν H **27** ταῦτα M

Πιλᾶτος τὸν Ἰησοῦν τὴν ἐπὶ θανάτῳ, ἀλλ' ἤρκεσεν ἂν εἰς τοῦτο Ἡρώδης μετὰ τῆς τῶν ἀρχιερέων καὶ | πρεσβυτέρων τοῦ λαοῦ εἰς τοῦτο βουλῆς. 470 καὶ τότε (οἶμαι) πεπλήρωται τὸ ὑπὸ τοῦ Ἰακὼβ πρὸς Ἰούδαν τοῦτον εἰρημένον τὸν τρόπον· »οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐξ Ἰσραήλ,
5 ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν«. τάχα δὲ καὶ ἀφηρέθησαν τὴν ἐξουσίαν ταύτην Ἰουδαῖοι, τῆς θείας παρασχούσης προνοίας τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ ἐν τῷ λαῷ νομήν, ἵνα, κἂν κωλύηται ὑπὸ Ἰουδαίων αὕτη, ἀλλὰ μὴ μέχρι ἀναιρέσεως τῶν πιστευόντων χωρῇ, δοκούσης κατὰ νόμον γίγνεσθαι. Ἡρώδης δὲ κρατήσας τὸν Ἰωάννην ἔδησεν
10 ἐν φυλακῇ καὶ ἀπέθετο, σύμβολον ποιῶν τοῦ (τὸ ὅσον ἐφ' ἑαυτῷ καὶ τῇ κακίᾳ τοῦ λαοῦ) καταδῆσαι καὶ κατακλεῖσαι λόγον τὸν προφητικὸν καὶ κωλῦσαι αὐτὸν ἔτι μένειν τῆς ἀληθείας κήρυκα ἐπ' ἐλευθερίᾳ, ὡς τὸ πρότερον. τοῦτο δὲ πεποίηκεν Ἡρώδης διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί
15 σοι ἔχειν αὐτήν. οὗτος δὲ ὁ Φίλιππος ἦν τετράρχης »τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας«. τινὲς μὲν οὖν οἴονται ὅτι ἀποθανόντος Φιλίππου, θυγατέρα καταλιπόντος Ἡρωδιάδα, ἔγημε τὴν τοῦ ἀδελφοῦ γυναῖκα ὁ Ἡρώδης, τοῦ νόμου τὸν γάμον ἐν ἀπαιδίᾳ | συγχωροῦντος. ἡμεῖς δέ, 471 μηδαμῇ σαφῶς εὑρίσκοντες τεθνηκέναι τὸν Φίλιππον, μεῖζον ἔτι τὸ παρα-
20 νόμημα τῷ Ἡρώδῃ λογιζόμεθα γεγονέναι, ὅτι καὶ ζῶντος ἀπέστησε τοῦ ἀδελφοῦ τὴν γυναῖκα.

22. Διόπερ προφητικῇ παρρησίᾳ κεκοσμημένος ὁ Ἰωάννης καὶ μὴ καταπληττόμενος τὸ βασιλικὸν ἀξίωμα τοῦ Ἡρώδου, μηδὲ διὰ τὸ δέος τοῦ θανάτου παρασιωπῶν περὶ τοῦ τηλικούτου ἁμαρτήματος, ἔλεγε τῷ
25 Ἡρώδῃ θείου πληρωθεὶς φρονήματος· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν· οὐ γὰρ »ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου«. ⟨καὶ⟩ ὁ μὲν Ἡρώδης, κρατήσας τὸν Ἰωάννην, δήσας ἀπέθετο ἐν τῇ φυλακῇ, μὴ τολμῶν πάντη ἀποκτεῖναι »τὸν προφητικὸν λόγον« καὶ ἀνελεῖν ἀπὸ τοῦ λαοῦ· ἡ δὲ τοῦ βασιλέως τῆς Τραχωνίτιδος γυνή, πονηρά τις οὖσα δόξα καὶ μοχθηρὰ
30 διδασκαλία, θυγατέρα ἐγέννησεν ὁμώνυμον, ἧς τὰ δοκοῦντα εὔρυθμα κινήματα ἀρέσαντα τῷ Ἡρώδῃ (τὰ γενέσεως ἀγαπῶντι πράγματα) αἴτια γεγένηται τοῦ μηκέτι εἶναι ἐν τῷ λαῷ κεφαλὴν προφητικήν. μέχρι δὲ τοῦ δεῦρο νομίζω τὰ δοκοῦντα κατὰ τὸν νόμον εἶναι κινήματα τοῦ λαοῦ τῶν

3ff Anders in der fälschlich dem Origenes zugeschriebenen Homilie XVII in Gen. — **4** Gen. 49, 10 — **12** Vgl. I. Tim. 2, 7 — **15** Luc. 3, 1 — **16ff** d. h. Josephus? Vgl. Harnack TU. 42, 4, 52; dazu slav. Josephus — **18ff** Vgl. Deut. 25, 5 — **26** Marc. 6, 18 — **28** Vgl. II. Petr. 1, 19

5 ᾧ] ὃ H **26** ⟨καὶ⟩ Kl mit V **28** καὶ < H **30** διδασκαλεία H

Ἰουδαίων μὴ ἄλλο τι τυγχάνειν ἢ τῆς Ἡρωδιάδος θυγατρός. ἀλλ' ἡ
Ἡρωδιάδος ὄρχησις ἐναντία ἦν ὀρχήσει ἁγίᾳ, ἣν οἱ μὴ ὀρχησάμενοι ὀνει-
δισθήσονται ἀκούοντες· »ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε«. καὶ ἐν
γενεθλίοις δὲ παρανόμου βασιλεύοντος αὐτῶν λόγου ὀρχοῦνται, ὡς ἀρέσκειν
5 ἐκείνῳ τῷ λόγῳ τὰς κινήσεις αὐτῶν. ἐτήρησε μὲν οὖν τις τῶν πρὸ ἡμῶν
τὴν ἀναγεγραμμένην ἐν Γενέσει τοῦ Φαραὼ γενέθλιον καὶ διηγήσατο ὅτι
ὁ φαῦλος τὰ γενέσεως ἀγαπῶν πράγματα ἑορτάζει γενέθλιον. ἡμεῖς δὲ ἀπ'
ἐκείνου ταύτην εὑρόντες ἀφορμὴν ἐπ' οὐδεμιᾶς γραφῆς εὕρομεν ὑπὸ δικαίου
γενέθλιον ἀγομένην. ἄδικος γὰρ μᾶλλον ἐκείνου τοῦ Φαραὼ ὁ | Ἡρώδης· 472
10 καὶ γὰρ ὑπ' ἐκείνου μὲν ἐν γενεθλίῳ ἀρχισιτοποιὸς ἀναιρεῖται, ὑπὸ δὲ τού-
του Ἰωάννης, οὗ »μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς ἐγήγερται«, περὶ
οὗ ὁ σωτὴρ λέγει· »ἀλλὰ τί ἐξεληλύθατε; προφήτην ἰδεῖν; ναὶ λέγω ὑμῖν,
καὶ περισσότερον προφήτου«. ἀλλὰ εὐχαριστητέον τῷ θεῷ, ὅτι, εἰ καὶ ἡ
προφητικὴ ἀπὸ τοῦ λαοῦ ἦρται χάρις, ἡ πάσης ἐκείνης μείζων ἐξεχύθη εἰς
15 τὰ ἔθνη διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ, »ὃς ἐγένετο ἐν νεκροῖς ἐλεύθερος«.
»εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ«.

Ἔτι δὲ ὅρα τὸν λαόν, παρ' ᾧ καθαρὰ μὲν καὶ ἀκάθαρτα ἐξετάζεται
βρώματα, καταφρονεῖται δὲ προφητεία ἐπὶ πίνακι ἀντὶ ὄψου προσαγο-
μένη. τὴν δὲ κεφαλὴν τῆς προφητείας Ἰουδαῖοι οὐκ ἔχουσι, τὸ κεφάλαιον
20 πάσης προφητείας Χριστὸν Ἰησοῦν ἀρνούμενοι. καὶ ἀποκεφαλίζεται ὁ
προφήτης δι' ὅρκους, ἐφ' οἷς μᾶλλον ἐπιορκεῖν ἢ εὐορκεῖν ἔδει· οὐ ταὐτὸν
γὰρ ἦν ἔγκλημα προπετείας ὅρκων καὶ τῆς διὰ τὴν προπέτειαν ἐπιορκίας ⟨καὶ
τὸ δι' εὐορκίας⟩ ἔγκλημα ἀναιρέσεως προφητικῆς. καὶ οὐ διὰ τοῦτο μόνον
ἀποκεφαλίζεται, ἀλλὰ καὶ ⟨διὰ⟩ τοὺς συνανακειμένους, βουλομένους
25 μᾶλλον ἀναιρεθῆναι τὸν προφήτην ἢ ζῆν. συνανάκεινται δὲ καὶ συνεστιῶνται
λόγῳ μοχθηρῷ Ἰουδαίων βασιλεύοντι οἱ ἐπὶ τῇ γενέσει αὐτοῦ εὐφραινό-

3 Matth. 11, 17; Luc. 7, 32 — **5ff** Philo de ebr. § 208 (I, 388 M); Harnack TU. 42, 4, 21 verkennt die Beziehung auf Philo. Vgl. Orig. hom. VIII, 3 in Lev. (VI, 396, 22ff) — **7ff** Vgl. Orig. in Lev. Hom. VIII, 3 (VI, 396, 21ff); Orig. Sel. in Gen. 40, 20 (8, 85 Lo). Vgl. Hier. in Matth. 101 C: *nullum invenimus alium observasse diem natalis sui, nisi Herodem et Pharaonem* — **10** Vgl. Gen. 40, 22 — **11** Matth. 11, 11; Luc. 7, 28 — **12** Matth. 11, 9; Luc. 7, 26 — **15** Psal. 87, 5f — **16** II. Kor. 13, 4 — **17—31, 3** Vgl. *Π* 163, 13ff An. C[b] Nr. 28 Or. — **19ff** Vgl. Hier. in Matth. 102 E: *nos autem usque hodie cernimus in capite Iohannis prophetae Iudaeos Christum, qui caput prophetarum est, perdidisse*

9 γὰρ] l. δὲ Koe l. γοῦν ? Kl **13** εἰ s. l. H[c] **17** λαόν Kl λόγον MH **18f** προσαγομένη] auch *Π* **22** ⟨καὶ—εὐορκίας⟩ Kl nach *Π* 163, 19f (οὐ γὰρ ταὐτὸν ἔγκλημα ἐκ προπετείας ὅρκων καὶ ἀναίρεσις προφητικὴ δι' εὐορκίας) **24** ⟨διὰ⟩ Kl

μενοι. χρήσῃ δέ ποτε χαριέντως τῷ ῥητῷ πρὸς τοὺς προπετῶς ὀμνύοντας
καὶ θέλοντας ἐμπεδοῦν ὅρκους ἐπὶ παρανομίᾳ παραληφθέντας, λέγων ὅτι
οὐ πᾶσα τήρησις ὅρκων ἐστὶ καθήκουσα, ὡς οὐδὲ ἡ τοῦ Ἡρῴδου. ἔτι δὲ
πρόσχες ὅτι οὐ μετὰ παρρησίας, ἀλλὰ κρύφα καὶ ἐν φυλακῇ φονεύει τὸν
5 Ἰωάννην ὁ Ἡρῴδης· καὶ γὰρ οὐ μετὰ παρρησίας ἀρνεῖται ὁ νῦν Ἰουδαίων
λαὸς τὰς προφητείας, δυνάμει δὲ καὶ ἐν κρυπτῷ αὐτὰς ἀρνεῖται καὶ ἐλέγχε-
ται αὐταῖς ἀπιστῶν. ὥσπερ γὰρ εἰ ἐπίστευον Μωσῇ, τῷ Ἰησοῦ ἐπίστευσαν
ἄν, οὕτως εἰ ἐπίστευον τοῖς προφήταις, προσήκαντο ἂν τὸν προφητευόμενον.
ἀπιστοῦντες δὲ τούτῳ κἀκείνοις ἀπιστοῦσι καὶ ἀποτέμνουσιν ἐν φυλακῇ
10 κατακλείσαντες »τὸν λόγον τὸν προφητικόν«, καὶ ἔχουσιν αὐτὸν νεκρὸν καὶ
διαιρεθέντα καὶ μηδαμοῦ ὑγιῆ, ἐπεὶ μὴ νοοῦσιν αὐτόν. ἀλλ' ἡμεῖς ὁλόκληρον
ἔχομεν τὸν Ἰησοῦν, πληρωθείσης τῆς περὶ αὐτοῦ λεγούσης προφητείας·
»ὀστοῦν ⟨αὐτοῦ⟩ οὐ συντριβήσεται«. | 473

23. Οἱ μαθηταὶ δὲ ἐλθόντες τοῦ Ἰωάννου θάπτουσιν αὐτοῦ τὸ
15 λείψανον, καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. ὁ δὲ ἀνεχώρησεν
εἰς ἔρημον τόπον. τὰ ἔθνη· καὶ μετὰ τὴν τῶν προφητῶν ἀναίρεσιν
ὄχλοι αὐτῷ ἠκολούθησαν ἀπὸ τῶν πανταχοῦ πόλεων. ὅντινα
πολὺν ὄντα θεασάμενος ἐσπλαγχνίσθη καὶ ἐθεράπευσε τοὺς ἀρ-
ρώστους αὐτῶν, καὶ μετὰ τοῦτο τρέφει τοῖς εὐλογηθεῖσι καὶ πλεονάσασιν
20 ἐξ ὀλίγων ἄρτων τοὺς ἀκολουθήσαντας αὐτῷ. ἀκούσας δὲ ὁ Ἰησοῦς
ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν
(14, 12. 13 [—14]).

Τὸ μὲν ῥητὸν διδάσκει ἡμᾶς ὅση δύναμις ἀπὸ τῶν διωκόντων καὶ τῆς
προσδοκίας τοῦ διὰ τὸν λόγον ἐπιβουλεύεσθαι ἀναχωρεῖν· τοῦτο μὲν γὰρ
25 κατὰ τὸ εὔλογιστον γένοιτ' ἄν, τὸ δὲ δυνάμενον ἔξω εἶναι τῶν περιστατικῶν
ὁμόσε χωρεῖν αὐτοῖς προπετές ἐστι καὶ θρασύ. τίς δὲ ἔτι ἀμφιβάλλοι ἂν
περὶ τοῦ ἐκκλίνειν τὰ τοιαῦτα, τοῦ Ἰησοῦ οὐ μόνον ἐπὶ τοῖς κατὰ τὸν Ἰωάννην
ἀναχωρήσαντος, ἀλλὰ καὶ διδάσκοντος καὶ λέγοντος· »ἐὰν διώκωσιν ὑμᾶς
ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν«. ἐπελθόντα μὲν οὖν οὐ παρ'
30 ἡμᾶς πειρασμὸν ἀναγκαῖον ὑπομένειν εὐγενῶς λίαν καὶ τεθαρρηκότως· παρὸν

7 Vgl. Joh. 5, 46 — 10 Vgl. II. Petr. 1, 19 — 11 Vgl. Tit. 2, 8 — 13 Joh. 19, 36 — 15—19 Vgl. *Π* 164, 18ff An. — 22—28 Vgl. C^{luc} Nr. 19 Or. (*Π* 164, 19 app. An.) Vgl. Hier. in Matth. 103 B: *sive ideo recessit, ut nobis praeberet exemplum vitandae ultro tradentium se temeritatis* — 26ff Vgl. Orig. c. Cels. I, 65 (I, 118, 5ff): tom. XXVIII, 23 in Joh. (IV, 418, 24ff) — 28 Matth. 10, 23

2 ὅρκους + πρὸς τοὺς M 3 χρῆσις *Π* 6 λαὸς Kl λόγος M H 12 πληρωθήσεις H 13 ⟨αὐτοῦ⟩ Kl mit *Π* 21 ἐν πλοίῳ[β] ἐκεῖθεν[α] H 24 τὸν λόγον] auch C^{luc} Nr. 19 τῶν λόγων H 25 γένοιτο M 27 τοῦ Ἰησοῦ οὐ μόνον ἐπὶ τοῖς κατὰ τὸν Ἰωάννην Kl mit C^{luc} Nr. 19 οὐ μ. ἐ. τ. κ. τ. Ἰ. τοῦ Ἰησοῦ M H

δὲ ἐκκλίνειν, τοῦτο μὴ ποιεῖν τολμηρόν. ἐπεὶ δὲ μετὰ τὸ ῥητὸν καὶ κατὰ
ἀναγωγὴν τὸν τόπον ἐξεταστέον, λεκτέον ὅτι ἐπιβουλευθείσης παρὰ Ἰου-
δαίοις τῆς προφητείας καὶ ἀναιρεθείσης, διὰ τὸ τιμᾶσθαι παρ' αὐτοῖς τὰ
γενέσεως πράγματα καὶ κατὰ ἀποδοχὴν κενῶν κινήσεων (γεγενημένων, ὡς
5 μὲν παρ' ἀληθείᾳ δικαζούσῃ, ἀρρύθμων καὶ ἐκμελῶν, ὡς δ' ὑπολαμβάνει
ὁ τῶν φαύλων ἄρχων καὶ οἱ συνεστιώμενοι αὐτῷ, εὐρύθμων καὶ ἀρεσκόντων
ἐκείνοις), ἀναχωρεῖ ὁ Ἰησοῦς ἀπὸ τοῦ τόπου ἐν ᾧ προφητεία ἐπιβουλευθεῖσα
κατεδικάσθη. ἀναχωρεῖ δὲ εἰς τὸν ἔρημον θεοῦ παρὰ τοῖς ἔθνεσι τόπον,
ἵνα ὁ τοῦ θεοῦ λόγος, αἰρομένης τῆς βασιλείας ἀπ' ἐκείνων καὶ διδομένης
10 »ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς«, γένηται ἐν τοῖς ἔθνεσι, καὶ δι' αὐτὸν
»πολλὰ« γένηται »τὰ τέκνα τῆς ἐρήμου μᾶλλον« (μήτε νόμον μήτε προφήτας
δεδιδαγμένης) »ἢ τῆς ἐχούσης τὸν ἄνδρα«, τὸν νόμον.

Ὅτε μὲν οὖν πάλαι ὁ λόγος παρὰ Ἰουδαίοις ἦν, οὐχ οὕτως ἦν παρ'
αὐτοῖς, ὡς παρὰ τοῖς ἔθνεσι· διὸ λέ|λεκται ἐν πλοίῳ, τουτέστι τῷ σώματι, 474
15 εἰς τὸν ἔρημον τόπον κατ' ἰδίαν γεγονέναι. ἀκούσαντα περὶ τῆς ἀναι-
ρέσεως τοῦ προφήτου. κατ' ἰδίαν δέ, γενόμενος εἰς τὴν ἔρημον, ἣν ἐν αὐτῇ,
τῷ ἰδιάζοντα εἶναι τὸν λόγον καὶ τὴν διδασκαλίαν αὐτοῦ παρὰ τὰ εἰθισμένα
ἐν τοῖς ἔθνεσι γίνεσθαι καὶ νενομισμένα. καὶ οἱ ἐν τοῖς ἔθνεσιν ὄχλοι
ἀκούσαντες λόγον ἐπιδεδημηκέναι τῇ ἐρήμῳ αὐτῶν καὶ τοῦτον κατ'
20 ἰδίαν τυγχάνειν (ὡς προαποδεδώκαμεν) ἠκολούθησαν αὐτῷ ἀπὸ τῶν
ἰδίων πόλεων τῷ ἕκαστον καταλελοιπέναι τὰ πάτρια τῆς δεισιδαιμονίας
ἔθη καὶ τῷ τοῦ Χριστοῦ προσεληλυθέναι νόμῳ. πεζῇ δὲ αὐτῷ, καὶ οὐκ
ἐν πλοίῳ ἠκολούθησαν ἅτε μὴ τῷ σώματι, ἀλλὰ γυμνῇ τῇ ψυχῇ καὶ τῇ
ἀπὸ τοῦ λόγου πεισθείσῃ προαιρέσει ἠκολουθηκότες τῇ εἰκόνι τοῦ θεοῦ.
25 καὶ πρὸς τούτους γε ὁ Ἰησοῦς ἐξέρχεται μὴ χωροῦντας προσιέναι πρὸς
αὐτόν, ἵνα τοῖς ἔξω ⟨ἔξω⟩ γενόμενος, ἔσω τοὺς ἔξω εἰσαγάγῃ. πολὺς δὲ

1ff Vgl. Hier. in Matth. 103 C: *postquam a Iudaeis et rege Iudaeorum prophetae truncatum est caput . . ., Iesus transiit ad desertum ecclesiae locum, quae virum antea non habuerat* — 8ff Vgl. Theophylakt: εἰς ἔρημον τόπον, εἰς τὰ ἔθνη τὰ ἔρημα τοῦ θεοῦ — 9ff Vgl. Matth. 21, 43 — 11 Gal. 4, 27 — 11ff Vgl. Orig. hom. IX, 3 in Jer. (III, 67, 13ff): ⟨ἔρημος μὲν ἡ ἐκκλησία⟩. ἔρημος αὕτη νόμου, ἔρημος αὕτη θεοῦ ἦν· ἔχουσα δὲ ἄνδρα τὸν νόμον ἐκείνη ἡ συναγωγὴ λέλεκται — 20ff Vgl. Hier. in Matth. 104 A: *secutae sunt eum turbae relinquentes civitates suas, hoc est pristinas conversationes et varietates dogmatum. egressus autem Iesus significat, quod turbae . . . vires perveniendi non habuerint* — 24 Vgl. Kol. 1, 15; II. Kor. 4, 4 — 26—38, 27 Vgl. C[luc] Nr. 20 Or.

1 l. μετὰ ⟨τὸ ἐκτεθεῖσθαι⟩ τὸ ῥητὸν ? Koe   5 ἀρύθμων MH   13 λόγος] νόμος M   26 ⟨ἔξω⟩ Kl, vgl. Orig. in Prov. 1, 6 (Lomm. 13, 221): οὐ μόνον δὲ ἐξέρχεται τῆς οἰκίας αὐτῶν ὁ Ἰησοῦς, ἵνα τοῖς ἔξω ἔξω γενόμενος λαλήσῃ τὰς παραβολὰς κτλ.

ὁ ἔξω ὄχλος, εἰς ὃν ἐξέρχεται ὁ τοῦ θεοῦ λόγος, καὶ ἐκχέας τὸ φῶς τῆς ἐπισκοπῆς αὐτοῦ εἰς αὐτὸν εἶδεν αὐτόν, καὶ ἰδὼν τοῦ ἐλεεῖσθαι μᾶλλον αὐτοὺς ἀξίους διὰ τὸ ἐν τοιοῖσδέ τισιν εἶναι, ὡς φιλάνθρωπος πέπονθεν ὁ ἀπαθὴς τῷ σπλαγχνισθῆναι, καὶ οὐ μόνον ἐσπλαγχνίσθη ἀλλὰ καὶ
5 τοὺς ἀρρώστους αὐτῶν ἐθεράπευσεν ἔχοντας ποικίλα καὶ παντοδαπὰ ἀπὸ τῆς κακίας ἀρρωστήματα.

24. Εἰ δὲ θέλεις ἰδεῖν ποῖά ἐστι τὰ τῆς ψυχῆς ἀρρωστήματα, κατανόει μοι τοὺς φιλαργύρους καὶ τοὺς φιλοδόξους καὶ τοὺς φιλόπαιδας καὶ εἴ τίς ἐστι φιλόγυνος· καὶ τούτους γὰρ ἐν τοῖς ὄχλοις ἰδὼν καὶ σπλαγχνισθεὶς
10 ἐπ' αὐτοῖς ἐθεράπευσεν. οὐ πᾶν δὲ ἁμάρτημα νομιστέον ἀρρωστίαν εἶναι, ἀλλ' ὅπερ ἐναπέσκηψεν ὅλῃ τῇ ψυχῇ. οὕτω γὰρ ἔστιν ἰδεῖν τοὺς μὲν φιλαργύρους ὅλους τεταμένους ἐπὶ τὸ ἀργύριον καὶ τὴν τούτου φρουρὰν καὶ συναγωγήν, τοὺς δὲ φιλοδόξους ἐπὶ τὸ δοξάριον, κεχήνασι γὰρ περὶ τὸν ἀπὸ τῶν πολλῶν καὶ χυδαιοτέρων ἔπαινον. καὶ τὸ ἀνάλογον νοήσεις ἐπὶ
15 ὧν ὠνομάσαμεν λοιπῶν, καὶ εἴ τι ἄλλο τούτοις ἐστὶ παραπλήσιον. ἐπεὶ οὖν διηγούμενοι τὸ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν εἴπομεν μὴ πᾶν ἁμάρτημα εἶναι ἀρρώστημα, ἄξιον ἀπὸ τῆς γραφῆς καὶ περὶ τῆς διαφορᾶς τούτων παραμυθήσασθαι. φησὶ δὴ ὁ ἀπόστολος Κορινθίοις, ποικίλα ἔχουσιν ἁμαρτήματα, γράφων· »διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι
20 καὶ κοιμῶνται ἱκανοί«. ἄκουε γὰρ ἐν τούτοις τοῦ »καὶ« συνδέσμου, πλέκοντος καὶ συμπεπλεγμένον ποιοῦντος ἐκ διαφόρων ἁμαρτημάτων, καθὸ οἱ μέν εἰσιν ἀσθενεῖς, ἕτεροι δὲ ἄρρωστοι πλέον ἢ ἀσθενεῖς, καὶ ἄλλοι παρ' ἀμφοτέρους οἱ κοι|μώμενοι. οἱ μὲν γὰρ ὀλισθηρῶς διὰ τὴν τῆς ψυχῆς ἀδυναμίαν 475 πρὸς τὸ ὁτιποτοῦν ἁμαρτάνειν ἔχοντες, κἂν μὴ ὅλοι ὦσιν εἴδους τινὸς ἁμαρτίας
25 ὡς οἱ ἄρρωστοι, ἀσθενεῖς εἰσι μόνον. οἱ δὲ ὅλῃ ψυχῇ καὶ ὅλῃ καρδίᾳ καὶ ὅλῃ διανοίᾳ, ἀντὶ τοῦ τὸν θεὸν ἀγαπᾶν, ἀγαπῶντες ἀργύρια ἢ δοξάρια ἢ γύναια ἢ παῖδας, οὗτοι πλέον ἢ ἀσθενείας πεπόνθασιν καί εἰσιν ἄρρωστοι. κοιμῶνται δὲ οἱ, δέον προσέχειν καὶ ἐγρηγορέναι τῇ ψυχῇ, τοῦτο μὲν οὐ ποιοῦντες, ἀπὸ δὲ πολλῆς ἀπροσεξίας νυστάζοντες τὴν προαίρεσιν καὶ
30 ὑπνώττοντες τοῖς λογισμοῖς· οἵτινες »ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν«. οὗτοι δὲ διὰ τὸ κοιμᾶσθαι ἐν κεναῖς εἰσι φαντασίαις καὶ παραβαλλομέναις ἐνυπνίοις, ταῖς περὶ τῶν πραγμάτων, τὰ μὲν ὕπαρ καὶ ἀληθῆ οὐκ ἀποδεχόμενοι, ὑπὸ δὲ τῶν ἐν ταῖς κεναῖς φαντασίαις ἀπατώμενοι. περὶ ὧν καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται τὸ

19 I. Kor. 11, 30 — **25f** Vgl. Matth. 22, 37 — **29** Vgl. Matth. 25, 5 — **30** Jud. 8

1 εἰσέρχεται M **4** τῷ] τὸ Hu **13** δὲ < H **18** δὴ] δὲ M **20** συνδέσμου] auch C^{luc} Nr. 20 σύνδεσμον v Koe **24** ὅλη H **25** καρδίᾳ] χειρὶ M **27** γύναια Kl mit C^{luc} Nr. 20 γυναῖκα M H **32** κεναῖς] πολλαῖς M **33** μὲν + γὰρ M | ταῖς < M

»ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος πάντων τῶν ἐθνῶν ὅσοι ἐπεστράτευσαν ἐν Ἱερουσαλήμ«. εἰ καὶ ἐδόξαμεν οὖν παρεκβεβηκέναι, διηγούμενοι διαφορὰν ἀσθενῶν καὶ ἀρρώστων καὶ κοιμωμένων, διὰ τὸ τὸν 5 ἀπόστολον ἐν τῇ πρὸς Κορινθίους εἰρηκέναι ἃ ἐξεθέμεθα, τὴν παρέκβασιν πεποιήμεθα βουληθέντες παραστῆσαι τί σημαίνεται νοητὸν ἐκ τοῦ καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν.

25. Μετὰ τοῦτό φησιν ὁ λόγος ὅτι ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· ἔρημός ἐστιν ὁ τόπος 10 καὶ ἡ ὥρα παρῆλθεν ἤδη· ἀπόλυσον οὖν τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα (14, 15 [—21]).

Καὶ πρῶτόν γε τήρησον ὅτι μέλλων τοὺς τῆς εὐλογίας ἄρτους διδόναι τοῖς μαθηταῖς, ἵνα παραθῶσι τοῖς ὄχλοις, »ἐθεράπευσε τοὺς ἀρρώστους«, 15 ἵν' ὑγιάναντες τῶν τῆς εὐλογίας μεταλάβωσιν ἄρτων· οὐ γὰρ δύνανται οἱ ἔτι ἄρρωστοι χωρῆσαι τοὺς τῆς Ἰησοῦ εὐλογίας ἄρτους. ἀλλὰ καὶ ἐάν τις, δέον ἀκούειν τοῦ »δοκιμαζέτω δὲ ἕκαστος ἑαυτόν, καὶ οὕτως ἐσθιέτω ἐκ τοῦ ἄρτου« καὶ τὰ λοιπά, τούτων μὲν μὴ κατακούῃ, ὡς ἔτυχε δὲ μεταλαμβάνῃ ἄρτου κυρίου καὶ ποτηρίου αὐτοῦ, ἀσθενὴς ἢ ἄρρωστος γίνεται ἢ καὶ 20 ἐκ τοῦ (ἵν' οὕτως εἴπω) καροῦσθαι ὑπὸ τῆς τοῦ ἄρτου δυνάμεως κοιμώμενος. | 476

⟨Ὠριγένους τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν τόμος ια'.⟩

1. Ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ (τουτέστιν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, καθ' ὃν ἔστιν εὐκαίρως εἰπεῖν τὸ »ἐσχάτη ὥρα ἐστίν«, ἐν τῇ Ἰωάννου ἐπιστολῇ κείμενον), οἵτινες μηδέπω νοοῦντες ὃ ἔμελλε ποιεῖν ὁ λόγος φασὶν αὐτῷ ὅτι ἔρημός ἐστιν ὁ τόπος, ὁρῶντες 25 τὴν τοῦ θείου [καὶ] νόμου καὶ λόγου ἐρημίαν ἐν τοῖς πολλοῖς. λέγουσι δ' αὐτῷ τὸ καὶ ἡ ὥρα ⟨ἤδη⟩ παρῆλθεν, οἱονεὶ παρελήλυθε τὸ εὔκαιρον νόμου καὶ προφητῶν. τάχα δὲ τοῦτο ἔλεγον, ἀναφέροντες τὸν λόγον, καὶ διὰ τὸ

1 Jes. 29, 8 — 13 Vgl. Marc. 6, 41 — 14 Vgl. Matth. 14, 14 — 17 I. Kor. 11, 28 — 19f Vgl. I. Kor. 11, 30 — 22 I. Joh. 2, 18

3 ἐν] ἐπὶ C[luc] Nr. 20   8 φησι H   11 κόμας H   16 καὶ ἐὰν] κἂν C[luc] Nr. 20   17 ἐκ < M   18/19 μεταλαμβάνῃ v C[luc] Nr. 20 μεταλαμβάνει M H   20ff Inscr. ⟨Ὠριγένους—ια'⟩ ϱ < M H   25 θείου Kl mit C[luc] Nr. 20 θεοῦ καὶ M H   26 ⟨ἤδη⟩ Kl mit C[luc] Nr. 20   27 ἀναφέροντες τὸν λόγον] ? Kl, Lücke ? Koe

τὸν Ἰωάννην ἀποκεκεφαλίσθαι καὶ τὸν νόμον καὶ τοὺς προφήτας, οἳ ἦσαν
μέχρι Ἰωάννου, πεπαῦσθαι. παρῆλθεν οὖν (φασὶν) ἡ ὥρα, καὶ οὐ πάρεστι
τροφὴ τῷ τὸν καιρὸν αὐτῆς μηκέτι ἐνεστηκέναι, ἵν' οἱ ἐν τῇ ἐρήμῳ ἀκολου-
θήσαντές σοι νόμῳ καὶ προφήταις δουλεύσωσι. καὶ ἔτι φασὶν οἱ μαθηταί·
5 ἀπόλυσον οὖν αὐτούς, ἵν' ἕκαστος, εἰ μὴ δύναται ἀπὸ τῶν πόλεων,
ἀλλ' ἀπὸ τῶν κωμῶν, τῶν ἀτιμοτέρων χωρίων, ὠνήσηται βρώματα.
ταῦτα μὲν ἔφασκον οἱ μαθηταί, ἀπογινώσκοντες τοῖς ὄχλοις εὑρεθήσεσθαι,
μετὰ τὸ καταλελύσθαι τὸ γράμμα τοῦ νόμου καὶ πεπαῦσθαι προφητείας,
παραδόξους καὶ καινὰς τροφάς. ἀλλ' ὁ Ἰησοῦς ὅρα τί ἀποκρίνεται τοῖς
10 μαθηταῖς, μονονουχὶ βοῶν καὶ σαφῶς λέγων· ὑμεῖς μὲν ὑπολαμβάνετε ὅτι,
ἐὰν ἀπέλθωσιν ἀπ' ἐμοῦ ὁ πολὺς ὄχλος χρῄζοντες τροφῶν, ταύτας εὑρήσουσιν
ἐν κώμαις μᾶλλον ἢ παρ' ἐμοί, καὶ ἐν συστήμασιν ἀνθρώπων (οὐ πολιτῶν
ἀλλὰ κωμητῶν) μᾶλλον ἢ ὅτε παραμενοῦσί μοι. ἐγὼ δὲ ὑμῖν ἀποφαίνομαι
ὅτι, οὗ μὲν ὑπολαμβάνετε χρῄζειν αὐτούς, οὐ χρῄζουσιν (οὐ γὰρ χρείαν
15 ἔχουσι τοῦ ἀπελθεῖν)· οὗ δὲ νομίζετε αὐτοὺς μὴ ἔχειν χρείαν (τουτέστιν
ἐμοῦ, ὡς μὴ δυναμένου αὐτοὺς τρέφειν), τούτου παρὰ τὴν ὑμετέραν προσδο-
κίαν χρείαν ἔχουσιν. ἐπεὶ οὖν παιδεύσας ὑμᾶς ἱκανοὺς ἐποίησα πρὸς τὸ
διδόναι τοῖς δεομένοις λογικὴν τροφήν, ὑμεῖς δότε τοῖς ἀκολουθήσασί μοι
ὄχλοις φαγεῖν· ἔχετε γὰρ δύναμιν ἀπ' ἐμοῦ λαβόντες τοῦ δοῦναι τοῖς
20 ὄχλοις φαγεῖν, | ἥντινι εἰ ἦτε ἐπιστήσαντες, κατενοήσατε ἄν, ὅτι πολλῷ 477
πλεῖον ἐγὼ δύναμαι αὐτοὺς θρέψαι, καὶ οὐκ εἰρήκειτε ἄν· ἀπόλυσον τοὺς
ὄχλους, ἵνα ἀπελθόντες ἀγοράσωσιν ἑαυτοῖς βρώματα.

2. Ὁ μὲν οὖν Ἰησοῦς, δι' ἣν ἔδωκε δύναμιν καὶ ἑτέρων θρεπτικὴν
τοῖς μαθηταῖς, εἶπε· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ μὴ ἀρνού-
25 μενοι μὲν τὸ δύνασθαι διδόναι ἄρτους, πολλῷ δὲ ὀλιγωτέρους αὐτοὺς νομί-
ζοντες εἶναι καὶ οὐχ ἱκανοὺς τρέφειν τοὺς ἀκολουθήσαντας τῷ Ἰησοῦ,
οὐδὲ θεωροῦντες ὅτι ἕκαστον ἄρτον ⟨ἢ⟩ λόγον ὁ Ἰησοῦς λαβὼν εἰς ὅσον
βούλεται ἐκτείνει, ποιῶν αὐτὸν διαρκῆ πᾶσιν ὅσους ἐὰν θρέψαι θέλῃ, φασίν·
οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας, πέντε
30 μὲν ἴσως αἰνισσόμενοι ἄρτους εἶναι τοὺς αἰσθητοὺς τῶν γραφῶν λόγους
καὶ διὰ τοῦτο ἰσαρίθμους ταῖς πέντε αἰσθήσεσιν. δύο δὲ ἰχθῦς ἤτοι τὸν

1f Vgl. Luc. 16, 16 — 31f Vgl. Orig. tom. XIII, 9 in Joh. (IV, 233, 20) — Vgl. Orig. c. Cels. VI, 65 (II, 135, 19ff)

1 ἀποκεφαλίσθαι H 2 φασὶν Hu φησιν M H C[luc] Nr. 20 5 αὐτούς] τοὺς ὄχλους C[luc] Nr. 20 | ἕκαστος] + κατὰ δύναμιν ὠνήσηται ἑαυτοῦ C[luc] Nr. 20 6 κομῶν H 7 ταῦτα] καὶ ταῦτα C[luc] Nr. 20 12 συστήματι M 13 ὅτε Kl ὅτι M H 17 ὑμᾶς ἱκανούς] ἡμᾶς χρείαν ἔχουσι M[a] ὑμᾶς χ. ἔ. M[c] 20 ἐπι-στάντες M 27 ⟨ἢ⟩ Kl Koe 28 βούλεται H C[luc] Nr. 20 δύναται M

προφορικὸν καὶ τὸν ἐνδιάθετον λόγον, ὡσπερεὶ ὄψον τυγχάνοντας τῶν ἐν ταῖς γραφαῖς αἰσθητῶν κειμένων, ἢ τάχα καὶ τὸν φθάσαντα ἐπ' αὐτοὺς περὶ πατρὸς καὶ υἱοῦ λόγον. διὸ καὶ αὐτὸς »ἔφαγεν ἰχθύος ὀπτοῦ« ἀναστὰς »μέρος λαβὼν« ἀπὸ τῶν μαθητῶν, καὶ ἀποδεξάμενος ἣν ἐδύναντο ἐκ μέρους ἀπαγγεῖλαι αὐτῷ περὶ τοῦ πατρὸς θεολογίαν. ἡμεῖς μὲν οὖν οὕτως τῷ περὶ τῶν πέντε ἄρτων καὶ δύο ἰχθύων ἐπιβαλεῖν δεδυνήμεθα λόγῳ· εἰκὸς δὲ ὅτι οἱ μᾶλλον ἡμῶν συναγαγεῖν δυνάμενοι τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας παρ' ἑαυτοῖς πλείονα καὶ κρείττονα δύναιντ' ἂν ἀποδοῦναι περὶ τούτων νοῦν.

Παρατηρητέον μέντοι, ὅτι τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας οἱ μαθηταὶ λέγουσιν ἔχειν παρὰ τῷ Ματθαίῳ καὶ τῷ Μάρκῳ καὶ τῷ Λουκᾷ, οὔθ' ὅτι πύρινοι οὔθ' ὅτι κρίθινοι ἦσαν ὑποσημειωσάμενοι· ὁ δὲ Ἰωάννης μόνος κριθίνους εἶπεν εἶναι τοὺς ἄρτους, διὸ τάχα οὐδὲ οἱ μαθηταὶ ὁμολογοῦσιν ⟨ἔχειν⟩ αὐτοὺς παρ' ἑαυτοῖς ἐν τῷ τοῦ Ἰωάννου εὐαγγελίῳ, ἀλλὰ λέγουσι παρ' αὐτῷ ὅτι »ἔστι παιδάριον ὧδε ὃς ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια«. καὶ ὅσον μὲν οἱ πέντε ἄρτοι οὗτοι καὶ οἱ δύο ἰχθύες οὐκ ἐφέροντο ὑπὸ τῶν μαθητῶν τῷ Ἰησοῦ, οὐκ ηὔξανον οὐδὲ ἐπλήθυνον οὐδὲ ἐδύναντο τρέφειν πλείονας· ὅτε δὲ λαβὼν αὐτοὺς ὁ σωτὴρ πρῶτον ἀνέβλεψεν εἰς τὸν οὐρανόν, ταῖς ἀκτῖσι τῶν ὀφθαλμῶν αὐτοῦ οἱονεὶ καταβιβάζων δύναμιν ἐκεῖθεν, τὴν ἀνακραθησομένην τοῖς ἄρτοις καὶ τοῖς ἰχθύσι, μέλλουσι τρέφειν τοὺς | πεντακισχιλίους, καὶ μετὰ τοῦτο ηὐλόγησε τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, τῷ λόγῳ καὶ τῇ εὐλογίᾳ αὔξων καὶ πληθύνων αὐτούς, καὶ τρίτον μερίζων καὶ κλῶν ἔδωκε τοῖς μαθηταῖς, ἵν' ἐκεῖνοι τοῖς ὄχλοις παραθῶσι, τότε διήρκεσαν οἱ ἄρτοι καὶ οἱ ἰχθύες, ὡς φαγεῖν πάντας καὶ κορεσθῆναι καί τινας τῶν εὐλογηθέντων ἄρτων μὴ χωρῆσαι φαγεῖν. ἐπερίσσευσε γὰρ τοῖς ὄχλοις τοσαῦτα, ἃ κατὰ μὲν τοὺς ὄχλους οὐκ ἦν, κατὰ δὲ τοὺς δυναμένους μαθητὰς ἆραι τὸ περισσεῦον τῶν κλασμάτων καὶ ἀποθέσθαι εἰς κοφίνους πληρουμένους τῶν περισσευμάτων, ὄντας τὸν ἀριθμὸν τοσούτους ὅσαι αἱ φυλαὶ τοῦ Ἰσραήλ. περὶ μὲν οὖν τοῦ Ἰωσὴφ ἐν Ψαλμοῖς γέγραπται· »αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν«, περὶ δὲ τῶν Ἰησοῦ μαθητῶν ὅτι ἦραν τὸ περισσεῦον τῶν κλασμάτων οἱ δώδεκα (οἶμαι) δώδεκα [478]

1f Vgl. Harnack TU. 42, 4, 93 — 3 Vgl. Luc. 24, 42 — 4f Vgl. Luc. 24, 18ff? 49ff? — 15 Joh. 6, 9 — 24 Vgl. Marc. 6, 41 — 30 Psal. 80, 7

2 *αἰσθητῶς* C^{luc} Nr. 20   3 *ἰχθύος ὀπτοῦ ἔφαγεν* M   5 *ἡμεῖς* M $H^{c.r.}$ *ὑμεῖς* H^{a} 6 *ἐπιβαλεῖν* ρ *ἐπιβάλλειν* M H | *εἰκῶς* H^{a} 14 ⟨*ἔχειν*⟩ Kl   15 *ὅς*] *ὃ* υ   17 *τῷ* Kl *τοῦ* M H   23 *τρίτον* M H^{c} *τρίτων* H^{a} 27 *ἃ*] *ὅσα*? Diehl | *ἦν* + ⟨*ἀναλῶσαι*⟩? Koe   30 *οὖν* H^{c} s. l. < M H^{a}

κοφίνους οὐχ ἡμιτελεῖς. ἀλλὰ πλήρεις. καί εἰσιν (οἶμαι) μέχρι τοῦ δεῦρο
καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος οἱ πλήρεις κόφινοι δώδεκα τῶν κλα-
σμάτων ἄρτου ζῶντος, οὓς μὴ δύνανται οἱ ὄχλοι ἐσθίειν, παρὰ τοῖς τῶν
ὄχλων κρείττοσι μαθηταῖς τοῦ Ἰησοῦ. ἦσαν δὲ οἱ ἐσθίοντες ἀπὸ τῶν
5 πέντε ἄρτων τῶν πρὸ τῶν περισσευσάντων κοφίνων δώδεκα συγγενεῖς
τῷ πέντε ἀριθμῷ μέχρι τῶν αἰσθητῶν φθάσαντες καὶ διὰ τοῦτο πεντα-
κισχίλιοι· ἢ καὶ μέχρι τῶν αἰσθητῶν ἔφθασαν οἱ φαγόντες, ἐπεὶ καὶ οὗτοι
ἀπὸ τοῦ ἀναβλέψαντος εἰς οὐρανὸν ἐτράφησαν καὶ εὐλογήσαντος καὶ
κλάσαντος αὐτούς, καὶ οὐ παῖδες οὐδὲ γυναῖκες, ἀλλ' ἄνδρες. εἰσὶ γὰρ καὶ
10 ἐν αἰσθηταῖς (οἶμαι) τροφαῖς διαφοραί, ὡς τινὰς μὲν αὐτῶν εἶναι ⟨τῶν⟩
καταργησάντων »τὰ τοῦ νηπίου«, τινὰς δὲ τῶν νηπίων ἔτι καὶ σαρκίνων
»ἐν Χριστῷ«.

3. Καὶ ταῦτα δὲ ἡμῖν λέλεκται διὰ τὸ οἱ ἐσθίοντες ἦσαν ἄνδρες
πεντακισχίλιοι χωρὶς παιδίων καὶ γυναικῶν· ὅπερ ἀμφίβολόν
15 ἐστιν· ἢ γὰρ οἱ φαγόντες ἦσαν ἄνδρες πεντακισχίλιοι καὶ οὐδεὶς
ἦν ἐν τοῖς ἐσθίουσι παιδίον ἢ γυνή. ἢ ὅτι μόνον ἄνδρες πεντακισχίλιοι
ἦσαν μὴ ἀριθμουμένων μήτε παίδων μήτε γυναικῶν. τινὲς μὲν οὖν, ὡς
φθάσαντες εἰρήκαμεν, οὕτως ἐξειλήφασιν, ὅτι οὔτε παιδία οὔτε γυναῖκες
παρῆσαν τοῖς ηὐξηκόσι καὶ πεπληθυσμένοις ἀπὸ τῶν πέντε ἄρτων καὶ τῶν
20 δύο ἰχθύων. εἴποι δ' ἄν τις ὅτι, πολλῶν φαγόντων καὶ κατ' ἀξίαν καὶ
δύναμιν μετειληφότων ἀπὸ τῶν τῆς εὐλογίας ἄρτων, οἱ μὲν ἀριθμῶν ἄξιοι
(ἀνάλογον τοῖς ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν ἀριθμηθεῖσιν εἰκοσαετέσιν
Ἰσραηλίταις) ἄνδρες ἦσαν· οἱ δὲ μὴ | ἄξιοι τηλικούτου λόγου καὶ ἀριθμοῦ 47.9
παῖδες ἦσαν καὶ γυναῖκες. τροπολογεῖ δέ μοι καὶ τοὺς παῖδας κατὰ τὸ »οὐκ

6f Vgl. Orig. hom. III, 7 in Lev. (VI, 312, 9ff): *quinque numerus frequenter, immo paene semper pro quinque sensibus accipitur* u. ö. — 11 Vgl. I. Kor. 13, 11 — 11f Vgl. I. Kor. 3, 1 — 16ff Vgl. C[marc] Nr. 2 Or. (Ende)? — 17ff Ältere „Kontroverse", vgl. Harnack TU. 42, 4, 21 — 20ff Vgl. Hier. in Matth. 106 B: *mulieres autem et parvoli, sexus fragilis et aetas minor, numero indigni sunt. unde et in Numerorum libro . . . servi et mulieres et parvoli et vulgus ignobile absque numero praetermittitur* — 22 Vgl. Num. 1, 18 — 24 I. Kor. 3, 1

5 τῶν[1] + ⟨παρόντων⟩ Diehl Koe 6 αἰσθητῶν] αἰσθήσεων C[luc] Nr. 20 6f φθάσαντες—αἰσθητῶν] so M, vgl. auch C[luc] Nr. 20 < H 9 ἀλλ' M C[luc] Nr. 20 ἀλλὰ H 10 ⟨τῶν⟩ Kl mit C[luc] Nr. 20 11 τῶν νηπίων ἔτι Kl mit C[luc] Nr. 20 ἔτι τῶν νηπίων M H 13 οἱ < H 16 ἢ ⟨λεκτέον⟩ ὅτι? Koe 20 εἴποι δ' ἄν τις] εἰ δὲ πάντες ἐκ τῶν ἄρτων ἔφαγον, εἴποις ἂν C[luc] Nr. 20 21 l. ἀριθμοῦ? Kl, vgl. Z. 23 23 Ἰσραηλίταις M C[luc] Nr. 20 ἰσραηλίτες H

ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς ἀλλ' ὡς σαρκίνοις, ὡς νηπίοις ἐν Χριστῷ«, καὶ τὰς γυναῖκας κατὰ τὸ »βούλομαι δὲ τοὺς πάντας ὑμᾶς παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ«, τοὺς δὲ ἄνδρας κατὰ τὸ »ὅτε γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου«. μὴ παρέλθωμεν ⟨δὲ⟩ ἀδιήγητον καὶ
5 τὸ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοῦ χόρτου, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν ηὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες. τί γὰρ σημαίνει τὸ καὶ κελεύσας πάντας τοὺς ὄχλους ἀνακλιθῆναι
10 ἐπὶ τοῦ χόρτου καὶ τί ἄξιόν ἐστι τῆς κελεύσεως Ἰησοῦ νοῆσαι κατὰ τὸν τόπον; νομίζω δὲ ὅτι τοὺς ὄχλους ἐκέλευσεν ἀνακλιθῆναι ἐν τῷ χόρτῳ (διὰ τὸ ἐν Ἡσαΐᾳ λελεγμένον »πᾶσα σὰρξ χόρτος«), τουτέστιν ὑποκάτω ποιῆσαι τὴν σάρκα καὶ ὑποτάξαι »τὸ φρόνημα τῆς σαρκός«, ἵν' οὕτω τις δυνηθῇ ὧν εὐλογεῖ ἄρτων ⟨ὁ⟩ Ἰησοῦς μεταλαβεῖν.
15 Εἶτα ἐπεὶ τάγματα διάφορά ἐστι τῶν δεομένων τῆς ἀπὸ Ἰησοῦ τροφῆς, μὴ πάντων τοῖς ἴσοις λόγοις τρεφομένων, διὰ τοῦτο οἶμαι τὸν μὲν Μᾶρκον πεποιηκέναι· »καὶ ἐπέταξεν αὐτοῖς πᾶσιν ἀνακλιθῆναι συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ πεντήκοντα«, τὸν δὲ Λουκᾶν· »εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· κατακλίνατε
20 αὐτοὺς κλισίας ὡσεὶ ἀνὰ πεντήκοντα«. ἔδει γὰρ τοὺς ἀναπαυσομένους ἐπὶ ταῖς Ἰησοῦ τροφαῖς ἤτοι ἐν τάγματι εἶναι τῶν ἑκατόν, ⟨ὄντος⟩ ἱεροῦ ἀριθμοῦ καὶ τῷ θεῷ διὰ τὴν μονάδα ἀνακειμένου, ἢ ἐν τάγματι τῶν πεντήκοντα, ἀριθμῷ περιέχοντι τὴν ἄφεσιν κατὰ τὸ μυστήριον τοῦ Ἰωβηλαίου, γινομένου διὰ πεντηκονταετίας, καὶ τῆς κατὰ τὴν Πεντηκοστὴν
25 ἑορτῆς. οἶμαι δὲ ὅτι οἱ δώδεκα κόφινοι ἦσαν παρὰ τοῖς μαθηταῖς, πρὸς οὓς εἴρηται· »κα|θήσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς 480 τοῦ Ἰσραήλ«. καὶ ὥσπερ λέγοιτο ἂν μυστήριον εἶναι θρόνος κρίνοντος φυλὴν Ῥουβεὶμ καὶ θρόνος κρίνοντος φυλὴν Συμεὼν καὶ ἄλλος φυλὴν

2 II. Kor. 11, 2 — 3 I. Kor. 13, 11 — 12 Jes. 40, 6 — 13 Röm. 8, 6 — 17 Marc. 6, 39f — 19 Luc. 9, 14 — 22ff Vgl. zur Zahlensymbolik Orig. Sel. in Psalmos (11, 370 Lo): καὶ τὴν μονάδα δὲ πολὺ πρότερον, τήν τε πρώτην αὐτὴν καὶ τὴν ἐν δεκάσιν καὶ τὴν ἐν ἑκατοντάσιν, κατά τινας οὐ τοὺς τυχόντας λόγους, vgl. Harnack TU. 42, 4, 110ff — Vgl. Philo de mut. nom. § 228 (I, 613 M): ἡ παντελὴς εἰς ἐλευθερίαν ἄφεσις (Lev. 25, 10), ἧς σύμβολον ὁ πεντηκοστὸς λόγος ἱερός — 24 Vgl. Lev. 23, 15; Deut. 16, 9 — 26 Matth. 19, 28

1 ἡμῖν M   4 ⟨δὲ⟩ Diehl   9 σημαίνει Benz Diehl Koe σημαίνοι M H   14 ⟨ὁ⟩ ῑς̄ Kl mit V Cluc Nr. 20   17 l. πάντας ? Kl, vgl. S. 68, 4   21 τῶν ἑκατῶν H | ⟨ὄντος⟩ Koe   24 πεντίκοντα ἐτίας H | πεντικοστὴν H   25 τοῖς + ⟨ιβ'⟩ ? Kl

Ἰούδα καὶ οὕτω καθεξῆς, οὕτως εἴη ἂν καὶ κόφινος τροφῆς Ῥουβεὶμ καὶ ἄλλος Συμεὼν καὶ ἄλλος Λευΐ. οὐ κατὰ τὸν παρόντα δέ ἐστι λόγον νῦν τοσοῦτον ἐκβῆναι τοῦ προκειμένου, ὡς συναγαγεῖν τὰ περὶ τῶν δώδεκα φυλῶν καὶ ἰδίᾳ τὰ περὶ ἑκάστης αὐτῶν καὶ εἰπεῖν, τίς ἑκάστη τοῦ Ἰσραὴλ
5 φυλή.

4. *Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσει τοὺς ὄχλους* (14, 22 [—36]).

Παρατηρητέον ποσάκις εἴρηται κατὰ τοὺς αὐτοὺς τόπους τὸ ὄνομα
10 οἱ ὄχλοι καὶ ἄλλο ὄνομα οἱ μαθηταί, ἵν' ἐκ τῆς παρατηρήσεως καὶ τῆς περὶ τούτου συναγωγῆς θεωρηθῇ, ὅτι τὸ προκείμενον τοῖς εὐαγγελισταῖς ἦν διὰ τῆς εὐαγγελικῆς ἱστορίας παραστῆσαι διαφορὰς τῶν προσερχομένων τῷ Ἰησοῦ· ὧν οἱ μέν εἰσιν ὄχλοι καὶ οὐ χρηματίζουσι μαθηταί, ἕτεροι δὲ οἱ μαθηταὶ κρείττους τυγχάνοντες τῶν ὄχλων. ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος
15 ὀλίγα ῥητὰ ἡμᾶς παραθέσθαι, ἵνα ἀπὸ τούτων κινηθείς τις τὸ ὅμοιον ποιήσῃ ἐπὶ ὅλων τῶν εὐαγγελίων. γέγραπται τοίνυν, ὡς κάτω τῶν ὄχλων τυγχανόντων, τῶν δὲ μαθητῶν ἀναβάντι εἰς τὸ ὄρος τῷ Ἰησοῦ δυναμένων προσελθεῖν (ἔνθα οὐχ οἷοί τε ἦσαν οἱ ὄχλοι γενέσθαι), τοιαῦτα· »ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθη-
20 ταὶ αὐτοῦ· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι« καὶ τὰ ἑξῆς. καὶ πάλιν ἐν ἄλλῳ τόπῳ, ὡς τῶν ὄχλων δεομένων θεραπείας, λέλεκται· »ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτούς«. οὐχ εὕρομεν δὲ περὶ τῶν μαθητῶν ἀναγεγραμμένην θεραπείαν· ἐπεὶ εἴ τίς ἐστιν ἤδη μαθητὴς τοῦ Ἰησοῦ, ὑγιαίνει ἐκεῖνος καὶ
25 καλῶς ἔχων δεῖται τοῦ Ἰησοῦ οὐχ ᾗ ἰατροῦ, ἀλλὰ κατὰ τὰς ἄλλας αὐτοῦ δυνάμεις. πάλιν ἐν ἄλλῳ τόπῳ· »λαλοῦντος αὐτοῦ τοῖς ὄχλοις, ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ εἱστήκεσαν ἔξω ζητοῦντες λαλῆσαι αὐτῷ«· ὅπερ αὐτῷ ἐδηλώθη, πρὸς ὃν ἀπεκρίνατο »ἐκτείνας τὴν χεῖρα«, οὐκ ἐπὶ τοὺς ὄχλους ἀλλ' »ἐπὶ τοὺς μαθητάς, καὶ εἶπεν· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου«,
30 καὶ μαρτυρῶν τοῖς μαθηταῖς ὡς ποιοῦσι τὸ θέλημα τοῦ ἐν οὐρανοῖς πατρὸς καὶ διὰ τοῦτο ἀξιωθεῖσι τῶν συγγενῶν καὶ οἰκειοτάτων ὀνομάτων πρὸς τὸν Ἰησοῦν, ἐπιφέρει τῷ »ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου«· »ὅστις ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός ⟨μου⟩ τοῦ ἐν τοῖς οὐρανοῖς, αὐτός μου καὶ

18 Matth. 5, 1—3 — 22 Matth. 12, 15 — 24 Vgl. Luc. 5, 31 — **26ff** Matth. 12, 46—50

2 *Λευΐ*] l. *Ἰούδα*? Kl, vgl. Z. 1 13 *εἰσιν* + *οἱ* M | l. *χρηματίζοντες* Koe 23 *τῶν* < H 24 l. *ὑγιαίνων*? Kl 25 *οὐχ' ᾗ*] *οὐχὶ* v 28 *ἐδηλώθη*] l. ⟨*ὑπό τινος*⟩ *ἐδηλώθη*? Koe *ἐδήλου τις*? Kl | *ὃν* l. *ὃ*? Kl 30—33 *ἐν οὐρανοῖς—θέλημα τοῦ* < H 33 *ποιήσῃ* Kl *ποιήσει* M | ⟨*μου*⟩ Benz Diehl

ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί«. καὶ πάλιν ἐν ἄλλῳ τόπῳ γέγραπται ὅτι »πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει, καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς«· εἶτα μετὰ τὴν τοῦ σπόρου παραβολὴν »προσελθόντες«, οὐκέτι οἱ ὄχλοι ἀλλ' »οἱ μαθηταί, εἶπον αὐτῷ«, οὐ|χὶ »διὰ τί ἐν παραβολαῖς« 481
5 ἡμῖν »λαλεῖς;« ἀλλὰ »διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;« ὅτε καὶ »ἀποκριθεὶς εἶπεν«, οὐ τοῖς ὄχλοις ἀλλὰ τοῖς μαθηταῖς τὸ »ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν«, »τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς«. οὐκοῦν τῶν προσερχομένων τῷ ὀνόματι τοῦ Ἰησοῦ οἱ μὲν γινώσκοντες »τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν« μαθηταὶ χρηματίζοιεν ἄν· οἷς δὲ
10 τὸ τοιοῦτον »οὐ δέδοται«, ὄχλοι οἱ τῶν μαθητῶν ἥττους λέγοιντ' ἄν. πρόσχες γὰρ ἐπιμελῶς ὅτι τοῖς μαθηταῖς εἶπε τὸ »ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν«, περὶ δὲ τῶν ὄχλων τὸ »ἐκείνοις δὲ οὐ δέδοται«. καὶ ἐν ἄλλῳ τόπῳ ἀφίησι μὲν »τοὺς ὄχλους«, οὐχὶ δὲ τοὺς μαθητάς, καὶ ἔρχεται »εἰς τὴν οἰκίαν«· καὶ »εἰς τὴν οἰκίαν« αὐτοῦ »προσῆλθον αὐτῷ«,
15 οὐχὶ οἱ ὄχλοι ἀλλ' »οἱ μαθηταὶ αὐτοῦ λέγοντες· φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ«. ἀλλὰ καὶ ἐν ἄλλῳ τόπῳ, ἡνίκα »ἀκούσας« τὰ περὶ Ἰωάννου »ὁ Ἰησοῦς ἀνεχώρησεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν«, »οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ«, ὅτε »ἐξελθὼν εἶδε πολὺν ὄχλον, καὶ σπλαγχνισθεὶς ἐπ' αὐτοῖς ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν«, τῶν ὄχλων
20 οὐχὶ τῶν μαθητῶν· »ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ«, οὐχ οἱ ὄχλοι ἀλλ' »οἱ μαθηταί, λέγοντες« (ὡς ἕτεροι τῶν ὄχλων) »ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα«. ἀλλὰ καὶ ἡνίκα »λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κλάσας τοὺς ἄρτους«, οὐ τοῖς ὄχλοις ἀλλὰ »τοῖς μα-
25 θηταῖς ἔδωκεν«, ἵνα οἱ μαθηταὶ δῶσι »τοῖς ὄχλοις«, μὴ χωροῦσιν ἀπ' αὐτοῦ λαβεῖν ἀλλὰ μόγις διὰ τῶν μαθητῶν δεχομένοις τοὺς τῆς εὐλογίας Ἰησοῦ ἄρτους καὶ οὐδὲ τούτους πάντας ἐσθίουσι (χορτασθέντες γὰρ οἱ ὄχλοι καταλελοίπασι »τὸ περισσεῦον« ἐν κοφίνοις οὖσι πλήρεσι δώδεκα), ***

5. Οὗ δὲ ἕνεκεν ταῦτα παρειλήφαμεν, ἐστὶ τὸ προκείμενον ὅτι, χωρίσας
30 ὁ Ἰησοῦς τῶν ὄχλων τοὺς μαθητὰς ἠνάγκασεν αὐτοὺς ἐμβῆναι εἰς

2 Matth. 13, 2f — **3ff** Matth. 13, 10f — 7 Luc. 8, 10 — **8ff** Vgl. Matth. 13, 11 — **11ff** Matth. 13, 11 — **13ff** Matth. 13, 36 — **16ff** Matth. 14, 13—15 — 22—25 Vgl. C^{marc} Nr. 3 Or. — **23ff** Matth. 14, 19—21

2f αὐτοῖς πολλὰ ἐν παραβολαῖς M H^c ἐν παραβολαῖς αὐτοῖς πολλά H^a 4 οὐχὶ] οὐ H 8 τῷ M $H^{c.r.}$ το H^a | τοῦ < M **13f** καὶ ἔρχεται εἰς τὴν οἰκίαν, οὐχὶ δὲ τοὺς μαθητάς M H ~ Kl 26 δεχομένης H^a 28 *** Koe, der etwa ergänzt ⟨διαφοραὶ τῶν ὄχλων καὶ τῶν μαθητῶν Ἰησοῦ φανεραί εἰσιν⟩ vgl. S. 39, 12 29 ταῦτα Hu ταύτας M H ταύτας ⟨τὰς λέξεις⟩ Koe

τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσει
αὐτὸς τοὺς ὄχλους. οὐ γὰρ ἠδύναντο οἱ ὄχλοι εἰς τὸ πέραν ἀπελθεῖν,
ὡς οὐ μυστικῶς Ἑβραῖοι (οἵτινες ἑρμηνεύονται ΠΕΡΑΤΙΚΟΙ)· ἀλλὰ τοῦτο
ἔργον ἦν τῶν Ἰησοῦ μαθητῶν, λέγω δὲ ⟨τὸ⟩ εἰς τὸ πέραν ἀπελθεῖν
5 καὶ ὑπερβῆναι »τὰ βλεπόμενα« καὶ σωματικὰ ὡς »πρόσκαιρα«, φθάσαι δὲ
ἐπὶ »τὰ μὴ βλεπόμενα καὶ αἰώνια«. εὐεργεσία οὖν αὐτάρκης ἦν τοῖς ὄχλοις
ἀπὸ τοῦ Ἰησοῦ αὐτοῖς διδομένη. μὴ δυναμένοις (διὰ | τὸ ὄχλους εἶναι) 482
ἀπελθεῖν εἰς τὸ πέραν, ἀπολυθῆναι ἀπὸ τοῦ Ἰησοῦ. ἥντινα ἀπόλυσιν
οὐδεὶς ἔχει ἐξουσίαν ἀπολύειν ἢ ὁ Χριστὸς μόνος, καὶ οὐχ οἷόν τέ ἐστιν ἀπο-
10 λυθῆναί τινα μὴ πρότερον φαγόντα ἄρτων ὧν ὁ Ἰησοῦς εὐλογεῖ, οὐχ οἷόν τε
δὲ φαγεῖν ⟨τινα⟩ τῶν ἄρτων τῆς εὐλογίας Ἰησοῦ εἰ μὴ ὡς ἐκέλευσεν ὁ Ἰησοῦς
ποιήσαντα καὶ ἀνακλιθέντα »ἐπὶ τοῦ χόρτου« (ὡς ἀποδεδώκαμεν). ἀλλ᾽
οὐδὲ τοῦτο οἷόν τε ποιῆσαι τοὺς ὄχλους μὴ ἀκολουθήσαντας τῷ Ἰησοῦ ἀπὸ
τῶν ἰδίων πόλεων »ἀναχωρήσαντι εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν«. καὶ πρότε-
15 ρον μὲν ἀξιούμενος ὑπὸ τῶν μαθητῶν ἀπολῦσαι »τοὺς ὄχλους«, οὐκ ἀπέλυσεν,
ἕως ἔθρεψε τοῖς ἄρτοις τῆς εὐλογίας· νῦν δὲ ἀπολύει, τῶν μαθητῶν πρότερον
ἀναγκασθέντων ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ ἀπολύει αὐτοὺς κάτω που
τυγχάνοντας (κάτω γὰρ ἡ ἔρημος)· αὐτὸς δὲ ἀνέβη εἰς τὸ ὄρος προσεύ-
ξασθαι. καὶ τοῦτο δὲ παρατηρητέον, ὅτι εὐθέως μετὰ τὸ τραφῆναι τοὺς
20 πεντακισχιλίους ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ
πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν. πλὴν οὐ δεδύνηνται οἱ
μαθηταὶ προάγειν τὸν Ἰησοῦν εἰς τὸ πέραν, ἀλλὰ μέχρι τοῦ μέσου
τῆς θαλάσσης φθάσαντες, βασανιζομένου τοῦ πλοίου τῷ τὸν ἄνεμον
αὐτοῖς εἶναι ἐναντίον, ἐφοβήθησαν, »περὶ τετάρτην φυλακὴν« τῆς νυκτὸς
25 ἐλθόντος πρὸς αὐτοὺς τοῦ Ἰησοῦ. καὶ εἰ μὴ ἀναβεβήκει εἰς τὸ πλοῖον
ὁ Ἰησοῦς, οὔτ᾽ ἂν ὁ τοῖς πλέουσι μαθηταῖς ἐναντιούμενος ἐπαύσατο ἄνεμος
οὔτ᾽ ἂν »διαπεράσαντες ἦλθον« εἰς τὸ πέραν οἱ πλέοντες. καὶ τάχα βουλό-
μενος τῇ πείρᾳ αὐτοὺς διδάξαι, ὅτι οὐχ οἷόν τέ ἐστι χωρὶς αὐτοῦ ἀπελθεῖν
εἰς τὸ πέραν, ἠνάγκασε μὲν ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προά-
30 γειν αὐτὸν εἰς τὸ πέραν· μὴ δυνηθεῖσι δ᾽ αὐτοῖς πλέον τοῦ μέσου
τῆς θαλάσσης διελθεῖν ἐπιφανεὶς καὶ ποιήσας τὰ γεγραμμένα, ἔδειξεν
ὅτι ὁ εἰς τὸ πέραν γιγνόμενος Ἰησοῦ αὐτῷ συμπλέοντος φθάνει ἐκεῖ.
τί δὲ τὸ πλοῖον, εἰς ὃ ἠνάγκασεν ἐμβῆναι τοὺς μαθητὰς ὁ Ἰη-
σοῦς, ἢ τάχα ὁ τῶν πειρασμῶν καὶ περιστάσεων ἀγών, εἰς ὃν ἀναγκαζόμενός

3 Vgl. Wutz, Onom. sacra 742 — 5ff Vgl. II. Kor. 4, 18 — **11f** Vgl. Matth. 14, 19 — **12f** Vgl. Matth. 14, 13 — **15** Vgl. Matth. 14, 15 — **24** Vgl. Marc. 6, 48 — **27** Vgl. Matth. 14, 34

4 ⟨τὸ⟩ Koe 5 πρόσκερα H[a] 10 τε < H 11 ⟨τινα⟩ Diehl
28 οὐχ ο μὴ MH

τις ὑπὸ τοῦ λόγου καὶ οἱονεὶ οὐχ ἑκὼν ἔρχεται, βουλομένου τοῦ σωτῆρος γυμνάσασθαι τοὺς μαθητὰς ἐν τῷ βασανιζομένῳ τούτῳ πλοίῳ ὑπὸ τῶν κυμάτων καὶ τοῦ ἐναντίου ἀνέμου;

5 Ἐπειδὴ δὲ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ὀλίγον ⟨δ'⟩ ἐναλλάξας τὴν λέξιν ἀνέγραψε καὶ ὁ Μᾶρκος (ποιήσας· »καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν εἰς Βηθσαϊδᾶ«), ἀναγκαῖον ἐπιστῆσαι τῷ ἠνάγκασεν, ἐπὰν πρότερον ἴδωμεν τὰ τῆς ὀλίγης παραλλαγῆς τοῦ Μάρκου, | ὡρισμένον πλεῖον ἐμφαίνοντος 483
10 διὰ τῆς τοῦ ἄρθρου προσθήκης· οὐ γὰρ ταὐτὸν ἐμφαίνεται ἀπὸ τοῦ εὐθέως ἠνάγκασε τοὺς μαθητάς, ἔχει δέ τι πλεῖον τὸ »τοὺς μαθητὰς αὐτοῦ« παρὰ τῷ Μάρκῳ γεγραμμένον παρὰ τὸ ἁπλῶς τοὺς μαθητάς. τάχα οὖν ἵνα καὶ τῇ λέξει παραστῶμεν, οἱ μὲν μαθηταὶ δυσαποσπάστως ἔχοντες τοῦ Ἰησοῦ οὐδὲ κατὰ τὸ τυχὸν αὐτοῦ χωρίζεσθαι δύνανται, βουλό-
15 μενοι παρεῖναι αὐτῷ· ὁ δὲ κρίνας αὐτοὺς πεῖραν λαβεῖν κυμάτων καὶ ἐναντίου ἀνέμου, οὐκ ἂν γενομένου εἰ ἦσαν μετὰ τοῦ Ἰησοῦ, ἀνάγκην αὐτοῖς ἐπήρτησε χωρισθεῖσιν αὐτοῦ ἐμβῆναι εἰς πλοῖον. ἀναγκάζει μὲν οὖν τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον τῶν πειρασμῶν ὁ σωτὴρ καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν καὶ ἐπέκεινα τῶν περιστάσεων
20 διὰ τὸ νικᾶν αὐτὰς γενέσθαι. οἱ δὲ εἰς τὸ μέσον τῆς θαλάσσης καὶ τῶν ἐν πειρασμοῖς γενόμενοι κυμάτων, καὶ τῶν ἐναντίων ἀνέμων κωλυόντων αὐτοὺς ἀπελθεῖν εἰς τὸ πέραν, παλαίοντες οὐ δεδύνηνται χωρὶς τοῦ Ἰησοῦ νικῆσαι τὰ κύματα καὶ τὸν ἐναντίον ἄνεμον καὶ φθάσαι εἰς τὸ πέραν. διόπερ ἐλεήσας αὐτοὺς ὁ λόγος πάντα τὰ παρ' ἑαυτοῖς πράξαντας,
25 ἵνα εἰς τὸ πέραν γένωνται, ἦλθε πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τὴν θάλασσαν, αὐτῷ μὴ ἔχουσαν κύματα οὐδὲ ἄνεμον ἐναντιοῦσθαι δυνάμενον, εἰ καὶ ἐβούλετο. καὶ γὰρ οὐ γέγραπται ἦλθε πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τὰ κύματα, ἀλλ' ἐπὶ τὰ ὕδατα. ὁ δὲ Πέτρος εἶπε· κέλευσόν με ἐλθεῖν πρός σε, οὐκ ἐπὶ τὰ κύματα, ἀλλ' ἐπὶ τὰ ὕδατα· ὅστις κατὰ τὰς ἀρχὰς
30 (εἰπόντος αὐτῷ τοῦ Ἰησοῦ ἐλθέ) καταβὰς ἀπὸ τοῦ πλοίου περιεπάτησεν, οὐκ ἐπὶ τὰ κύματα, ἀλλ' ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν

6. 11 Marc. 6, 45 — **10** Zu ἄρθρον: Hautsch TU. 34, 2ª, 46 — **13 ff** Vgl. Hier. in Matth. 106 C: *ostenditur invitos eos a domino recessisse, dum amore praeceptoris ne punctum quidem temporis ab eo volunt separari* — **20** Vgl. Marc. 6, 47

3 καὶ < H **4** μαθητὰς + αὐτοῦ M **5—7** ὀλίγον—πέραν < M **5** ⟨δ'⟩ Kl **9** πλεῖον] πλοῖον M **20** αὐτὰς Koe αὐτοὺς M H **22** παλαίοντες] l. παλαίοντας, ? Kl, παλαίοντες ⟨κύμασι καὶ ἀνέμῳ⟩ ? Koe **24** ἑαυτοῖς Kl ἑαυτοὺς M H **28—29** ὁ δὲ—ὕδατα < H

Ἰησοῦν, ἐπεὶ δὲ ἐδίστασεν, εἶδεν ἰσχυρὸν τὸν ἄνεμον, οὐκ ὄντα ἰσχυρὸν τῷ ἀποθεμένῳ τὴν ὀλιγοπιστίαν καὶ τὸν δισταγμόν. καὶ ἀναβάντος τοῦ Ἰησοῦ μετὰ Πέτρου εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος, μηδὲν ἔτι δυνάμενος ἐνεργεῖν εἰς αὐτὸ ἀναβάντος τοῦ Ἰησοῦ.

5 6. Καὶ τότε οἱ μαθηταὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ, ἧς τὴν ἑρμηνείαν εἰ ἔγνω|μεν, καὶ ἀπ᾽ αὐτῆς ὠνάμεθα ἄν 484 τι πρὸς τὴν τῶν προκειμένων διήγησιν. παρατήρει δὲ (ἐπεὶ »πιστὸς ὁ θεός«, οὐκ ἐῶν πειρασθῆναι τοὺς ὄχλους ὑπὲρ ὃ δύνανται), τίνα τρόπον ὁ υἱὸς τοῦ θεοῦ τοὺς μὲν μαθητὰς ἠνάγκασεν ἐμβῆναι εἰς τὸ πλοῖον, 10 ὡς ἰσχυροτέρους καὶ δυναμένους ἐπὶ τὸ μέσον τῆς θαλάσσης φθάσαι καὶ ὑπομεῖναι τὴν ἀπὸ τῶν κυμάτων βάσανον (ἕως ἄξιοι τῆς θείας βοηθείας γένωνται καὶ ἴδωσι τὸν Ἰησοῦν καὶ ἀκούσωσιν ⟨λαλοῦντος αὐτοῦ καὶ δυνηθῶσιν⟩ ἀναβάντος αὐτοῦ διαπεράσαι καὶ ἐλθεῖν εἰς τὴν γῆν Γεννησαρέτ). τοὺς δὲ ὄχλους ἀπολύσας, οὐ λαβόντας πεῖραν ὡς ἀσθενεστέρους 15 πλοίου καὶ κυμάτων καὶ ἐναντιουμένου ἀνέμου, ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. περὶ τίνος δὲ προσεύξασθαι, ἢ τάχα περὶ μὲν τῶν ὄχλων, ἵνα ἀπολυθέντες μετὰ τοὺς τῆς εὐλογίας ἄρτους μηδὲν ἐναντίον τῇ ἀπὸ τοῦ Ἰησοῦ ἀπολύσει πράξωσι, περὶ δὲ τῶν μαθητῶν, ἵνα ἀναγκασθέντες ὑπ᾽ αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐ- 20 τὸν εἰς τὸ πέραν μηδὲν πάθωσιν ἐν τῇ θαλάσσῃ, μήθ᾽ ὑπὸ τῶν βασανιζόντων τὸ πλοῖον αὐτῶν κυμάτων μήθ᾽ ὑπὸ τοῦ ἐναντίου ἀνέμου; καὶ θαρρήσας εἴποιμι ἂν ὅτι διὰ τὴν τοῦ Ἰησοῦ πρὸς τὸν πατέρα περὶ τῶν μαθητῶν εὐχὴν οὐδὲν πεπόνθασιν οὗτοι, θαλάσσης καὶ κυμάτων καὶ ἐναντίου ἀνέμου αὐτοῖς ἀντιπρασσόντων.

25 Ὁ μὲν οὖν ἁπλούστερος ἀρκείσθω τῇ ἱστορίᾳ· ἡμεῖς δέ, εἴ ποτε ἀνάγκαις πειρασμῶν περιπίπτομεν, ἀναμιμνησκώμεθα ὅτι ἠνάγκασεν ἡμᾶς ὁ Ἰησοῦς ἐμβῆναι εἰς τὸ πλοῖον, αὐτὸν βουλόμενος ἡμᾶς προάγειν εἰς τὸ πέραν. οὐ γὰρ δυνατὸν μὴ πειρασμοὺς ὑπομείναντας κυμάτων καὶ ἀνέμου ἐναντίου εἰς τὸ πέραν φθάσαι. εἶτ᾽ ἐπειδὰν ἴδωμεν 30 πολλὰ τὰ περιεστηκότα ἡμᾶς πράγματα καὶ χαλεπὰ καὶ κάμνοντες μετρίως

6ff Die von Hieronymus wiederholte Wendung scheint doch zu bedeuten, daß in Origenes' Exemplar der *ἑρμηνεία* das Wort *Γεννησαρέτ* fehlte (vgl. z. B. Wutz, Onom. sacra 182 *ΚΗΠΟΣ ΑΡΧΟΝΤΩΝ*), aber wohl nicht, daß zu Origenes' Zeit „das neutestamentliche Onomastikon noch gar nicht vorhanden war" (so Wutz a. O. XX, A. 1) — Vgl. Hier. in Matth. 109 A: *si sciremus* (!), *quid in nostra lingua resonaret Gennesareth* etc. — **7** Vgl. I. Kor. 10, 13 — **10** Vgl. Marc. 6, 47 — **16—22** Vgl. Cc Nr. 49 Or. ? — **25f** Vgl. Jac. 1, 2

8 *ὃ* M Hc i. m. *ὧν* Ha **12** ⟨*λαλοῦντος—δυνηθῶσιν*⟩ Kl **20f** *μήθ᾽ —κυμάτων* < H | *μήθ᾽* Kl Koe *μηδ᾽* M (H) **26** *ἀνάγκαι* H **27** *αὐτὸν* Mc *αὐτῶν* Ma H

αὐτὰ ἐπὶ ποσὸν διανηξώμεθα, λογιζώμεθα ὅτι τὸ πλοῖον ἡμῶν μέσον ἐστὶ τῆς θαλάσσης τότε, βασανιζόμενον ὑπὸ τῶν κυμάτων βουλομένων ἡμᾶς ναυαγῆσαι »περὶ τὴν πίστιν« | ἤ τινα τῶν ἀρετῶν. ἀλλ᾽ ἐπὰν 485 τὸ πνεῦμα τοῦ πονηροῦ βλέπωμεν ἀντιπρᾶττον ἡμῶν τοῖς πράγμασιν, ἐννοή-
5 σωμεν ὅτι τότε ἡμῖν ἐναντίος ἐστὶν ὁ ἄνεμος. ἐπὰν οὖν ταῦτα πάσχοντες τρεῖς φυλακὰς τῆς νυκτὸς τοῦ ἐν τοῖς πειρασμοῖς σκότους διανύσωμεν, κατὰ τὸ δυνατὸν ἀγωνιζόμενοι καλῶς καὶ τηροῦντες ἑαυτοὺς πρὸς τὸ μὴ ναυαγῆσαι »περὶ τὴν πίστιν« ἤ τινα τῶν ἀρετῶν, πρώτην φυλακὴν τὸν πατέρα τοῦ σκότους καὶ τῆς κακίας, καὶ δευτέραν τὸν υἱὸν αὐτοῦ τὸν ἀντικείμενον καὶ
10 ἐπαιρόμενον »ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα«, καὶ τρίτην τὸ ἐναντίον τῷ ἁγίῳ πνεύματι πνεῦμα, τότε πιστεύωμεν ὅτι τετάρτης ἐνεστηκυίας φυλακῆς, ὅτε »ἡ νὺξ προέκοψεν ἡ δὲ ἡμέρα ἤγγικεν«, ἐλεύσεται πρὸς ἡμᾶς ὁ υἱὸς τοῦ θεοῦ, ἵν᾽ εὐτρεπίσῃ ἡμῖν τὴν θάλασσαν περιπατῶν ἐπ᾽ αὐτῆς. καὶ ἐπὰν ἴδωμεν τὸν λόγον ἡμῖν ἐμφανιζόμενον, ταραχθησόμεθα
15 μὲν πρὶν τρανῶς καταλαβεῖν ὅτι ὁ σωτὴρ ἡμῖν ἐπιδεδήμηκεν, οἰόμενοι ἔτι φάντασμα θεωρεῖν, καὶ φοβούμενοι κεκραξόμεθα· ἀλλ᾽ αὐτὸς εὐθέως ἡμῖν λαλήσει λέγων· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. καὶ θερμότερον κινούμενος ἀπὸ τοῦ θαρσεῖτε εἴ τις ἐν ἡμῖν εὑρεθείη Πέτρος, ὁδεύων μὲν »ἐπὶ τὴν τελειότητα« οὐδέπω δὲ τοιοῦτος γεγενημένος, κατα-
20 βὰς ἀπὸ τοῦ πλοίου, ὡς ἔξω τοῦ πειρασμοῦ γινόμενος ἐκείνου ἐν ᾧ ἐβασανίζετο, περιπατήσει μὲν κατ᾽ ἀρχὰς βουλόμενος ἐλθεῖν πρὸς τὸν Ἰησοῦν ἐπὶ τὰ ὕδατα, ὡς ἔτι δὲ ὀλιγόπιστος καὶ ὡς ἔτι διστάζων ὄψεται ἰσχυρὸν τὸν ἄνεμον καὶ φοβηθήσεται καὶ ἄρξεται μὲν καταποντίζεσθαι, οὐ πείσεται δὲ τοῦτο διὰ τὸ τὸν Ἰησοῦν μεγάλῃ καλεῖν φωνῇ
25 καὶ λέγειν αὐτῷ· κύριε, σῶσόν με. εἶτ᾽ εὐθέως »ἔτι λαλοῦντος« τοῦ τοιούτου Πέτρου καὶ λέγοντος· κύριε, σῶσόν με, ἐκτενεῖ τὴν χεῖρα ὁ λόγος, ὀρέγων τῷ τοιούτῳ βοήθειαν, καὶ | ἐπιλήψεται αὐτοῦ ἀρξαμένου 486 καταποντίζεσθαι καὶ ὀνειδίσει αὐτῷ ἐπὶ τῇ ὀλιγοπιστίᾳ καὶ τῷ δισταγμῷ. πλὴν τήρει ὅτι οὐκ εἶπεν· ἄπιστε, ἀλλά· ὀλιγόπιστε, καὶ ὅτι λέλεκται·
30 εἰς τί ἐδίστασας, ἔχων μέν τι τῆς πίστεως, κλίνων δὲ καὶ πρὸς τὸ ἐναντίον αὐτῇ; 7. καὶ ἐπὶ τούτοις γε καὶ ὁ Ἰησοῦς καὶ ὁ Πέτρος ἀναβήσονται

1 Vgl. Orig. Exh. 14 (I, 14, 8) zu διανήχεσθαι — 3. 8 Vgl. I. Tim. 1, 19 — 9f Vgl. II. Thess. 2, 3f — 12 Röm. 13, 12 — 19 Vgl. Hebr. 6, 1 — 25 Vgl. Jes. 58, 9

4 βλέπωμεν v βλέπομεν M H 4/5 ἐννοήσομεν Koe 5 ἐναντίως H[a] 11 πιστεύωμεν Kl Koe, vgl. Z. 1. 4 πιστεύομεν M H 20 τῶν πειρασμῶν M[a] | ἐκείνου < M 30 ἐδίστασας] + ⟨ἦν γὰρ⟩ Koe | κλίνον H 31 ἀναβήσονται Koe, vgl. Matth. 14, 32 ἀναβήσεται M H

εἰς τὸ πλοῖον καὶ κοπάσει ὁ ἄνεμος καὶ οἱ ἐν τῷ πλοίῳ ἐννοήσαντες ἀφ' οἵων διεσώθησαν κινδύνων, προσκυνήσουσι λέγοντες, οὐχ ἁπλῶς· θεοῦ υἱὸς εἶ (ὡς καὶ οἱ δύο δαιμονιζόμενοι) ἀλλ'· ἀληθῶς θεοῦ υἱὸς εἶ· ὅπερ λέγουσιν οἱ ἐν τῷ πλοίῳ μαθηταί, οὐ γὰρ ἄλλους τῶν μαθητῶν 5 νομίζω τοῦτο εἰρηκέναι.

Ἐπὰν δὲ ἐν τούτοις ὅλοις γενώμεθα διαπεράσαντες, ἐλευσόμεθα εἰς τὴν γῆν, ἔνθα προάγειν ἡμῖν ἐκέλευσεν ὁ Ἰησοῦς. τάχα δὲ καὶ δηλοῦταί τι ἀπόρρητον καὶ κεκρυμμένον μυστήριον περί τινων σεσωσμένων ὑπὸ τοῦ Ἰησοῦ ἀπὸ τοῦ καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου 10 ἐκείνου, δῆλον δ' ὅτι τοῦ ἐν τῷ πέραν, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, περίχωρον τοῦ πέραν (οὐκ ἐν αὐτῷ ⟨τῷ⟩ πέραν, ἀλλὰ περὶ αὐτό), καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας. ἐν τούτῳ δὲ τήρει ὅτι προσήνεγκαν αὐτῷ οὐ πολλοὺς κακῶς ἔχοντας μόνον, ἀλλὰ πάντας τοὺς ἐν τῇ περιχώρῳ ἐκείνῃ. οἱ δὲ προσε-15 νεχθέντες αὐτῷ κακῶς ἔχοντες παρεκάλουν αὐτὸν ἵνα κἂν μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, χάριν ἀπ' αὐτοῦ αἰτοῦντες ταύτην, ἐπεὶ μὴ ἦσαν ὁποία ἡ »αἱμορροοῦσα γυνὴ τὰ δώδεκα ἔτη« καὶ »προσελθοῦσα ὄπισθεν« καὶ ἁψαμένη »τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ«, ὅτι »ἔλεγεν ἐν ἑαυτῇ· εἰ μόνον ἅψομαι τοῦ ἱματίου αὐτοῦ, σωθή-20 σομαι« — τήρει γὰρ ⟨τὸ σύμφωνον⟩ ἐν τοῖς περὶ τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ — διὸ »παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς«. οἱ δὲ ἀπὸ τῆς περιχώρου τῆς γῆς Γεννησαρέτ, εἰς ἣν διαπεράσαντες ἦλθον ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ, οὐκ ἀφ' ἑαυτῶν προσῆλθον τῷ Ἰησοῦ ἀλλὰ προσήχθησαν ὑπὸ τῶν ἀποστειλάντων, ἅτε μὴ δυνάμενοι διὰ τὸ σφόδρα 25 κακῶς ἔχειν προσελθεῖν ἀφ' ἑαυτῶν, καὶ οὐδὲ μόνοι ἥψαντο τοῦ κρασπέδου, ὡς ἡ αἱμορροοῦσα, ἀλλὰ παρακαλεσάντων ἐκείνων. πλὴν καὶ τούτων ὅσοι ἥψαντο διεσώθησαν. εἰ δὲ ἔστι τις διαφορὰ τοῦ διεσώθησαν ἐπὶ τούτων εἰρημένου πρὸς τὸ σωθῆναι ⟨ἐκείνην⟩ (εἴρηται γὰρ πρὸς τὴν αἱμορροοῦσαν· »ἡ πίστις σου σέσωκέ σε«), καὶ αὐτὸς ἐπιστήσεις. | 487

30 8. Τότε προσέρχονται αὐτῷ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς λέγοντες· διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας ὅταν ἄρτον ἐσθίωσιν (15, 1. 2 [—9]).

3 Vgl. Matth. 8, 28 — 17 ff Matth. 9, 20 f — 21 Luc. 8, 44 — 29 Matth. 9, 22

8 σεσωσμένων H[c. r.] ἐσομένων M H[a] | ὑπὸ] ἀπὸ M[a] 11 ⟨τῷ⟩ Kl 19 ὅτι Kl ὅτε M H 20 ⟨τὸ σύμφωνον⟩ Elt 22 τῆς Diehl τοῦ M H 25 μόνον M 27 ὅση H 28 εἰρημένου Hu εἰρημένη M H | ⟨ἐκείνην⟩ Elt 33 ἐσθίωσι M

Ὁ παρατηρήσας κατὰ ποῖον καιρὸν προσῆλθον τῷ Ἰησοῦ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς λέγοντες· διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων καὶ τὰ ἑξῆς, εἴσεται ὅτι ἀναγκαίως ὁ Ματθαῖος οὐχ ἁπλῶς ἀνέγραψε προσ-5 εληλυθέναι τοὺς ἀπὸ Ἱεροσολύμων Φαρισαίους καὶ γραμματεῖς τῷ σωτῆρι πυνθανομένους αὐτοῦ τὰ ἐκκείμενα, ἀλλὰ πεποίηκε· τότε προσέρχονται αὐτῷ ἀπὸ Ἱεροσολύμων. πότε οὖν τότε, κατανοητέον. ἡνίκα »διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γενησαρὲτ« τῷ πλοίῳ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ, κοπάσαντος τοῦ ἀνέμου ἀφ' οὗ ἐπιβέβηκεν ὁ Ἰησοῦς 10 τῷ πλοίῳ, καὶ ὅτ' »ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, καὶ παρεκάλουν ἵνα κἂν μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν«, τηνικάδε προσῆλθον αὐτῷ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς, μὴ καταπλαγέντες τὴν 15 ἐν τῷ Ἰησοῦ δύναμιν ἰασαμένην τοὺς κἂν »μόνον τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ« ἁψαμένους, φιλαιτίως δὲ ἐγκαλοῦντες ἐπὶ τοῦ διδασκάλου, οὐ περὶ παραβάσεως ἐντολῆς θεοῦ ἀλλὰ παραδόσεως μιᾶς Ἰουδαϊκῶν πρεσβυτέρων. καὶ εἰκὸς ὅτι αὐτὸ τὸ τῶν φιλαιτίων ἔγκλημα παρίστησι τὴν τῶν μαθητῶν Ἰησοῦ εὐλάβειαν, μηδεμίαν ἀφορμὴν διδόντων ἐπιλήψεως ὡς 20 περὶ παραβάσεως ἐντολῶν θεοῦ τοῖς Φαρισαίοις καὶ γραμματεῦσιν, οἵτινες οὐκ ἂν προσήνεγκαν τὸ περὶ παραβάσεως τοῖς μαθηταῖς Ἰησοῦ ἔγκλημα ὡς παραβαίνουσι τὴν ἐντολὴν τῶν πρεσβυτέρων, εἴπερ εἶχον ἐπιλαμβάνεσθαι τῶν ἐγκαλουμένων καὶ ἀποδεικνύναι αὐτοὺς παραβαίνοντας ἐντολὴν θεοῦ.

25 *Μὴ νομίσῃς δὲ ταῦτα κατασκευαστικὰ εἶναι τοῦ δεῖν τηρεῖσθαι τὸν κατὰ τὸ γράμμα Μωσέως νόμον, ἐπεὶ οἱ τοῦ Ἰησοῦ μαθηταὶ ἕως τότε αὐτὸν ἐφύλαττον· οὐ γὰρ πρὸ τοῦ παθεῖν »ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου« ὁ ἐν τῷ παθεῖν ὑπὲρ ἀνθρώπων »γενόμενος ὑπὲρ ἡμῶν κατάρα«. ἀλλ' ὡσπερεὶ καθηκόντως καὶ Παῦλος »τοῖς Ἰουδαίοις Ἰουδαῖος« ἐγένετο, 30 »ἵνα Ἰουδαίους κερ|δήσῃ«, τί ἄτοπον τοὺς ἀποστόλους ἐν Ἰουδαίοις ποιουμένους τὰς διατριβάς, κἂν τὰ πνευματικὰ νοῶσι τοῦ νόμου, χρῆσθαι τῇ συμπεριφορᾷ, ὡς καὶ Παῦλος Τιμόθεον περιτεμὼν καὶ θυσίαν κατά τινα νομικὴν εὐχὴν προσαγαγών, ὡς ἐν ταῖς τῶν ἀποστόλων γέγραπται Πράξεσι;* 488

8 Matth. 14, 34 — 9 Vgl. Matth. 14, 32 — 10 Matth. 14, 35f — 15 Vgl. Matth. 14, 36 — 27 Gal. 3, 13 — 29 I. Kor. 9, 20 — 32 Vgl. Act. 16, 3 — Vgl. Act. 18, 18; 21, 23ff

1 *Ὁ* < H 6 *ἀπέρχονται* H 14 *τὴν ἐν τῷ*] *μὲν τὴν* M 16 *ἐγκαλοῦντες* + ⟨*τοῖς μαθηταῖς*⟩ Lo (vgl. Hu) 21 *τὸ περὶ* s. l. H[c]

πλὴν πάνυ φαίνονται φιλεγκλήμονες οἱ περὶ μὲν ἐντολῆς θεοῦ μηδὲν ἔχοντες ἐγκαλεῖν τοῖς Ἰησοῦ μαθηταῖς, μόνον δὲ περὶ πρεσβυτέρων παραδόσεως μιᾶς. καὶ μάλιστα ἐμφαίνεται οὕτως τὸ φιλέγκλημον, ὅτι παρ' αὐτοῖς τοῖς ἰαθεῖσιν ἀπὸ τοῦ κακῶς ἔχειν προσάγουσι τὸ ἔγκλημα, τῷ μὲν δοκεῖν κατὰ
5 τῶν μαθητῶν τὸ δ' ἀληθὲς τὸν διδάσκαλον διαβάλλειν προαιρούμενοι· ὅ⟨τι⟩ καὶ παράδοσις ἦν τῶν πρεσβυτέρων τὸ νίπτεσθαι ὡς ἀναγκαῖον πρὸς εὐσέβειαν. ᾤοντο γὰρ κοινὰς μὲν καὶ ἀκαθάρτους εἶναι χεῖρας τὰς τῶν μὴ νιψαμένων πρὸ τοῦ ἀρτοφαγεῖν, καθαρὰς δὲ καὶ ἁγίας γεγονέναι τὰς τῶν ἀποπλυνομένων ὕδατι, οὐ συμβολικῶς, ⟨ἀλλ'⟩ ἀνάλογον τῷ κατὰ τὸ γράμμα
10 Μωσέως νόμῳ. ἡμεῖς δὲ οὐ κατὰ τὴν τῶν παρ' ἐκείνοις πρεσβυτέρων παράδοσιν, ἀλλὰ κατὰ τὸ εὔλογον καθαίρειν πειρώμεθα ἑαυτῶν τὰς πράξεις καὶ οὕτως τὰς τῶν ψυχῶν νίπτεσθαι χεῖρας, ὅταν μέλλωμεν ἐσθίειν οὓς αἰτοῦμεν ἀπὸ τοῦ φίλου ἡμῖν θέλοντος εἶναι Ἰησοῦ »τρεῖς ἄρτους«· »κοιναῖς« γὰρ καὶ »ἀνίπτοις« καὶ οὐ καθαραῖς χερσὶν οὐ χρὴ τῶν ἄρτων
15 μεταλαμβάνειν.

9. Ὁ δὲ Ἰησοῦς οὐκ ἐγκαλεῖ περὶ παραδόσεως αὐτοῖς πρεσβυτέρων Ἰουδαίων, ἀλλὰ περὶ τῶν ἐντολῶν θεοῦ ἀναγκαιοτάτων δύο, ὧν ἡ μὲν ἑτέρα πέμπτη ἦν τῆς δεκαλόγου οὕτως ἔχουσα· »τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵν' εὖ σοι γένηται, καὶ γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς
20 ἧς κύριος ὁ θεός σου δίδωσί σοι«, ἡ δὲ λοιπὴ ἐν τῷ Λευϊτικῷ τοῦτον ἐγέγραπτο τὸν τρόπον· »ἐὰν ἄνθρωπος κακῶς εἴπῃ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω· πατέρα αὐτοῦ ἢ μητέρα κακῶς εἶπεν, ἔνοχος ἔσται«. ἀλλ' ἐπεὶ αὐτὴν θέλομεν ἰδεῖν τὴν λέξιν, ἣν ἐξέθετο ὁ Ματθαῖος, ὅτι ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω, ἐπίστησον
25 μήποτε ἐλήφθη ἀπὸ τοῦ τόπου ἔνθα γέγραπται· »ὃς τύπτει πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω« καὶ »ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω«. οὕτως μὲν οὖν εἶχον αἱ ἀπὸ τοῦ νόμου λέξεις περὶ τῶν δύο | ἐντολῶν. ὁ δὲ Ματθαῖος ἐκ μέρους καὶ ἐπιτετμημένως αὐτὰς ἐξέθετο καὶ οὐκ αὐταῖς λέξεσι. 489

30 Τί δὲ ἐγκαλεῖ τοῖς ἀπὸ Ἱεροσολύμων Φαρισαίοις καὶ γραμματεῦσιν ὁ σωτήρ, λέγων αὐτοὺς παραβαίνειν τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν ἑαυτῶν παράδοσιν, κατανοητέον. καὶ ὁ μὲν θεὸς εἶπε· »τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου«, διδάσκων τὴν δέουσαν τιμὴν ἀπονέμειν γονεῦσι

9 Vgl. Röm. 2, 27? — **10ff** Vgl. Hier. in Matth. 110 A: *»manus«, id est opera, non corporis sed animae lavandae sunt, ut fiat in illis verbum dei* — **13f** Vgl. Luc. 11, 5 — **14f** Vgl. Marc. 7, 2 — **18** Ex. 20, 12 — **21** Lev. 20, 9 — **25** Ex. 21, 15f — **32** Ex. 20, 12

1 πάνυ] πάλιν H **5** ὅ⟨τι⟩ Koe **6** παράδωσις H[a], corr. H[c] **9** ⟨ἀλλ'⟩ Elt **10** πρεσβυτέρων παρ' ἐκείνοις M **33** γονεῦσιν M

τὸν ἐξ αὐτῶν γεννώμενον. ταύτης τῆς πρὸς τοὺς γονεῖς τιμῆς μέρος ἦν καὶ τὸ κοινωνεῖν αὐτοῖς τῶν βιωτικῶν χρειῶν εἰς διατροφὰς καὶ σκεπάσματα, καὶ εἴ τι ἄλλο οἷός τε ἦν χαρίζεσθαί ⟨τις⟩ τοῖς ἑαυτοῦ γονεῦσιν. οἱ δὲ Φαρισαῖοι καὶ οἱ γραμματεῖς τοιαύτην ἐναντιουμένην τῷ νόμῳ παράδοσιν
5 ἐκδεδώκασιν, ἀσαφέστερον ἐν τῷ εὐαγγελίῳ κειμένην, ᾗ οὐδ' αὐτοὶ ἐπιβεβλήκειμεν ἄν, εἰ μὴ τῶν Ἑβραίων τις ἐπιδέδωκεν ἡμῖν τὰ κατὰ τὸν τόπον οὕτως ἔχοντα. ἔσθ' ὅτε, φησίν, οἱ δανεισταὶ δυστραπέλοις περιπίπτοντες χρεώσταις καὶ δυναμένοις μὲν μὴ βουλομένοις δὲ ἀποδιδόναι τὸ χρέος, ἀνετίθεσαν τὸ ὀφειλόμενον εἰς τὸν τῶν πενήτων λόγον, οἷς ἐβάλλετο εἰς
10 τὸ γαζοφυλάκιον ὑπὸ ἑκάστου (ὡς ἐδύνατο) τῶν βουλομένων αὐτοῖς κοινωνεῖν. ἔλεγον οὖν ἔσθ' ὅτε τοῖς ὀφείλουσι κατὰ τὴν οἰκείαν διάλεκτον· κορβᾶν ἐστιν ὃ ὀφείλεις μοι, τουτέστι δῶρον· ἀνέθηκα γὰρ αὐτὸ εἰς λόγον τῆς εἰς θεὸν εὐσεβείας τοῖς πένησιν. εἶτα ὁ χρεώστης, ὡς μηκέτι ἀνθρώποις, ἀλλὰ τῷ θεῷ ὀφείλων καὶ τῇ εἰς αὐτὸν εὐσεβείᾳ, οἱονεὶ συνεκλείετο πρὸς τὸ καὶ
15 μὴ βουλόμενος ἀποδοῦναι τὸ χρέος, οὐκέτι μὲν τῷ δανειστῇ, ἤδη δὲ εἰς τὸν λόγον τῶν πενήτων τῷ θεῷ ἐξ ὀνόματος τοῦ δανειστοῦ. ὅπερ οὖν ὁ δανειστὴς ἐποίει τῷ χρεώστῃ, τοῦτό ποτέ τινες τῶν υἱῶν τοῖς γονεῦσιν, καὶ ἔλεγον αὐτοῖς ὅτι, ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, πάτερ ἢ μῆτερ, τοῦτο ἴσθι ἀπὸ τοῦ κορβᾶν λαμβάνειν, ἐκ τοῦ λόγου τῶν θεῷ ἀνακειμένων πενήτων.
20 εἶτα ἀκούοντες οἱ γονεῖς ὅτι κορβᾶν ἐστιν ἀνακείμενον τῷ θεῷ τὸ διδόμενον αὐτοῖς, οὐκέτι ἐβούλοντο λαμβάνειν, εἰ καὶ πάνυ ἔχρῃζον τῶν ἀναγκαίων, ἀπὸ τῶν υἱέων. οἱ οὖν πρεσβύτεροι τοιαύτην παρά|δοσιν εἰς τοὺς ἀπὸ 490 τοῦ λαοῦ ἔλεγον ὅτι, ὅστις ἂν τῷ πατρὶ ἢ τῇ μητρὶ εἴπῃ τὸ διδόμενόν τινι αὐτῶν κορβᾶν εἶναι καὶ δῶρον, οὗτος οὐκέτι ὀφειλέτης ἐστὶ
25 πρὸς τὸν πατέρα ἢ τὴν μητέρα ἐν δόσει τῶν πρὸς τὰς τοῦ βίου χρείας.

3ff Vgl. C^c Nr. 51 Or.? Hier. in Matth. 111 B: *hanc providentissimam dei legem volentes scribae Pharisaeique subvertere ... docuerunt pessimos filios ... vel certe ipsi parentes, quae deo consecrata cernebant, ne sacrilegii crimen incurrerent declinantes egestate conficiebantur ... haec pessima Pharisaeorum traditio de alia occasione veniebat: multi habentes obligatos aere alieno et nolentes sibi creditum reddere, delegabant sacerdotibus, ut exacta pecunia ministeriis templi et eorum usibus deserviret* — **5ff** Vgl. Harnack TU. 42, 4, 21f, der den Bericht des Hebräers zu Unrecht beanstandet — **12** Vgl. Marc. 7, 11 — **16ff** Vgl. Theophylakt: *ὁ οὖν χρεώστης, ὡς τῷ θεῷ ἐκ τότε ὀφείλων, καὶ ἄκων κατέβαλλε.* — **19ff** Vgl. Psal. 9, 33. 35; Jac. 2, 5

1 *τὸν* M H^c. r. *τῶν* H^a **3** ⟨*τις*⟩ Kl **5** *ἐκδεδόκασιν* H **5/6** *ἐπιβεβλήκειμεν* Kl *ἐπιβεβλήκαμεν* M H **6** l. *ἐπέδωκεν*? Koe **14** *τῷ*] *τὸ* H **15ff** *δανιστῇ* usw. H **24** *καὶ*] l. *ἢ*? Koe | *οὔτως* H^a **25** *τὴν* < H

ταύτην οὖν ἐλέγχει ὡς οὐχ ὑγιῶς ἔχουσαν παράδοσιν ὁ σωτήρ, ἀλλὰ ἐναντιουμένην τῇ ἐντολῇ τοῦ θεοῦ. εἰ γὰρ ὁ μὲν θεὸς λέγει τὸ τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἡ δὲ παράδοσις ἔλεγεν· οὐκ ὀφείλει τιμᾶν τὸν πατέρα ἢ τὴν μητέρα τῇ δόσει ὁ ἀναθεὶς τῷ θεῷ ὡς κορβᾶν τὸ
5 δοθησόμενον ἂν τοῖς γεγεννηκόσι. δῆλον ὅτι ἠκυροῦτο ἡ τοῦ θεοῦ περὶ τιμῆς γονέων ἐντολὴ ὑπὸ τῆς τῶν Φαρισαίων καὶ γραμματέων παραδόσεως. λεγούσης μηκέτι δεῖν τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα τὸν ἅπαξ ἀνατεθεικότα τῷ θεῷ ὃ ἔλαβον ἂν οἱ γεγεννηκότες. καὶ ὡς φιλάργυροί γε οἱ Φαρισαῖοι. ἵνα τῇ προφάσει τῶν πενήτων λαμβάνωσι καὶ τὰ δοθη-
10 σόμενα ἂν τοῖς γονεῦσί τινος, τὰ τοιαῦτα ἐδίδασκον. καὶ μαρτυρεῖ γε αὐτῶν τῇ φιλαργυρίᾳ τὸ εὐαγγέλιον λέγον· »ἤκουον δὲ ταῦτα πάντα οἱ Φαρισαῖοι φιλάργυροι ὄντες, καὶ ἐξεμυκτήριζον αὐτόν«.

Εἴ τις οὖν καὶ τῶν λεγομένων ἐν ἡμῖν πρεσβυτέρων ἢ ὅπως ποτὲ ἀρχόντων τοῦ λαοῦ μᾶλλον τῷ ὀνόματι τοῦ κοινοῦ βούλεται διδόναι τοῖς
15 πένησιν ἤπερ τοῖς οἰκείοις τῶν διδόντων, εἰ τύχοιεν τῶν ἀναγκαίων χρῄζοντες καὶ μὴ δύναιντο οἱ διδόντες ἀμφότερα ποιεῖν, ἀδελφὸς ἂν οὗτος ἐνδίκως λέγοιτο τῶν ἀκυρωσάντων τὸν λόγον τοῦ θεοῦ διὰ τὴν παράδοσιν ἑαυτῶν Φαρισαίων καὶ ἐλεγχθέντων ὑπὸ τοῦ σωτῆρος ὑποκριτῶν. καὶ σφόδρα γε ἀποτρεπτικά ἐστιν ἐκ τοῦ λόγου τῶν πενήτων λαμβάνειν τινὰ
20 προθύμως καὶ νομίζειν »πορισμὸν εἶναι τὴν ἑτέρων εὐσέβειαν«, οὐ μόνα ⟨δὲ⟩ ταῦτα, ἀλλὰ καὶ τὰ περὶ τοῦ προδότου Ἰούδα γεγραμμένα, ὃς τῷ μὲν δοκεῖν ἐπρέσβευε περὶ τῶν πενήτων καὶ ἀγανακτῶν ἔλεγεν· »ἠδύνατο τοῦτο τὸ μύρον πραθῆναι δηναρίων τριακοσίων, καὶ δοθῆναι πτωχοῖς«, τὸ δ' ἀληθὲς »κλέπτης ἦν καὶ τὸ γλωσσόκομον ἔχων τὰ | βαλλόμενα ἐβάστα- 491
25 ζεν«. εἴ τις οὖν καὶ νῦν τὸ τῆς ἐκκλησίας ἔχων γλωσσόκομον λέγει μὲν (ὡς καὶ ὁ Ἰούδας) ὑπὲρ πενήτων, τὰ δὲ βαλλόμενα βαστάζει, τὴν μερίδα ἑαυτῷ τιθείη μετὰ τοῦ ταῦτα πράξαντος Ἰούδα. δι' ἃ (ὡς γάγγραινα) νομὴν ἐσχηκότα ἐν τῇ ψυχῇ αὐτοῦ ὁ διάβολος ἔβαλεν αὐτοῦ »εἰς τὴν καρδίαν« τὸν σωτῆρα παραδοῦναι, καὶ παραδεξάμενον »τὸ πεπυρωμένον« περὶ τούτου
30 »βέλος« ὕστερον (αὐτὸς εἰσελθὼν εἰς τὴν ψυχὴν αὐτοῦ) ἐπλήρωσεν αὐτόν.

8ff Vgl. Theophylakt: καὶ οὕτως ἐμέριζον αὐτοὶ μετὰ τῶν παιδίων τὰ χρήματα, καὶ οἱ γονεῖς κατελιμπάνοντο ἀγηροκόμητοι. — 11 Luc. 16, 14 — 20 I. Tim. 6, 5 — 22 Marc. 14, 5 — 24 Joh. 12, 6 — 25ff Vgl. Harnack TU. 42, 4, 136 — 28 Vgl. Joh. 13, 2 — 29 Vgl. Eph. 6, 16 — 30 Vgl. Luc. 22. 3; Joh. 13, 27

1 οὐχ ὡς M 1f umzustellen: παράδοσιν ὡς οὐχ ὑγιῶς ἔχουσαν? Koe 8 ἂν < H 11 πάντα] auch V, fehlt jetzt in M infolge Beschneidung des Randes 18 σωτῆρος ⟨ὡς⟩ Koe 21 ⟨δὲ⟩ Koe 22 περὶ] < H τὰ ϱ 23 τριακοσίων δηναρίων M 24 ἔχων + καὶ H 26 ὁ < H 27 ἑαυτοῦ M τιθείη ⟨ἂν⟩ Diehl Koe

καὶ τάχα ἐπὰν λέγῃ ὁ ἀπόστολος· »ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία«, διὰ τὴν Ἰούδα λέγει φιλαργυρίαν, ἥτις ῥίζα πάντων τῶν κακῶν ἐστι τῶν κατὰ τοῦ Ἰησοῦ.

10. Ἀλλὰ γὰρ ἐπανέλθωμεν ἐπὶ τὰ προκείμενα. ἐν οἷς ὁ σωτὴρ δύο 5 ἀπὸ τοῦ νόμου ἐπιτεμόμενος ἐντολὰς ἐξέθετο, τὴν μὲν ἀπὸ τῆς δεκαλόγου ἀπὸ τῆς Ἐξόδου, τὴν δὲ ἀπὸ τοῦ Λευϊτικοῦ ἢ τῶν ἄλλων ἀπό τινος τῶν ἐν τῇ Πεντατεύχῳ. εἶτα ἐπεὶ διηγησάμεθα πῶς ἠκύρωσαν τὸν λόγον τοῦ θεοῦ (φάσκοντα· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου) οἱ λέγοντες· οὐ τιμήσει τὸν πατέρα ἢ τὴν μητέρα αὐτοῦ, ὃς ἂν 10 εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ αὐτοῦ· δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, ζητήσαι τις ἄν, πῶς οὐ παρέλκει τὸ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω. ἔστω γάρ, οὐ τιμᾷ τὸν πατέρα καὶ τὴν μητέρα τῷ καλουμένῳ κορβᾶν ἀνατιθεὶς τὰ δοθησόμενα ἂν εἰς τιμὴν πατρὸς καὶ μητρός, πῶς οὖν ἡ τῶν Φαρισαίων παράδοσις ἀκυροῖ καὶ τὸν 15 λέγοντα· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω; ἀλλὰ μήποτε ὃς ἐὰν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί· δῶρον ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς ὡσπερεὶ λοιδορίαν ἐπιφέρει τῷ πατρὶ ἢ | τῇ μητρί, 492 οἷον ἱεροσύλους λέγων τοὺς γονεῖς λαμβάνοντας τὰ ἀνακείμενα τῷ κορβᾶν ἀπὸ τοῦ ἀνατεθεικότος αὐτὰ αὐτῷ. Ἰουδαῖοι οὖν υἱοὺς ὡς κακολο- 20 γοῦντας πατέρα ἢ μητέρα τοὺς λέγοντας τῷ πατρὶ ἢ τῇ μητρί· δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς κολάζουσι κατὰ τὸν νόμον· ὑμεῖς δὲ τῇ μιᾷ ὑμῶν παραδόσει δύο ἐντολὰς τοῦ θεοῦ ἀκυροῦτε. εἶτα οὐκ αἰδεῖσθε ἐγκαλοῦντες τοῖς ἐμοῖς μαθηταῖς οὐδεμίαν μὲν ἐντολὴν παραβαίνουσι (πορεύονται γὰρ »ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ καὶ δικαιώμασιν 25 ἀμέμπτως«), παραβαίνουσι δὲ πρεσβυτέρων παράδοσιν εὐλαβείᾳ τοῦ μὴ παραβῆναι ἐντολὴν θεοῦ. ὅπερ εἰ καὶ ὑμῖν προέκειτο, τὴν μὲν περὶ τιμῆς πατρὸς καὶ μητρὸς ἐντολὴν ἐφυλάξατε ἂν καὶ τὴν λέγουσαν ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω, τὴν δὲ ἐναντιουμένην ταῖς ἐντολαῖς ταύταις τῶν πρεσβυτέρων παράδοσιν οὐκ ἂν ἐφυλάξατε.

30 11. Μετὰ δὲ ταῦτα ὅλας τὰς παρὰ Ἰουδαίοις τῶν πρεσβυτέρων παραδόσεις ἀπὸ τῶν προφητικῶν βουλόμενος διαβάλλειν λόγων, παρέθετο ῥητὸν ἀπὸ τοῦ Ἡσαΐου, ὅπερ αὐταῖς λέξεσιν οὕτως ἔχει· »καὶ εἶπε κύριος· ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτῶν« καὶ τὰ ἑξῆς. καὶ προείπομεν

1 I. Tim. 6, 10 — 5 Vgl. Ex. 20, 12 — 6 Vgl. Lev. 20, 9 — Vgl. Ex. 21, 16; Deut. 27, 16 — 24 Vgl. Luc. 1, 6 — 32 Jes. 29, 13

1 λέγει H 5 ἀπὸ τῆς str. Koe 6 τῶν ἄλλων Kl τὴν ἄλλην M H 16 ἂν < H 19 υἱοὺς Hu (nach Erasmus) ὑμᾶς M H 27 κακολωγῶν H 29 ταύτες H 30 ταύτας H

γε, ὅτι οὐκ αὐταῖς λέξεσιν ἀνέγραψεν ὁ Ματθαῖος τὸ προφητικόν. εἰ δὲ δεῖ (διὰ τὸ εὐαγγέλιον χρησάμενον αὐτῷ) κατὰ τὸ δυνατὸν αὐτὸ διηγήσασθαι, προσληψόμεθα τὴν ἀνωτέρω λέξιν, χρησίμως (οἶμαι) ἡμῖν τετηρημένην εἰς διήγησιν τῆς ἐν τῷ εὐαγγελίῳ ἀπὸ τοῦ προφήτου εἰλημμένης. ἔχει δὲ οὕτως
5 ἀπ' ἀρχῆς τὸ ἐν τῷ Ἡσαΐᾳ ῥητόν· »ἐκλύθητε καὶ ἔκστητε, κραιπαλήσατε οὐκ ἀπὸ σίκερα οὐδ' ἀπὸ οἴνου· ὅτι πεπότικεν ὑμᾶς κύριος πνεῦμα κατανύξεως. καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ τῶν προφητῶν αὐτῶν καὶ τῶν ἀρχόντων αὐτῶν, οἱ ὁρῶντες τὰ κρυπτά. καὶ ἔσται ὑμῖν τὰ ῥήματα ταῦτα πάντα ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου, ὃ ἐὰν δῶσιν αὐτὸ
10 ἀνθρώπῳ ἐπισταμένῳ γράμματα λέγοντες· ἀνάγνωθι ταῦτα· καὶ ἐρεῖ· οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ. καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα, καὶ ἐρεῖ αὐτῷ· | ἀνάγνωθι 493 τοῦτο· καὶ ἐρεῖ· οὐκ ἐπίσταμαι γράμματα. καὶ εἶπε κύριος· ἐγγίζει μοι ὁ λαὸς οὗτος« καὶ τὰ ἑξῆς ἕως τοῦ »οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες
15 καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν«.

Προσλαβὼν τοίνυν τὴν προκειμένην ἐν τῷ εὐαγγελίῳ λέξιν ἐθέμην τινὰ τῶν πρὸ αὐτῆς καί τινα τῶν ἑξῆς αὐτῆς, ἵνα παραστήσωμεν τίνα τρόπον ἀπειλεῖ καμμύσειν »τοὺς ὀφθαλμοὺς« τῶν ἀπὸ τοῦ λαοῦ ὁ λόγος ἐκστάντων καὶ κραιπαλησάντων καὶ πεποτισμένων »πνεύματι κατανύξεως«, ἀπειλεῖ
20 δὲ καμμύσαι καὶ τοὺς προφήτας αὐτῶν καὶ τοὺς ἐπαγγελλομένους ὁρᾶν »τὰ κρυπτὰ« ἄρχοντας αὐτῶν. ἅπερ (οἶμαι) γεγένηται μετὰ τὴν τοῦ σωτῆρος ἐπιδημίαν ἐν τῷ λαῷ ἐκείνῳ· γέγονε γὰρ αὐτοῖς πάντα τὰ ῥήματα ὅλων μὲν τῶν γραφῶν, καὶ τοῦ Ἡσαΐου δέ, »ὡς λόγοι βιβλίου ἐσφραγισμένου«. τὸ δὲ »ἐσφραγισμένου« εἴρηται οἱονεὶ κεκλεισμένου τῇ ἀσαφείᾳ καὶ μὴ ἠνοιγμένου τῇ
25 σαφηνείᾳ· ὅπερ ἐπίσης τοῖς μηδὲ τὴν ἀρχὴν (διὰ τὸ μὴ εἰδέναι γράμματα) ἀναγνῶναι αὐτὸ δυναμένοις καὶ τοῖς ἐπαγγελλομένοις εἰδέναι γράμματά ἐστιν ἀσαφές, οὐ γινώσκουσι τὸν ἐν τοῖς γεγραμμένοις νοῦν. καλῶς οὖν ἐπιφέρει ⟨τού⟩τοις ὅτι, ἐπὰν ἐκλυθεὶς ἀπὸ τῶν ἁμαρτημάτων ὁ λαὸς καὶ ἐκστὰς μανῇ κατ' αὐτοῦ, οἷς καὶ κραιπαλήσει κατ' αὐτοῦ »πνεύματι κατα-
30 νύξεως«, ὃ ποτισθήσεται ὑπὸ τοῦ κυρίου καμμύοντος αὐτῶν τοὺς ὀφθαλμοὺς (ὡς ἀναξίους τοῦ βλέπειν) καὶ τῶν προφητῶν αὐτῶν καὶ τῶν ἀρχόντων αὐτῶν τῶν ἐπαγγελλομένων βλέπειν τὰ κρυπτὰ τῶν ἐν ταῖς θείαις γραφαῖς μυστηρίων, καὶ ἐπὰν καμμύσωσιν αὐτῶν οἱ ὀφθαλμοί, τότε αὐτοῖς ἔσται τὰ προφητικὰ ῥήματα ἐσφραγισμένα καὶ ἐπικεκρυμμένα· ὅπερ πεπόνθασιν
35 ὁ λαὸς ὁ τῶν μὴ πιστευόντων εἰς τὸν Ἰησοῦν ὡς Χριστόν. ἐπὰν δὲ γέ-

5 Jes. 29, 9—13 — 14 Jes. 29, 15 — 17—52, 5 Vgl. Jes. 29, 9—13 — 24ff Vgl. Orig. tom. V, 7 in Joh. (IV, 104, 8ff) u. ö.

28 ⟨τού⟩τοις Kl | ἀπὸ ρ ὑπὸ M H 30 ποτισθήσεται M H[c] ποτεσθήσεται H[a] 33 ἔσται αὐτοῖς M 34 l. πέπονθε νῦν ? Kl

νηται τὰ προφητικὰ αὐτοῖς «ὡς λόγοι βιβλίου ἐσφραγισμένου«, οὐ μόνον τοῖς μὴ εἰδόσιν ἀλλὰ καὶ τοῖς ἐπαγγελλομένοις εἰδέναι γράμματα, τότε εἶπεν ὁ κύριος μόνῳ »τῷ στόματι« ἐγγίζειν τὸν λαὸν τῶν Ἰουδαίων τῷ θεῷ· καὶ »τοῖς χείλεσι« τιμᾶν αὐτόν φησι, διότι »ἡ καρδία αὐτῶν« διὰ τὴν
5 εἰς τὸν Ἰησοῦν ἀπιστίαν πόρρω ἐστὶν ἀπὸ κυρίου.

Καὶ νῦν μάλιστα; ἐξ οὗ τὸν σωτῆρα ἡμῶν ἠρνήσαντο, λεχθείη ἂν ὑπὸ τοῦ θεοῦ περὶ αὐτῶν τὸ *μάτην δὲ σέβονταί με*· οὐκέτι γὰρ διδάσκουσιν *ἐντάλματα* θεοῦ, ἀλλὰ *ἀνθρώπων καὶ διδασκαλίας* οὐκέτι τὰς ἀπὸ τῆς τοῦ πνεύματος σοφίας, ἀλλὰ τὰς ἀνθρωπίνας. ὅθεν τούτων αὐτοῖς
10 | συμβαινόντων, μετέθηκεν ὁ θεὸς τὸν τῶν Ἰουδαίων λαὸν καὶ ἀπώλεσε 494 »τὴν σοφίαν« αὐτῶν τῶν παρ' αὐτοῖς σοφῶν (οὐκέτι γάρ ἐστι σοφία παρ' αὐτοῖς ὡς οὐδὲ προφητεία), ἀλλὰ καὶ »τὴν σύνεσιν τῶν συνετῶν« τοῦ λαοῦ κατορώρυχέ που καὶ ἔκρυψεν ὁ θεός, καὶ οὐκέτι ἐστὶ λαμπρὰ καὶ ἐπιφανής. διὸ κἂν δοκῶσι βουλήν τινα »βαθέως« ποιεῖν, οὐ διὰ τοῦ κυρίου αὐτὴν ποιοῦντες
15 ταλανίζονται· κἂν κρυπτά τινα ἐπαγγέλλωνται βουλῆς θείας, ψεύδονται, ἐπεὶ τὰ ἔργα αὐτῶν οὐ φωτός ἐστιν ⟨καὶ ἡμέρας⟩, ἀλλὰ σκότους καὶ νυκτός. διὰ βραχέων δὲ ἔδοξεν ἡμῖν ἐκθέσθαι τὴν προφητείαν καὶ τὴν ἐπὶ ποσὸν σαφήνειαν αὐτῆς, ἐπείπερ ἐμνήσθη αὐτῆς ὁ Ματθαῖος. ἐμνήσθη ⟨δὲ⟩ καὶ ὁ Μᾶρκος, ἀφ' οὗ χρησίμως παραστησόμεθα περὶ τῆς παραβάσεως τῶν πρε-
20 σβυτέρων δοξάντων νίπτειν τὰς χεῖρας, ὅταν ἄρτον ἐσθίωσιν οἱ Ἰουδαῖοι, τὰ κατὰ τὸν τόπον οὕτως ἔχοντα· »οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων, καὶ ἀπ' ἀγορᾶς ἐὰν μὴ βαπτίσωνται οὐκ ἐσθίουσι, καὶ ἄλλα τινά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων
25 καὶ ξεστῶν καὶ χαλκείων καὶ κλινῶν«.

12. *Καὶ προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε* καὶ τὰ ἑξῆς (15, 10—20).

Σαφῶς διὰ τούτων ὑπὸ τοῦ σωτῆρος διδασκόμεθα, ἀναγινώσκοντες ἐν τῷ Λευϊτικῷ καὶ ἐν τῷ Δευτερονομίῳ τὰ περὶ καθαρῶν καὶ ἀκαθάρτων
30 βρωμάτων, ἐφ' οἷς ὡς παρανομοῦσιν ἐγκαλοῦσιν ἡμῖν οἱ σωματικοὶ Ἰουδαῖοι καὶ οἱ ὀλίγῳ διαφέροντες αὐτῶν Ἐβιωναῖοι, μὴ νομίζειν τὸν σκοπὸν εἶναι τῇ γραφῇ τὸν πρόχειρον περὶ τούτων νοῦν. εἰ γὰρ *οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον ἐκ*

8f Vgl. I. Kor. 2, 4f. 13 — **9ff** Vgl. Jes. 29, 14. 15 — **16** Vgl. Joh. 3, 19ff — **21** Marc. 7, 3. 4 — **29** Vgl. Lev. 11; Deut. 14 — **30ff** Vgl. Harnack TU. 42, 4, 78

10 τῶν τῶν H[a] **12** οὐδὲ Diehl Koe οὔτε M H **15** ἐπαγγέλονται M ἐπαγγέλωνται H **16** ⟨καὶ ἡμέρας⟩ Diehl **18** ⟨δὲ⟩ καὶ mit ϱ **20** οἱ < H **31** ὀλίγῳ] λόγῳ M **32** τὸν < H

τοῦ στόματος, καὶ μάλιστα ἐπεὶ καὶ ἐν τῷ κατὰ τὸν Μᾶρκον ταῦτα
ἔλεγεν ὁ σωτὴρ »καθαρίζων πάντα τὰ βρώματα«, δῆλον ὅτι οὐ κοινού-
μεθα μὲν ἐσθίοντες ἃ Ἰουδαῖοί φασι (τῷ γράμματι τοῦ νόμου δουλεύειν
ἐθέλοντες) εἶναι ἀκάθαρτα, τότε δὲ κοινούμεθα ὅτε, δέον τὰ χείλη ἡμῶν
5 δεδέσθαι »αἰσθήσει« καὶ ποιεῖν ἡμᾶς οἷς λέγομεν »ζυγὸν καὶ σταθμόν«,
λέγομεν μὲν τὰ παρατυχόντα διαλογιζόμεθα δὲ τὰ μὴ δέοντα, ἀφ' ὧν ἡ
πηγὴ ἡμῖν ἔρχεται τῶν ἁμαρτημάτων. καὶ πρέπον γέ ἐστι θεοῦ νόμῳ ἀπα-
γορεύειν τὰ ἀπὸ κακίας καὶ προστάσσειν τὰ κατ' ἀρετήν, τὰ δὲ τῷ ἰδίῳ
λόγῳ ἀδιάφορα ταῦτα ἐᾶν ἐπὶ χώρας, δυνάμενα διὰ τὴν προαίρεσιν καὶ
10 τὸν ἐν ἡμῖν λόγον ἁμαρτανόμενα μὲν κακῶς πράττεσθαι, κατορθού|μενα 495
δὲ γίγνεσθαι καλῶς. ταῦτα δέ τις ἐπιμελῶς νοήσας, ὄψεται ὅτι καὶ τὰ
νομιζόμενα ἀγαθὰ οἷόν τέ ἐστι κακῶς καὶ ἀπὸ πάθους λαβόντα ἁμαρτάνειν,
καὶ τὰ λεγόμενα ἀκάθαρτα δυνατὸν κατὰ λόγον ἐν χρήσει ἡμῖν γινόμενα
λογίζεσθαι καθαρά. ὥσπερ γὰρ τοῦ ⟨μὲν⟩ ἁμαρτάνοντος Ἰουδαίου ἡ περιτομὴ
15 εἰς ἀκροβυστίαν λογισθήσεται τοῦ δὲ κατορθοῦντος ἀπὸ τῶν ἐθνῶν ἡ
ἀκροβυστία εἰς περιτομήν, οὕτως τὰ μὲν νομιζόμενα καθαρὰ λογισθή-
σεται εἰς ἀκάθαρτα τῷ μὴ δεόντως αὐτοῖς μηδὲ ὅτε δεῖ μηδὲ ὅσον δεῖ
μηδὲ ὅθεν δεῖ χρωμένῳ, τὰ δὲ λεγόμενα ἀκάθαρτα »πάντα« γίνεται »κα-
θαρὰ τοῖς καθαροῖς· τοῖς γὰρ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν,
20 ἐπεὶ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις«· καὶ ταῦτα, μεμιασμένα,
ἅπαντα ποιεῖ μιαρὰ ὧν ἂν ἅψηται, ὡς πάλιν ἐκ τοῦ ἐναντίου ὁ καθαρὸς
νοῦς καὶ ἡ καθαρὰ συνείδησις πάντα ποιεῖ καθαρά, κἂν δοκῇ ἀκάθαρτα
τυγχάνειν· οὐδὲ γὰρ ἀπὸ ἀκολασίας οὐδὲ ἀπὸ φιληδονίας οὐδὲ μετὰ διακρί-
σεως περιελκούσης εἰς ἑκάτερα οἱ δίκαιοι χρῶνται τοῖς βρώμασιν ἢ πόμασι,
25 μεμνημένοι τοῦ »εἴτε ἐσθίετε εἴτε πίνετε εἴτε τι ἄλλο ποιεῖτε, εἰς δόξαν
θεοῦ ποιεῖτε«.

Εἰ δὲ χρὴ ὑπογράψαι τὰ κατὰ τὸ εὐαγγέλιον ἀκάθαρτα βρώματα,
φήσομεν ὅτι τοιαῦτά ἐστι τὰ ἀπὸ πλεονεξίας πεπορισμένα καὶ ἀπὸ αἰσχρο-
κερδείας περιγεγενημένα καὶ ἀπὸ φιληδονίας λαμβανόμενα καὶ ἀπὸ τοῦ
30 θεοποιεῖσθαι τιμωμένην τὴν γαστέρα, ὅταν αὐτὴ καὶ αἱ κατ' αὐτὴν ὀρέξεις
καὶ μὴ ὁ λόγος ἄρχῃ τῆς ψυχῆς ἡμῶν. ἀλλὰ καὶ γινώσκοντες δαιμονίοις
κεχρῆσθαί τινα (ἢ μὴ γινώσκοντες μέν, ὑπονοοῦντες δὲ) καὶ διακρινόμενοι
περὶ τούτου, εἰ χρησαίμεθα τοῖς τοιούτοις, οὐκ »εἰς δόξαν θεοῦ« αὐτοῖς

2 Marc. 7, 19 — 4f Vgl. Prov. 15, 7 — 5 Vgl. Sir. 28, 25 — 14ff Vgl. Röm. 2, 25f — 18 Tit. 1, 15 — 25 I. Kor. 10, 31 — 33 Vgl. I. Kor. 10, 31

1 καὶ ἐν τῷ < H | ἐν τῷ κατὰ s. l. M[c] | τὸν < M 1 2 ἔλεγεν ταῦτα H 12f ἀγαθὰ—λεγόμενα < M 12 ἐστι + ⟨τὸν⟩ ? Koe 13 ἀκάθαρτα] καθαρὰ M 14 ⟨μὲν⟩ Diehl 17 εἰς] ὡς M 22 ἡ < M 23 οὐ γὰρ H 25 ἄλλο τι M

κεχρήμεθα οὐδὲ ἐν ὀνόματι Χριστοῦ, οὐ μόνον τῆς περὶ τοῦ εἰδωλόθυτα εἶναι ὑπολήψεως κατακρινούσης τὸν ἐσθίοντα, ἀλλὰ καὶ τῆς περὶ τούτου διακρίσεως. »ὁ γὰρ διακρινόμενος (κατὰ τὸν ἀπόστολον) ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν«.
5 »ἐκ πίστεως« μὲν οὖν ἐσθίει ὁ πεπιστευκὼς μὴ ἐν εἰδωλείοις τεθύσθαι τὸ ἐσθιόμενον μηδὲ πνικτὸν αὐτὸ εἶναι ἢ αἷμα. οὐκ »ἐκ πίστεως« δὲ ὁ περὶ τούτων τινὸς διακρινόμενος· καὶ κοινωνὸς δὲ »τῶν δαιμονίων« γίνεται ὁ καὶ αὐτὰ εἰδὼς »δαιμονίοις« τεθύσθαι καὶ οὐδὲν ἧττον χρώμενος μετὰ μεμολυσμένης τῆς περὶ τῶν δαιμονίων κοινωνησάντων τῷ θύματι φαντασίας.
10 καὶ ὁ ἀπόστολος μέντοι ἐπιστάμενος μὴ τὴν φύσιν τῶν βρωμάτων αἰτίαν εἶναι βλάβης τῷ χρωμένῳ ἢ ὠφελείας τῷ ἀπεχομένῳ, ἀλλὰ τὰ δόγματα καὶ τὸν ἐνυπάρχοντα λόγον, εἶπε· »βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν περισσευόμεθα, οὔτε ἐὰν μὴ φάγωμεν ὑστε|ρούμεθα«. καὶ ἐπείπερ ἠπίστατο τοὺς μεγαλοφυέστερον νοοῦντας κατὰ τὸν 496
15 νόμον, τίνα τὰ καθαρὰ καὶ τίνα τὰ ἀκάθαρτα, ἀποστάντας τῆς περὶ τοῦ χρῆσθαι ὡς καθαροῖς καὶ ἀκαθάρτοις διαφορᾶς καὶ δεισιδαιμονίας (οἶμαι) ἐν διαφόροις, ἀδιαφορεῖν τῇ χρήσει τῶν βρωμάτων καὶ διὰ τοῦτο ὑπὸ Ἰουδαίων ὡς παρανόμους κρίνεσθαι, διὰ τοῦτο εἶπέ που· »μὴ οὖν κρινέτω τις ὑμᾶς ἐν βρώσει ἢ ἐν πόσει« καὶ τὰ ἑξῆς, διδάσκων ἡμᾶς ὅτι
20 τὰ μὲν κατὰ τὸ γράμμα σκιά ἐστι τὰ δ' ἀληθῆ τοῦ νόμου ἐναποκείμενα τούτοις νοήματα μέλλοντά ἐστιν ἀγαθά, ἐν οἷς ἔστιν εὑρεῖν, τίνα τὰ καθαρὰ τῆς ψυχῆς πνευματικὰ βρώματα καὶ τίνα τὰ ἀκάθαρτα ἐν λόγοις ψευδέσι καὶ ἐναντίοις βλάπτοντα τὸν τρεφόμενον ἐν αὐτοῖς· »σκιὰν γὰρ εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν«.
25 13. Ὥσπερ δὲ ἐν πολλοῖς κατανοητέον τὸ θαυμαζόμενον παρὰ Ἰουδαίοις ἐπὶ τοῖς τοῦ σωτῆρος λόγοις ὅτι ἐν ἐξουσίᾳ ἐλέγοντο, οὕτως καὶ ἐπὶ τῶν κατὰ τὸν τόπον. τὸν ὄχλον γοῦν προσκαλεσάμενος εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε καὶ τὰ ἑξῆς, καὶ τοῦτ' ἔλεγε Φαρισαίων σκανδαλιζομένων ἐπὶ τούτῳ τῷ λόγῳ, ὡς διὰ τὰ μοχθηρὰ δόγματα καὶ
30 τὴν φαύλην περὶ τοῦ νόμου ἐκδοχὴν οὐκ ὄντων φυτείας τοῦ ἐν οὐρανοῖς ἑαυτοῦ πατρὸς καὶ διὰ τοῦτο ἐκριζουμένων· ἐξερριζώθησαν γὰρ μὴ παραδεξάμενοι τὴν ἀπὸ τοῦ πατρὸς γεωργουμένην ἄμπελον ἀληθινὴν Ἰησοῦν

3 Röm. 14, 23 — **5 ff** Vgl. Röm. 14, 23 — **6** Vgl. Act. 15, 20. 29; 21, 25 — **7 ff** I. Kor. 10, 20 — **8 f** Vgl. I. Kor. 8, 7 — **12** I. Kor. 8, 8 — **18** Kol. 2, 16 — **20 ff** Vgl. Hebr. 10, 1 — **23** Hebr. 10, 1 — **25 ff** Vgl. Matth. 7, 28 f — **32** Vgl. Joh. 15, 1

5 εἰδωλείοις ϱ εἰδωλίοις MH 9 κοινωνισάντων H 16/17 οἶμαι ἐν διαφόροις < M 17 ἀδιαφορεῖν Hu οὐ διαφορεῖν M ἐνδιαφορεῖν H 19 ὑμᾶς λ ἡμᾶς MH 30 περὶ Kl vgl. S. 56, 34 παρὰ MH

Χριστόν. πῶς γὰρ ἠδύναντο εἶναι φυτεία τοῦ πατρὸς οἱ ἐπὶ τοῖς Ἰησοῦ σκανδαλισθέντες λόγοις, ἀφιστᾶσι μὲν τοῦ »μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς, ἅ ἦν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων«, προσάγουσι δὲ τὸν συνετὸν ἑαυτῶν ἀκροατὴν
5 τῷ »τὰ ἄνω« περὶ τούτων ζητεῖν καὶ »μὴ ⟨τὰ⟩ ἐπὶ γῆς«, ὡς οἱ Ἰουδαῖοι; καὶ ἐπεὶ διὰ τὰ μοχθηρὰ δόγματα οὐ φυτεία ἦσαν τοῦ ἐν οὐρανοῖς πατρὸς οἱ Φαρισαῖοι, διὰ τοῦτο ὡς περὶ ἀνιάτων αὐτῶν λέγει τοῖς μαθηταῖς τὸ ἄφετε αὐτούς· ἄφετε διὰ τοῦτο ὅτι τυφλοὶ ὄντες, δέον αὐτοὺς αἰσθάνεσθαι τῆς τυφλότητος καὶ ζητεῖν ὁδηγούς, οἱ δὲ καὶ ἐπαγγέλλονται
10 ἀναισθητοῦντες τῆς ἑαυτῶν τυφλότητος ὁδηγεῖν τυφλούς, οὐ λογιζόμενοι ἐμπεσεῖσθαι εἰς βόθυνον, περὶ οὗ ἐν Ψαλμοῖς γέγραπται· »λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο«. ἀλλαχοῦ μὲν οὖν γέγραπται ὅτι »ἰδὼν τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ«, ἐνταῦθα δὲ ὀρέγει
15 χεῖρα τῷ ὄχλῳ, προσκαλεσάμενος αὐτὸν καὶ ἀφιστὰς τῆς ῥητῆς τῶν κατὰ νόμον ἐρωτημάτων ἐκδοχῆς, ὅτε πρῶτον μὲν ἔλεγεν αὐτοῖς· ἀκούετε καὶ συνίετε, | οὐδέπω συνιεῖσιν ὧν ἤκουον, ἑξῆς δὲ ὡς ἐν παρα- 497 βολαῖς ἔλεγεν αὐτοῖς· οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον.

20 14. Μετὰ ταῦτα ἄξιον ἰδεῖν λέξιν συκοφαντουμένην ὑπὸ τῶν φασκόντων οὐ τὸν αὐτὸν εἶναι νόμου καὶ εὐαγγελίου Ἰησοῦ Χριστοῦ θεόν· οἵτινές φασιν ὅτι οὐκ ἔστιν ὁ Ἰησοῦ Χριστοῦ οὐράνιος πατὴρ γεωργὸς τῶν κατὰ τὸν Μωσέως νόμον οἰομένων θεὸν εὐσεβεῖν. αὐτὸς εἶπεν ὁ Ἰησοῦς τοὺς Φαρισαίους, οἳ ἦσαν λατρεύοντες τῷ κτίσαντι τὸν κόσμον καὶ τὸν νόμον
25 θεῷ, [οὐκ] εἶναι φυτείαν ἣν οὐκ ἐφύτευσεν ὁ οὐράνιος αὐτοῦ πατήρ, καὶ διὰ τοῦτο αὐτὴν ἐκριζοῦσθαι. εἴποιεν δ' ἂν καὶ ταῦτα ὅτι οὐκ ἄν, εἴπερ πατὴρ ἦν τοῦ Ἰησοῦ ὁ »εἰσαγαγὼν« καὶ φυτεύσας τὸν ἀπὸ Αἰγύπτου ἐξελθόντα λαὸν »εἰς ὄρος κληρονομίας« ἑαυτοῦ, »εἰς ἕτοιμον κατοικητήριον« ἑαυτοῦ, εἶπεν ἂν ὁ Ἰησοῦς ἐπὶ τοῖς Φαρισαίοις ὅτι πᾶσα φυτεία ἣν
30 οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. πρὸς ταῦτα δὲ φήσομεν, ὅτι ὅσοι διὰ τὴν μοχθηρὰν περὶ τῶν κατὰ τὸν νόμον ἐκδοχὴν οὐκ ἦσαν φυτεία τοῦ ἐν οὐρανοῖς πατρός, οὗτοι τετύφλωντο »τὰ νοήματα«, ὡς »μὴ πιστεύοντες τῇ ἀληθείᾳ ἀλλὰ εὐδοκοῦντες τῇ ἀδι-

2 Kol. 2, 21f — 5 Vgl. Kol. 3, 1f — 11 Psal. 7, 16 — 13 Matth. 5, 1 — 27 Ex. 15, 17 — 32f Vgl. II. Kor. 4, 4 — II. Thess. 2, 12

5 ⟨τὰ⟩ λ 14 αὐτῷ < H 22 ὁ ις̅ χς̅ ὁ οὐνιος̅ M 23 αὐτὸς ⟨γὰρ⟩ Koe 25 [οὐκ¹] Kl Koe | οὐκ² MH < ρ 26 εἴποιεν Kl vgl. φασιν Z. 22 εἴποιε MH | οὐκ ἂν] κἂν H 29 ἐπὶ] zu str. Koe | ὅτι] τὸ H

κία« ὑπὸ τοῦ θεοποιηθέντος ἀπὸ τῶν υἱῶν τοῦ αἰῶνος τούτου καὶ διὰ
τοῦτο λεγομένου παρὰ τῷ Παύλῳ θεοῦ »τοῦ αἰῶνος τούτου«. καὶ μὴ νο-
μίσῃς Παῦλον ἡμῶν ἀληθῶς εἶναι λέγειν αὐτὸν θεόν· ὡς γὰρ μὴ οὖσα
θεὸς »ἡ κοιλία« τῶν ὑπερτιμώντων τὴν ἡδονὴν φιληδόνων μᾶλλον ἢ φιλο-
5 θέων λέγεται ὑπὸ Παύλου εἶναι »θεὸς« αὐτῶν, οὕτως μὴ ὢν θεὸς ὁ ἄρ-
χων τοῦ αἰῶνος τούτου, περὶ οὗ φησιν ὁ σωτήρ· »νῦν ὁ ἄρχων τοῦ κόσμου
τούτου κέκριται«, θεὸς εἶναι λέγεται τῶν μὴ βουληθέντων τὸ »πνεῦμα τῆς
υἱοθεσίας« λαβεῖν, ἵνα γένωνται υἱοὶ τοῦ αἰῶνος ἐκείνου καὶ »τῆς ἀναστά-
σεως τῆς ἐκ νεκρῶν«, καὶ διὰ τοῦτο μεινάντων ἐν τῇ υἱότητι τοῦ αἰῶνος
10 τούτου. ταῦτα δέ μοι ἔδοξεν, εἰ καὶ παρεκβατικῶς εἴρηται, ἀναγκαίως
παρειλῆφθαι διὰ τὸ τυφλοί εἰσιν ὁδηγοὶ τυφλῶν. τίνες δή; οἱ Φαρι-
σαῖοι, ὧν »ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα«, ὄντων »ἀπί-
στων« παρὰ τὸ μὴ πεπιστευκέναι εἰς Ἰησοῦν Χριστόν, καὶ ἐτύφλωσεν
»εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ
15 θεοῦ ἐν προσώπῳ τοῦ Χριστοῦ«. οὐ μόνον δὲ ἀπ' ἐκείνων φευκτέον ὁδη-
γεῖσθαι τυφλῶν τῶν αἰσθανομένων δεῖσθαι ὁδηγῶν, παρὰ τὸ μηδέπω
αὐτοὺς ἀπειληφέναι τὴν δύναμιν τοῦ δι' αὐτῶν | βλέπειν· ἀλλὰ γὰρ καὶ 498
ἐπὶ πάντων τῶν ἐπαγγελλομένων ὁδηγεῖν ἐν ὑγιεῖ διδασκαλίᾳ ἐπιμελῶς
ἀκουστέον, καὶ κρίσιν ὑγιῆ τοῖς λεγομένοις προσακτέον, μήποτε κατ'
20 ἄγνοιαν τυφλῶν καὶ μὴ βλεπόντων τὰ πράγματα τῆς ὑγιοῦς διδασκαλίας
ὁδηγούμενοι, τυφλοὶ καὶ αὐτοὶ διὰ τὸ μὴ βλέπειν τὸν νοῦν τῶν γραφῶν
τυγχάνοντες φανῶμεν, ὡς ἀμφοτέρους, τόν τε ὁδηγοῦντα καὶ ⟨τὸν⟩ ὁδη-
γούμενον, ἐμπεσεῖν εἰς τὸν βόθυνον, περὶ οὗ προειρήκαμεν.

Ἑξῆς δὲ τούτοις γέγραπται τίνα τρόπον ὁ Πέτρος ἀποκριθεὶς εἶπε
25 τῷ σωτῆρι (ὡς μὴ νοήσας τὸ οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα
κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στό-
ματος) τὸ φράσον ἡμῖν τὴν παραβολήν. πρὸς ὃ ὁ σωτήρ φησι τὸ
ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε, οἱονεὶ τοσούτῳ μοι συνόντες χρόνῳ
ἔτι οὐ συνίετε τοῦ βουλήματος τῶν λεγομένων, καὶ ἔτι οὐ νοεῖτε ὅτι διὰ
30 τοῦτο οὐ κοινοῖ τὸν ἄνθρωπον, ἐπεὶ τὸ εἰσερχόμενον αὐτοῦ εἰς
τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ προχωροῦν ἀπ' αὐτῆς εἰς
ἀφεδρῶνα βάλλεται. οὐ παρὰ τὸν νόμον, ᾧ πιστεύειν ἐδόκουν, οὐκ
ἦσαν φυτεία τοῦ πατρὸς Ἰησοῦ Φαρισαῖοι, ἀλλὰ παρὰ τὴν μοχθηρὰν
περὶ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ γεγραμμένων ἐκδοχήν. δύο γὰρ νοουμένων

2 Vgl. II. Kor. 4, 4 — 4ff Vgl. Phil. 3, 19 — 5f Joh. 16, 11 — 7 Vgl. Röm. 8, 15 — 8f Vgl. Luc. 20, 35. (36) — 11ff II. Kor. 4, 4. 6

2 τοῦ παύλου M 3 ἡμῶν Hu ἡμᾶς M H 17 αὐτοὺς Hu αὐτῶν M H | αὐτῶν v αὐτῶν M αυτων H 22 ⟨τὸν⟩ Kl 28 ἡμεῖς H

κατὰ τὸν νόμον, διακονίας τε »θανάτου« τῆς ἐντετυπωμένης »γράμμασι« καὶ οὐδὲν οἰκεῖον ἐχούσης πρὸς τὸ πνεῦμα, καὶ διακονίας ζωῆς τῆς νοουμένης ἐν τῷ πνευματικῷ νόμῳ, οἱ μὲν δυνάμενοι ἀπὸ διαθέσεως ἀληθευούσης λέγειν τὸ »οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι«, καὶ διὰ τοῦτο 5 »ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή«. οὗτοι ἦσαν φυτεία ἣν ἐφύτευσεν ὁ οὐράνιος πατήρ· οἱ δὲ μὴ τοιοῦτοι ἀλλὰ τὸ ἀποκτεῖνον »γράμμα« περιέποντες μόνον οὐκ ἦσαν φυτεία τοῦ θεοῦ, ἀλλὰ τοῦ πωρώσαντος αὐτῶν τὴν καρδίαν καὶ κάλυμμα ἐπιθέντος αὐτῇ, ἰσχύον ἐν ἐκείνοις ὅσον οὐκ ἐπέστρεφον πρὸς τὸν κύριον· »ἐὰν γάρ τις ἐπιστρέψῃ 10 πρὸς τὸν κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν«.

Εἴποι δ' ἄν τις κατὰ τὸν τόπον γενόμενος ὅτι, ὥσπερ οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, κἂν νομίζηται εἶναι ὑπὸ Ἰουδαίων κοινόν· οὕτως οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα ἁγιάζει τὸν ἄνθρωπον, κἂν ὑπὸ τῶν ἀκεραιοτέρων νομίζηται ἁγιάζειν 15 ὁ ὀνομαζόμενος ἄρτος τοῦ κυρίου. καὶ ἔστιν (οἶμαι) ὁ λόγος οὐκ εὐκαταφρόνητος καὶ διὰ τοῦτο δεόμενος σαφοῦς διηγήσεως, οὕτως ἐμοὶ δοκούσης ἔχειν. ὥσπερ οὐ τὸ βρῶμα, ἀλλ' ἡ συνείδησις τοῦ μετὰ διακρίσεως ἐσθίοντος | κοινοῖ τὸν φαγόντα (»ὁ« γὰρ »διακρινόμενος ἐὰν φάγῃ κατακέκριται, 499 ὅτι οὐκ ἐκ πίστεως«), καὶ ὥσπερ οὐδὲν καθαρὸν οὐ παρ' αὐτό ἐστι τῷ 20 μεμιασμένῳ καὶ ἀπίστῳ, ἀλλὰ παρὰ τὸν μιασμὸν αὐτοῦ καὶ τὴν ἀπιστίαν, οὕτως τὸ ἁγιαζόμενον »διὰ λόγου θεοῦ καὶ ἐντεύξεως« οὐ τῷ ἰδίῳ λόγῳ ἁγιάζει τὸν χρώμενον. εἰ γὰρ τοῦτο, ἡγίαζεν ἂν καὶ τὸν ἐσθίοντα »ἀναξίως« τοῦ κυρίου, καὶ οὐδεὶς ἂν διὰ τὸ βρῶμα τοῦτο ἀσθενὴς ἢ ἄρρωστος ἐγίνετο ἢ ἐκοιμᾶτο (τοιοῦτον γάρ τι ὁ Παῦλος παρέστησεν ἐν τῷ »διὰ τοῦτο 25 ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί«). καὶ ἐπὶ τοῦ ἄρτου τοίνυν τοῦ κυρίου ἡ ὠφέλεια τῷ χρωμένῳ ἐστίν, ἐπὰν ἀμιάντῳ τῷ νῷ καὶ καθαρᾷ τῇ συνειδήσει μεταλαμβάνῃ τοῦ ἄρτου. οὕτω δὲ οὔτε ἐκ τοῦ μὴ φαγεῖν, παρ' αὐτὸ τὸ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγιασθέντος λόγῳ θεοῦ καὶ ἐντεύξει ἄρτου, »ὑστερούμεθα« ἀγαθοῦ τινος οὔτε ἐκ τοῦ φαγεῖν »πε- 30 ρισσεύομεν« ἀγαθῷ τινι. τὸ γὰρ αἴτιον τῆς ὑστερήσεως ἡ κακία ἐστὶ καὶ τὰ ἁμαρτήματα, καὶ τὸ αἴτιον τῆς περισσεύσεως ἡ δικαιοσύνη ἐστὶ καὶ τὰ κατορθώματα· ὡς τοιοῦτο εἶναι τὸ παρὰ τῷ Παύλῳ λεγόμενον ἐν τῷ »οὔτε ἐὰν φάγωμεν περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα«.

1ff Vgl. II. Kor. 3, 7 — **4** Röm. 7, 14 — **5** Röm. 7, 12 — **7** Vgl. II. Kor. 3, 6 — **7ff** Vgl. II. Kor. 3, 14—16 — **9** II. Kor. 3, 16f — **17** Vgl. I. Kor. 8, 7 — **18** Röm. 14, 23 — **21** Vgl. I. Tim. 4, 5 — **22/23** Vgl. I. Kor. 11, 27 — **24** I. Kor. 11, 30 — **28ff** Vgl. I. Kor. 8, 8 — **33** I. Kor. 8, 8

22 ἡγίαζεν] ἡγίαζε γὰρ H 22/23 ἀναξίως] + τὸν ἄρτον ϱ (cf. in notis)

εἰ δὲ πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται, καὶ τὸ ἁγιαζόμενον βρῶμα »διὰ λόγου θεοῦ καὶ ἐντεύξεως« κατ' αὐτὸ μὲν τὸ ὑλικὸν εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται. κατὰ δὲ τὴν ἐπιγενομένην 5 αὐτῷ εὐχὴν »κατὰ τὴν ἀναλογίαν τῆς πίστεως« ὠφέλιμον γίνεται καὶ τῆς τοῦ νοῦ αἴτιον διαβλέψεως, ὁρῶντος | ἐπὶ τὸ ὠφελοῦν· καὶ οὐχ ἡ ὕλη τοῦ 500 ἄρτου ἀλλ' ὁ ἐπ' αὐτῷ εἰρημένος λόγος ἐστὶν ὁ ὠφελῶν τὸν μὴ »ἀναξίως« τοῦ κυρίου ἐσθίοντα αὐτόν. καὶ ταῦτα μὲν περὶ τοῦ τυπικοῦ καὶ συμβολικοῦ σώματος. πολλὰ δ' ἂν καὶ περὶ αὐτοῦ λέγοιτο τοῦ λόγου, ὃς γέγονε 10 »σὰρξ« καὶ »ἀληθινὴ βρῶσις«, ἥντινα ὁ φαγὼν πάντως »ζήσεται εἰς τὸν αἰῶνα«, οὐδενὸς δυναμένου φαύλου ἐσθίειν αὐτήν· εἰ γὰρ οἷόν τε ἦν ἔτι φαῦλον μένοντα ἐσθίειν τὸν γενόμενον σάρκα λόγον, ὄντα καὶ ἄρτον ζῶντα, οὐκ ἂν ἐγέγραπτο ὅτι »πᾶς ὁ φαγὼν τὸν ἄρτον τοῦτον ζήσεται εἰς τὸν αἰῶνα«.

15. Ἑξῆς τούτῳ ἴδωμεν πῶς τὰ ἐκπορευόμενα καὶ κοινοῦντα 15 τὸν ἄνθρωπον οὐ παρὰ τὸ ἐκ τοῦ στόματος ἐκπορεύεσθαι κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὴν αἰτίαν ἔχει τῆς κοινώσεως ἐν τῇ καρδίᾳ, ὅτε ἐξέρχονται ἀπ' αὐτῆς (πρὸ τῶν ἐκπορευομένων διὰ τοῦ στόματος) διαλογισμοὶ πονηροί, ὧν ἐν εἴδει εἰσὶ φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι· ταῦτα γάρ ἐστι τὰ 20 κοινοῦντα τὸν ἄνθρωπον, ὅτε ἐξέρχεται ἀπὸ τῆς καρδίας καὶ ἐξελθόντα ἀπ' αὐτῆς διαπορεύεται διὰ τοῦ στόματος — ὡς εἰ ἔξω τῆς καρδίας μὴ ἐγίνετο ἀλλ' αὐτοῦ που περὶ τὴν καρδίαν κατείχετο, οὐκ ἐπιτρεπόμενα διὰ τοῦ στόματος λαλεῖσθαι, τάχιστα ἂν ἠφάνιστο καὶ οὐκέτι ἄνθρωπος ἐκοινοῦτο. πηγὴ οὖν καὶ ἀρχὴ πάσης ἁμαρτίας διαλογι- 25 σμοὶ πονηροί· μὴ γὰρ ἐπικρατησάντων τούτων, οὔτε φόνοι οὔτε μοιχεῖαι οὔτ' ἄλλο τι τῶν τοιούτων ἔσονται. διὰ τοῦτο πάσῃ φυλακῇ τηρητέον ἑκάστῳ τὴν ἑαυτοῦ καρδίαν· καὶ γὰρ ἐν ἡμέρᾳ κρίσεως ἐλθὼν »ὁ κύριος« »φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν«, »μεταξὺ« πάντων »τῶν λογισμῶν« ἀνθρώπων »κατηγορούντων 30 ἢ καὶ ἀπολογουμένων«, ἡνίκα ἐὰν κυκλώσῃ αὐτοὺς τὰ διαβούλια ἑαυτῶν. τοιοῦτοι δ' εἰσὶν οἱ πονηροὶ διαλογισμοί, ὡς ἔσθ' ὅτε καὶ τὰ | δο- 501 κοῦντα ἀγαθὰ καὶ (ὅσον ἐπὶ τῇ κρίσει τῶν πολλῶν) ἐπαινετὰ ψεκτὰ ποιεῖν. ἐὰν γοῦν ποιῶμεν »ἐλεημοσύνην« »ἔμπροσθεν τῶν ἀνθρώπων«, ἐν τοῖς

3 Vgl. I. Tim. 4, 5 — **5** Vgl. Röm. 12, 6 — **7** Vgl. I. Kor. 11, 27 — **10. 12** Vgl. Joh. 1, 14 — **10f** Vgl. Joh. 6, 55. 51. 57 — **13** Joh. 6, 51. 58 — **17—26** Vgl. C^{v} Nr. 16 Or. = C^{marc} Nr. 4 Or.? — **27/28** Vgl. I. Kor. 4, 5 — **29** Röm. 2, 15 — **33ff** Vgl. Matth. 6, 1f

2 ἐκβάλεται H **12** ἐσθίην H **18** λογισμοί M **22** που] τοῦ H **26** οὔτε ἄλλο M **27** ἑκάστῳ] πάντα πιστὸν V < H **33** οὖν ποιοῦμεν H

διαλογισμοῖς ἡμῶν σκοποῦντες »τὸ θεαθῆναι« τοῖς ἀνθρώποις φιλάνθρωποι καὶ ἐπὶ φιλανθρωπίᾳ δοξασθῆναι, ἀπέχομεν »τὸν« ἀπὸ τῶν ἀνθρώπων »μισθόν«· καὶ ἁπαξαπλῶς πᾶν τὸ γινόμενον μετὰ τοῦ ἐν τῷ πράττοντι συνειδότος ἐπὶ τῷ δοξασθῆναι »ὑπὸ τῶν ἀνθρώπων« οὐκ ἔχει τέλος ἀπὸ
5 τοῦ βλέποντος »ἐν τῷ κρυπτῷ« καὶ ἀποδιδόντος τὸν μισθὸν τοῖς ἐν τῷ κρυπτῷ καθαροῖς. οὕτως οὖν καὶ ἡ δοκοῦσα ἁγνεία, ἐὰν διαλογισμοὺς ἔχῃ τοὺς ἐπὶ κενοδοξίᾳ ἢ φιλοκερδίᾳ, καὶ ἡ νομιζομένη ἐκκλησιαστικὴ διδασκαλία, ἐὰν ἐν λόγῳ κολακείας ἀνελευθερίᾳ γίνηται ἢ προφάσει πλεονεξίας ἢ ζητοῦντός τινος τὴν ἀπὸ ἀνθρώπων ἐπὶ διδασκαλίᾳ δόξαν, οὐκ ἔστι
10 λελογισμένη ὑπὸ τῶν τεθέντων ἀπὸ τοῦ θεοῦ »ἐν τῇ ἐκκλησίᾳ« πρῶτον ἀποστόλων, δεύτερον προφητῶν, καὶ τρίτον διδασκάλων. τὸ δ' ὅμοιον ἐρεῖς καὶ ἐπὶ τοῦ ὀρεγομένου »ἐπισκοπῆς« διὰ τὴν παρὰ ἀνθρώποις δόξαν ἢ τὴν ἀπὸ ἀνθρώπων κολακείαν ἢ τὸν ἀπὸ τῶν προσιόντων τῷ λόγῳ πορισμὸν (διδόντων προφάσει εὐσεβείας). ὁ γοῦν τοιοῦτος ἐπίσκοπος οὐ »καλοῦ
15 ἔργου ἐπιθυμεῖ« οὐδὲ δύναται εἶναι ἀνεπίληπτος οὐδὲ νηφάλιος οὐδὲ σώφρων, μεθύων ὑπὸ δόξης καὶ ἀκολάστως αὐτῆς ἐμφορούμενος. τὸ δὲ αὐτὸ καὶ περὶ πρεσβυτέρων καὶ διακόνων ἐρεῖς. ταῦτα δέ, εἰ καὶ δόξομέν τισιν ἐν παρεκβάσει εἰρηκέναι, ὅρα εἰ μὴ ἀναγκαίως λέλεκται διὰ τὸ πηγὴν εἶναι πάντων τῶν | ἁμαρτημάτων τοὺς πονηροὺς διαλογισμούς, δυναμένους 502
20 μολῦναι καὶ τὰ (εἰ χωρὶς αὐτῶν πράττοιντο) δικαιώσαντα ἂν τὸν ποιήσαντα. τίνα μὲν οὖν τὰ κοινοῦντα, κατὰ δύναμιν ἡμῖν ἐξήτασται. τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον· ἀλλ', εἰ δεῖ τολμήσαντα εἰπεῖν, κοινοῖ τὸ ἀνίπτῳ καρδίᾳ ὁτιποτοῦν φαγεῖν, ὃ πέφυκε τὸ ἡγεμονικὸν ἡμῶν ἐσθίειν.

25 16. *Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ γυνὴ Χαναναία* (15, 21. 22 [—28]).

Πόθεν ἐκεῖθεν ἢ ἀπὸ γῆς Γεννησαρέτ, περὶ ἧς προείρητο· »καὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ«; ἀνεχώρησε δὲ τάχα διὰ τὸ σκανδαλίζεσθαι τοὺς Φαρισαίους ἀκούσαντας ὅτι »οὐ τὸ εἰσερχόμενον,
30 ἀλλὰ τὸ ἐκπορευόμενον κοινοῖ τὸν ἄνθρωπον«. ὅτι δὲ διὰ τοὺς ὑπονοουμένους ἐπιβουλεύειν, εἴ ποτε, ἀνεχώρησε, δῆλον ἐκ τοῦ »ἀκούσας δὲ ὅτι

5f Vgl. Matth. 6, 4 — **6ff** Vgl. Harnack TU. 42, 4, 135 A. 1: „berechnende, nichtswürdige Askese und Lehrausübung" — **10f** Vgl. I. Kor. 12, 28 — **12** Vgl. I. Tim. 3, 1 — **14ff** Vgl. I. Tim. 3, 1f — **27** Matth. 14, 34 — **28f** Vgl. Matth. 15, 12 — **29** Matth. 15, 11 — **31** Matth. 4, 12

2 τὸν] τῶν H **2/3** μισθὸν ἀπὸ τῶν ἀνθρώπων M **4** συνειδότως H[a] **7** ἢ] καὶ M **10** ὑπὸ Kl Koe ἀπὸ M H **13** κολακίαν ἢ τῶν H **17** δόξωμεν M **25** Καὶ] vorher: Περὶ τῆς Χαναναίας H **27f** περὶ—Γεννησαρέτ < M **30** ὅτι] ἔτι M **31** εἴ ποτε] εἶπε τὸ H

Ἰωάννης παρεδόθη ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν«. τάχα διὰ τοῦτο καὶ ὁ Μᾶρκος ἀναγράφων τὰ κατὰ τὸν τόπον φησὶν ὅτι »ἀναστὰς ἦλθεν εἰς τὰ ὅρια Τύρου. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν οὐδένα ἠθέλησε γνῶναι«· ⟨καὶ⟩ εἰκὸς ὅτι τοὺς σκανδαλισθέντας ἐπὶ τῇ διδασκαλίᾳ αὐτοῦ Φαρισαίους 5 περιίστατο, περιμένων τὸν ἐπιτηδειότερον εἰς τὸ παθεῖν καὶ καλῶς ὡρισμένον καιρόν. εἴποι δ' ἄν τις ὅτι Τύρος καὶ Σιδὼν ἀντὶ τῶν ἐθνῶν λέλεκται· ἀναχωρήσας οὖν ἀπὸ τοῦ Ἰσραὴλ εἰς τὰ μέρη τῶν ἐθνῶν παραγίνεται. Τύρος μὲν οὖν παρ' Ἑβραίοις ὀνομαζομένη μεταλαμβάνεται Σόρ, ἥτις ἑρμηνεύεται ΣΥΝΟΧΗ· Σιδὼν δὲ οὕτως καὶ παρ' Ἑβραίοις ὀνομα- 10 ζομένη μεταλαμβάνεται εἰς τὸ ΘΗΡΩΝΤΕΣ. ἐν δὲ τοῖς ἔθνεσι καὶ οἱ θηρῶντές εἰσιν αἱ πονηραὶ δυνάμεις, καὶ πολλὴ συνοχὴ παρ' αὐτοῖς ἡ ἐν τῇ κακίᾳ καὶ τοῖς πάθεσιν. ἐξελθὼν οὖν ἀπὸ τῆς Γεννησαρὲτ ὁ Ἰησοῦς ἀνεχώρησε μὲν ἀπὸ τοῦ Ἰσραήλ, ἦλθε δὲ οὐκ εἰς Τύρον καὶ Σιδῶνα ἀλλ' εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, τῷ ἐκ μέρους νῦν πιστεύειν τοὺς 15 ἀπὸ τῶν ἐθνῶν—ὡς εἰ εἰς πᾶσαν Τύρον καὶ Σιδῶνα ἐπεδήμησεν, οὐδεὶς ἄπιστος ἐν αὐτῇ κατελείφθη. κατὰ δὲ τὸν Μᾶρκον »ἀναστὰς ὁ Ἰησοῦς ἦλθεν εἰς τὰ ὅρια Τύρου«, τῆς συνοχῆς τῶν ἐθνῶν, ἵνα καὶ ἀπὸ τῶν ὁρίων ἐκείνων οἱ πιστεύοντες σωθῆναι δυνηθῶσιν, ἐπὰν ἐξέλθωσιν αὐτά. πρόσχες γὰρ τῷ καὶ ἰδοὺ γυνὴ Χαναναία | ἀπὸ τῶν ὁρίων ἐκείνων 503 20 ἐξελθοῦσα ἔκραξε λέγουσα· ἐλέησόν με, ⟨κύριε⟩ υἱὲ Δαυίδ· ἡ θυγάτηρ μου δεινῶς δαιμονίζεται«. καὶ οἶμαι ὅτι οὐκ ἂν μὴ ἐξελθοῦσα ἀπὸ τῶν ὁρίων ἐκείνων κράζειν πρὸς Ἰησοῦν ἐδύνατο ἀπὸ μεγάλης (ὡς ἐμαρτυρήθη) πίστεως. καὶ »κατὰ τὴν ἀναλογίαν γε τῆς πίστεως« ἐξέρχεταί τις ἀπὸ τῶν ἐν τοῖς ἔθνεσιν ὁρίων, ἃ »ὅτε διεμέρι- 25 ζεν ἔθνη ὁ ὕψιστος, ἔστησε κατὰ ἀριθμὸν υἱῶν Ἰσραὴλ« καὶ τὴν ἐπὶ πλεῖον φορὰν αὐτῶν ἐκώλυσεν.

Ἐνταῦθα μὲν οὖν ὅρια εἴρηταί τινα Τύρου καὶ Σιδῶνος, ἐν δὲ τῇ Ἐξόδῳ ὅρια τοῦ Φαραώ, ἐν οἷς (φασὶ) γίνονται αἱ κατὰ τῶν Αἰγυπτίων

2 Marc. 7, 24 — 4f Vgl. Matth. 15, 12 — 8—61, 16 Vgl. C^b Nr. 31 Or. — 8 Vgl. Wutz, Onom. sacra 713 u. ö. — 10 Vgl. Wutz, Onom. sacra 747. 146f — 13—23 Vgl. C^v Nr. 17 Or.: ἀλληγορικῶς μὲν ὁ σωτὴρ ἔρχεται οὐκ εἰς τὰ ὅρια ἀλλ' »εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος«, ἡ δὲ Χαναναία »ἐξελθοῦσα ἀπὸ τῶν ὁρίων ἐκείνων ἔκραξε λέγουσα ἐλέησόν με, κύριε«. μένουσα δὲ ἐν τοῖς ὁρίοις οὐκ ἐδύνατο ἐπικαλεῖσθαι τὸν κύριον κτλ. — 16 Marc. 7, 24 — 17 Vgl. Z. 9 — 21ff Vgl. Hier. in Matth. 115 C: *inde novit vocare filium David, quia egressa iam fuerat de finibus suis* etc. — 23 Vgl. Röm. 12, 6 — 24 Deut. 32, 8 — 28 Vgl. Ex. 8, 2

3 ⟨καὶ⟩ Kl 8—10 Σόρ—μεταλαμβάνεται < H 20 ⟨κύριε⟩ λ
21 ὅτι οὐ κἂν H 22 ἠδύνατο M^c 25 ἀριθμῶν H^a 27 οὖν < M

μάστιγες. καὶ νομιστέον γε ἕκαστον ἡμῶν ἁμαρτάνοντα μὲν ἐν τοῖς ὁρίοις εἶναι Τύρου ἢ Σιδῶνος ἢ Φαραὼ καὶ τῆς Αἰγύπτου ἤ τινος τῶν ἔξω τῆς τοῦ θεοῦ κληροδοσίας, μεταβάλλοντα δὲ ἀπὸ τῆς κακίας εἰς ἀρετὴν ἐξέρχεσθαι μὲν ἀπὸ τῶν κατὰ τὰ φαῦλα ὁρίων. φθάνειν δὲ ἐπὶ τὰ ὅρια τῆς
5 μερίδος τοῦ θεοῦ (καὶ ἐν τούτοις οὔσης διαφορᾶς, ἥτις φανεῖται τοῖς τὰ τοῦ μερισμοῦ καὶ τῆς κληροδοσίας τοῦ Ἰσραὴλ δυναμένοις ἀνάλογον τῷ πνευματικῷ συνιστάναι νόμῳ). πρόσχες δὲ καὶ τῇ οἱονεὶ ἀπαντήσει γενομένῃ τοῦ Ἰησοῦ πρὸς τὴν Χαναναίαν γυναῖκα· ὁ μὲν γὰρ ἔρχεται ὡς ἐπὶ τὰ μέρη Τύρου καὶ Σιδῶνος, ἡ δὲ ἐξελθοῦσα τῶν ὁρίων ἐκεί-
10 νων κέκραγε λέγουσα· ἐλέησόν με, κύριε υἱὲ Δαυίδ. Χαναναία δὲ ἦν ἡ γυνή, ὅπερ μεταλαμβάνεται εἰς τὸ ΗΤΟΙΜΑΣΜΕΝΗ ΤΑΠΕΙΝΩΣΕΙ. οἱ μὲν δίκαιοι ἡτοιμασμένοι εἰσὶν τῇ βασιλείᾳ τῶν οὐρανῶν καὶ τῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ ὑψώσει· οἱ δὲ ἁμαρτωλοὶ ἡτοιμασμένοι ταπεινώσει τῆς ἐν αὐτοῖς κακίας καὶ τῶν κατ' αὐτὴν πράξεων (ἑτοιμαζόν-
15 των αὐτοὺς αὐτῇ) καὶ τῆς βασιλευούσης »ἐν τῷ θνητῷ αὐτῶν σώματι« ἁμαρτίας. πλὴν ἡ Χαναναία ἐξελθοῦσα ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξῄει ἀπὸ τοῦ ἡτοιμάσθαι τῇ ταπεινώσει, κεκραγυῖα καὶ λέγουσα· ἐλέησόν με, κύριε υἱὲ Δαυίδ«.

17. Συνάγαγε δὲ ἀπὸ τῶν εὐαγγελίων, τίνες μὲν αὐτὸν καλοῦσιν υἱὸν
20 Δαυίδ, ὡς αὕτη καὶ οἱ ἐν Ἱεριχοῖ τυφλοί, τίνες δὲ υἱὸν θεοῦ καὶ ἤτοι χωρὶς τῆς ἀληθῶς προσθήκης, ὡς οἱ δαιμονιζόμενοι λέγοντες· »τί ἡμῖν καὶ σοί, υἱὲ τοῦ θεοῦ«, τίνες δὲ μετὰ τῆς ἀληθῶς προσθήκης, ὡς οἱ ἐν τῷ πλοίῳ προσκυνοῦντες, »ἀληθῶς θεοῦ υἱὸς εἶ« λέγοντες αὐτῷ. καὶ | γὰρ χρήσιμος 504 (οἶμαι) ἔσται σοι ἡ τούτων συναγωγὴ πρὸς τὸ ἰδεῖν τὴν διαφορὰν τῶν
25 προσιόντων, τίνες μὲν οἱονεὶ τῷ γενομένῳ »ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα« προσίασι, τίνες δὲ τῷ ὁρισθέντι υἱῷ θεοῦ »ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης«, καὶ τούτων τίνες μὲν μετὰ τοῦ ἀληθῶς τίνες δὲ χωρὶς τούτου. εἶτα πρόσχες ὅτι ἡ Χαναναία μὲν οὐ περὶ υἱοῦ (ὃν οὐδὲ τὴν ἀρχὴν γεγεννηκέναι φαίνεται) ἀλλὰ περὶ θυγατρὸς παρακαλεῖ δεινῶς δαιμονιζομένης,

5 Vgl. Deut. 32, 9 — 7—17 Vgl. C[c] I, 123, 20ff An.: *τινὲς δὲ καὶ ἀλληγοροῦντές φασιν, ὅτι ὅτε ἐξῆλθεν ἐκ τῆς Ἰουδαίας ὁ Χριστός, τότε αὐτῷ προσελθεῖν ἐτόλμησεν ἡ ἐκκλησία αὐτὴ ἐκ τῶν ὁρίων αὐτῆς ἐξελθοῦσα κτλ.* — 11 Vgl. Wutz, Onom. sacra 742. 398f — 12 Vgl. Matth. 25, 34 — 15 Vgl. Röm. 6, 12 — 20 Vgl. Matth. 20, 30 — 21 Matth. 8, 29 — 23 Matth. 14, 33 — 25 Vgl. Röm. 1, 3 — 26f Vgl. Röm. 1, 4

3 *μεταβαλλόντα* H *μεταβαλόντα* M 12 *μὲν*] *γὰρ* C[b] Nr. 31 | *τῇ* ² *ἐν* MH 14/15 *ἑτοιμαζόντων* MH l. *ἑτοιμάζοντες*? Kl *ἑτοιμαζουσῶν* Hu 15 l. *αὐτοὺς*? Koe 17 *ἡτοιμασθῆναι* H 20 *αὕτη* Kl *αὐτὴ* MH 23 *υἱὸς θεοῦ* M 28/29 *γεγενηκέναι* M 29 *παρακαλεῖ* Kl *παρεκάλει* MH

ἄλλη δὲ μήτηρ υἱὸν ἐκκομιζόμενον νεκρὸν ἀπολαμβάνει ζῶντα. καὶ πάλιν ὁ μὲν ἀρχισυνάγωγος περὶ δωδεκαετοῦς θυγατρὸς ἀξιοῖ ὡς ἀποτεθνηκυίας, ὁ δὲ βασιλικὸς περὶ υἱοῦ ὡς ἔτι νοσοῦντος καὶ ἀποθνήσκειν μέλλοντος. δαιμονῶσα τοίνυν θυγάτηρ καὶ υἱὸς νεκρὸς δύο ἦσαν μητέρων, καὶ τεθνη-
5 κυῖα θυγάτηρ καὶ υἱὸς πρὸς θάνατον ἀσθενῶν τῶν δύο πατέρων, ὧν ὁ μὲν ἀρχισυνάγωγος ὁ δὲ βασιλικὸς ἦν. ἔχειν δὲ ταῦτα πείθομαι λόγους περὶ γενῶν ἐν ψυχαῖς διαφόρων, ἅστινας ὁ Ἰησοῦς ζωοποιῶν ἰᾶται. καὶ πάντα δέ, ὅσα θεραπεύει ἐν τῷ λαῷ, μάλιστα ὑπὸ τῶν εὐαγγελιστῶν ἀναγεγραμμένα γέγονε μὲν τότε, ἵνα οἱ μὴ ἄλλως πιστεύοντες, ἐὰν μὴ ἴδωσι »σημεῖα καὶ
10 τέρατα«, πιστεύσωσι· σύμβολα δὲ ἦν τὰ τότε τῶν ἀεὶ ὑπὸ τῆς δυνάμεως Ἰησοῦ ἐπιτελουμένων. οὐκ ἔστι γὰρ ὅτε ἕκαστον τῶν γεγραμμένων ὑπὸ τῆς δυνάμεως Ἰησοῦ κατὰ τὴν ἑκάστου ἀξίαν οὐ γίνεται.

Γένους μὲν οὖν χάριν ἡ Χαναναία οὐδὲ ἀποκρίσεως ἀξία ἦν τῆς ἀπὸ Ἰησοῦ τυχεῖν, ὁμολογοῦντος οὐκ ἐπ' ἄλλο τι ἀπεστάλθαι παρὰ τοῦ
15 πατρὸς ἢ πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ, γένος ψυχῶν διορατικῶν ἀπολωλός. προαιρέσεως δὲ ἕνεκα καὶ τοῦ προσκεκυνηκέναι Ἰησοῦ υἱῷ τοῦ θεοῦ ἀποκρίσεως τυγχάνει, ἐλεγχούσης αὐτῆς τὴν δυσγένειαν καὶ τὴν ἀξίαν αὐτῆς παριστάσης, ὅτι ψιχίων ὡς κυνίδιον καὶ οὐκ ἄρτων ἦν ἀξία. ὡς δὲ ἐπιτείνασα τὴν προαίρεσιν καὶ παραδεξαμένη
20 τὸν Ἰησοῦ λόγον ἐπιδικάζεται, κἂν ὡς κυνίδιον τυχεῖν ψιχίων, καὶ ὁμολογεῖ κυρίους τοὺς εὐγενεστέρους, τότε τυγχάνει ἀποκρίσεως δευτέρας μαρτυρούσης αὐτῆς τῇ πίστει ὡς μεγάλῃ καὶ ἐπαγγελλομένης ἔσεσθαι αὐτῇ ὃ βούλεται. ἀνάλογον δ' οἶμαι τῇ »ἄνω Ἱερουσαλὴμ« ἐλευθέρᾳ, μητρὶ Παύλου καὶ τῶν παραπλησίων αὐτῷ, δεήσει νοῆσαι τὴν Χαναναίαν, μητέρα
25 τῆς δεινῶς δαιμονιζομένης, σύμβολον τυγχάνουσαν μητρὸς τοιᾶσδε ψυχῆς. καὶ ἐπίστησον εἰ μὴ εὔλογόν ἐστιν εἶναι καὶ πολλοὺς πατέρας καὶ πολλὰς μητέρας, ἀνάλογον τοῖς πατράσιν Ἀβραάμ, πρὸς οὓς ἀπήει ὁ πατριάρχης, καὶ τῇ Ἱερουσαλὴμ μητρὶ (ὡς Παῦλός φησι περὶ ἑαυτοῦ) καὶ τῶν ὁμοίων

1f Vgl. Luc. 7, 11ff — Vgl. Luc. 8, 41f Par. — **3f** Vgl. Joh. 4, 46f — **9** Vgl. Joh. 4, 48 — **15f** Vgl. Orig. de princ. IV, 3, 8 (V, 334, 16ff): *sed intellegimus genus esse animarum, quae Israhel nominantur . . . Israhel namque mens videns deum . . . interpraetatur.* Vgl. Wutz, Onom. sacra 709 u. ö. — **16** Vgl. S. 63, 7. 17 — **23ff** Vgl. Hier. in Matth. 115 C: *ego filiam ecclesiae puto animas esse credentium, quae male daemonio vexabantur, ignorantes creatorem* etc. — **23** Vgl. Gal. 4, 26 — **26** Vgl. Orig. Exhort. 14 (I, 14, 26) — **27** Vgl. Gen. 15, 15 — **28** Vgl. Gal. 4, 26

9 οἱ s. l. H^c **10** δὲ Koe (vgl. Z. 9 μὲν) γὰρ M H | πότε v **12** Ἰησοῦ] + ⟨ἐπιτελουμένων⟩ Koe **15** Ἰσραήλ] + ⟨τουτέστι πρὸς⟩ Koe, vgl. S. 63, 7 **18** παράστάσης H

αὐτῷ. εἰκὸς δὲ ἐξεληλυθυῖαν ταύτην, ἧς σύμβολον ¦ ἡ Χαναναία, ἀπὸ 505
τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ὧν τύποι ἦσαν οἱ ἐπὶ γῆς τόποι,
προσεληλυθυῖαν τῷ σωτῆρι ἠξιωκέναι αὐτὸν καὶ ἔτι νῦν ἀξιοῦν λέγουσαν·
ἐλέησόν με, κύριε υἱὲ Δαυίδ· ἡ θυγάτηρ μου δεινῶς δαι-
5 μονίζεται. εἶτα ὁ καὶ τοῖς ἔξωθεν καὶ τοῖς μαθηταῖς, ὅτε δεῖ, ἀποκρινό-
μενος εἶπε τὸ οὐκ ἀπεστάλην, διδάσκων ὅτι εἰσί τινες προηγούμεναι
ψυχαὶ νοεραὶ καὶ διορατικαὶ ἀπολωλυῖαι, τροπικῶς λεγόμεναι πρόβατα
οἴκου Ἰσραήλ, ἅπερ (οἶμαι) οἱ ἁπλούστεροι, ἐπὶ τοῦ »κατὰ σάρκα« Ἰσ-
ραὴλ νομίζοντες λελέχθαι, ἀναγκαίως προσήσονται ὅτι ὁ σωτὴρ ἡμῶν
10 ἀπεστάλη ὑπὸ τοῦ πατρὸς οὐχὶ πρὸς ἄλλους ἢ τοὺς Ἰουδαίους ἐκείνους
ἀπολωλότας. ἡμεῖς δὲ οἱ εὐχόμενοι ἐξ ἀληθείας λέγειν· »εἰ καὶ Χριστὸν
ποτε κατὰ σάρκα ἐγνώκαμεν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν«, ἴσμεν τοῦ
λόγου προηγούμενον εἶναι ἔργον σώζειν τοὺς συνετωτέρους· οἰκειότεροι
γὰρ οὗτοι παρὰ τοὺς ἀμβλυτέρους αὐτῷ τυγχάνουσιν. ἀλλ' ἐπεὶ τὰ ἀπο-
15 λωλότα πρόβατα οἴκου Ἰσραὴλ παρὰ τὸ »κατ' ἐκλογὴν χάριτος
λεῖμμα« ἠπείθησαν τῷ λόγῳ, διὰ τοῦτο »ἐξελέξατο τὰ μωρὰ τοῦ κόσμου
(τὸν μὴ Ἰσραὴλ μηδὲ διορατικόν), ἵνα καταισχύνῃ τοὺς σοφοὺς« (τοῦ
Ἰσραήλ), καὶ ἐκάλεσε »τὰ μὴ ὄντα« (συνετὸν ἔθνος), παραδοὺς αὐτοῖς
ὃ ἠδύναντο χωρῆσαι, »τὴν μωρίαν τοῦ κηρύγματος«, καὶ εὐδοκήσας »σῶ-
20 σαι« τοὺς εἰς τοῦτο »πιστεύοντας«, ἵνα διελέγξῃ »τὰ ὄντα« (»ἐκ τοῦ στό-
ματος νηπίων καὶ θηλαζόντων« καταρτισάμενος αὐτῷ »αἶνον«), ἐπεὶ γέ-
γονεν ἐχθρὰ τῇ ἀληθείᾳ.

Ἐλθοῦσα δὲ ἡ Χαναναία προσεκύνει ὡς θεῷ τῷ Ἰησοῦ
λέγουσα· κύριε, βοήθησόν μοι. ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ
25 ἔξεστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυνα-
ρίοις. ζητήσαι δ' ἄν τις τὸ βούλημα καὶ ταύτης τῆς λέξεως, ἐπεὶ μέτρου
μὲν παρόντος ἄρτων, ὡς μὴ δύνασθαι καὶ τὰ τέκνα ἐσθίειν ἄρτους καὶ
κυνίδια τῆς οἰκίας, ἢ κάλλους ἄρτων εὖ εἰργασμένων, ⟨ὡς⟩ οὐχ οἷόν τε
κατὰ τὸ εὔλογον κυνιδίοις δίδοσθαι τροφὴν τὸν καλῶς εἰργασμένον τῶν
30 τέκνων ἄρτον, οὐδὲν δὴ τοιοῦτον φαίνεται ἐπὶ τῆς Ἰησοῦ δυνάμεως, ἀφ'

7. 17 Vgl. zu S. 62, 15f — **8** Vgl. I. Kor. 10, 18 — **11** Vgl. I. Tim. 2, 7; Eph. 4, 25? — II. Kor. 5, 16 — **15** Vgl. Röm. 11, 5 — **16** I. Kor. 1, 27 — **18. 20** Vgl. I. Kor. 1, 28 — **18** Vgl. Röm. 10, 19 (Deut. 32, 21) — **19f** Vgl. I. Kor. 1, 21 — **20f** Psal. 8, 3

1 *ἐξεληλυθεῖαν* H[a] **5** *ὁ καὶ* M ∼ H | *ὅτε δεῖ*] *ὅτ' ἔδει?* Kl *ὃ ἔδει* Koe **12** *γινώσκομεν* Kl *γινώσκοντες* M H **28** *κάλλους* M H[a] *καὶ ἄλλους* H[c. r.] | ⟨ὡς⟩ Koe, vgl. Z. 27 **29f** *τὸν κ. εἰργασμένον τ. τ. ἄρτον* M H[c] *τῶν κ. εἰργασμένων τ. τ. ἄρτων* H[a] **30** *δὴ* Kl *δὲ* M H

ἧς δυνατὸν ἦν καὶ τὰ τέκνα μεταλαμβάνειν καὶ τὰ λεγόμενα κυνίδια. ὅρα
οὖν μήπως πρὸς τὸ οὐκ ἔξεστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων
λεκτέον ὅτι ὁ κενώσας ἑαυτὸν τῷ »μορφὴν δούλου« ἀνειληφέναι μέτρον
δυνάμεως, καθ' ὃ ἐχώρει τὰ ἐν κόσμῳ πράγματα, ἐκόμισεν· ἀφ' ἧς δυνά-
5 μεως καὶ ᾐσθάνετό τινα ἐξέρχεσθαι | ποσότητα ἀπ' αὐτοῦ, ὡς δῆλον ἐκ 506
τοῦ »ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξεληλυθυῖαν ἀπ' ἐμοῦ«.
ἀπὸ τούτου οὖν τοῦ μέτρου τῆς δυνάμεως ἐταμιεύετο, τοῖς μὲν προηγου-
μένοις καὶ καλουμένοις υἱοῖς πλείονα ἐπιδιδούς, τοῖς δὲ μὴ τοιούτοις ἐλάτ-
τονα, ὡς τοῖς κυνιδίοις. ἀλλ' εἰ καὶ ταῦτα οὕτως ἐγίνετο, οὐδὲν ἧττον,
10 ὅπου μεγάλη πίστις, ἔδωκε τὸν ἄρτον τῶν τέκνων ὡς τέκνῳ τῇ
διὰ τὴν ἐν Χαναναίᾳ δυσγένειαν κυνιδίῳ τυγχανούσῃ. τάχα δὲ καὶ
τῶν λόγων Ἰησοῦ εἰσί τινες ἄρτοι, οὓς τοῖς λογικωτέροις ὡς τέκνοις ἔξεστι
διδόναι μόνοις, καὶ ἄλλοι λόγοι οἱονεὶ ψιχία ἀπὸ τῆς μεγάλης ἑστίας καὶ
τραπέζης τῶν εὐγενεστέρων καὶ κυρίων, οἷς χρήσαιντ' ἄν τινες ψυχαὶ
15 ὡς κύνες. καὶ κατὰ τὸν Μωσέως δὲ νόμον περί τινων γέγραπται »τῷ
κυνὶ« ἀπορρίψαι αὐτά, καὶ ἐμέλησε τῷ ἁγίῳ πνεύματι ἐντείλασθαι περί
τινων βρωμάτων, ἵνα κυσὶ παραλειφθῇ.

Ἄλλοι μὲν οὖν ὑπολαμβανέτωσαν, ξένοι τοῦ ἐκκλησιαστικοῦ λόγου,
μεταβαίνειν τὰς ψυχὰς ἀπὸ σωμάτων ἀνθρωπίνων ἐπὶ σώματα κύνεια κατὰ
20 τὴν διάφορον κακίαν. ἡμεῖς δὲ μηδαμῶς τοῦτο εὑρίσκοντες ἐν τῇ θείᾳ
γραφῇ, φαμὲν ὅτι κατάστασις λογικωτέρα μεταβάλλει εἰς ἀλογωτέραν, ἐκ
πολλῆς ῥᾳθυμίας καὶ ἀμελείας τὸ τοιοῦτον πάσχουσα· ὁμοίως δὲ καὶ ἀλογω-
τέρα προαίρεσις παρὰ τὸ τοῦ λόγου ἠμεληκέναι ἐπιστρέφει ποτὲ εἰς τὸ λογικὴ
εἶναι, ὡς τό ποτε κυνίδιον, τὸ ἀγαπῶν ἐσθίειν ἀπὸ τῶν ψιχίων τῶν
25 πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτοῦ, ἥκειν εἰς κα-
τάστασιν τέκνου. μέγα γὰρ συμβάλλεται ἀρετὴ μὲν πρὸς τὸ ποιῆσαι τέκ-
νον θεοῦ, κακία δὲ καὶ τὸ λυσσῶδες ἐν λόγοις ὑβριστικοῖς καὶ τὸ ἀναιδὲς
πρὸς τὸ ποιῆσαί τινα χρηματίσαι (κατὰ τὸν τῆς γραφῆς λόγον) κύνα. τὸ
δ' ὅμοιον νοήσεις καὶ ἐπὶ τῶν λοιπῶν ὀνομάτων τῶν κατὰ τὰ ἄλογα ζῶα.
30 πλὴν ὁ ἐλεγχθεὶς ὡς κύων καὶ μὴ ἀγανακτήσας ἐπὶ τῷ ἀνάξιος εἶναι λέγεσθαι
ἄρτου τέκνων καὶ μετὰ πάσης ἀνεξικακίας εἰπὼν τὸν τῆς Χαναναίας
ἐκείνης λόγον τὸν φήσαντα· ναί, κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει

3 Vgl. Phil. 2, 7 — 6 Luc. 8, 46 — 15ff Vgl. Ex. 22, 31 — 18—65, 5 frei übersetzt in Pamphilus Apol. c. X (Migne PG 17, 610) — 21ff Vgl. Orig. c. Cels. I, 20 (I, 71, 21ff) III, 75 (I, 267, 12); de princ. I, 8, 4 (V, 104, 7ff) u. ö.

2 τῶν ἄρτων H[a] | τέκνον H 7 τὸ μέτρον M 8f πλείονα ἐπιδιδοὺς καὶ καλουμένοις υἱοῖς M H ~ Koe 17 παραλειφθῇ Kl παραληφθη M H καταλειφθῇ Koe 19 ἀνθρωπίνων Kl nach *humanis* Pamph ἀνθρώπων M H 23 ⟨μὴ⟩ ἠμεληκέναι Hu 32 φίσαντα H[a]

ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν τεύξεται τῆς προσηνεστάτης ἀποκρίσεως Ἰησοῦ λέγοντος αὐτῷ· μεγάλη σου ἡ πίστις, ἐὰν τηλικαύτην ἀναλάβῃ πίστιν, καὶ λέγοντος· γενέσθω σοι ὡς θέλεις, ἵνα καὶ αὐτὸς ἰαθῇ καί, εἴ τινα
5 καρπὸν ἐγέννησε δεόμενον ἰάσεως, καὶ οὗτος θεραπευθῇ. | 507

18. Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς (δῆλον δὲ ἐκ τῶν προειρημένων, ὅτι ἀπὸ τῶν μερῶν »Τύρου καὶ Σιδῶνος«) ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας (ἥτις ἐστὶν ἡ συνήθως ὀνομαζομένη Γενησαρῖτις λίμνη), καὶ πάλιν ἀνέβη εἰς τὸ ὄρος (ἔνθα ἀναβὰς ἐκαθέζετο)
10 (15, 29 [—31]).

Ἔστιν οὖν εἰπεῖν ὅτι εἰς τὸ ὄρος τοῦτο, ὅπου καθέζεται ὁ Ἰησοῦς, οὐχ ὑγιαίνοντες ἀναβαίνουσι μόνον, ἀλλὰ μετὰ τῶν ὑγιαινόντων καὶ οἱ διάφορα πάθη πεπονθότες. καὶ τάχα τοῦτο τὸ ὄρος, ἔνθα ἀναβὰς καθέζεται ὁ Ἰησοῦς, ἡ κοινοτέρως ἐστὶν ὀνομαζομένη ἐκκλησία, ἀνεστηκυῖα
15 διὰ τὸν λόγον τοῦ θεοῦ παρὰ τὴν λοιπὴν γῆν καὶ τοὺς ἐπ' αὐτῆς· ὅπου προσέρχονται οὐχ οἱ μαθηταὶ καταλιπόντες τοὺς ὄχλους (ὡς ἐπὶ τῶν μακαρισμῶν) ἀλλὰ πολλοὶ ὄχλοι, οἵτινες αὐτοὶ μὲν οὐ κατηγοροῦνται ὡς κωφοὶ ἤ τι πεπονθότες, ἔχουσι δὲ μεθ' ἑαυτῶν τοὺς τοιούτους. καὶ γάρ ἔστιν ἰδεῖν μετὰ τῶν προσερχομένων ὄχλων εἰς τοῦτο τὸ ὄρος, ἔνθα
20 ὁ υἱὸς καθέζεται τοῦ θεοῦ, τινὰς μὲν κεκωφωμένους πρὸς τὰ ἐπαγγελλόμενα, ἄλλους δὲ τυφλοὺς τὴν ψυχὴν καὶ μὴ βλέποντας »τὸ ἀληθινὸν φῶς«, καὶ ἄλλους χωλοὺς καὶ μὴ δυναμένους κατὰ λόγον πορεύεσθαι, καὶ ἄλλους κυλλοὺς καὶ μὴ δυναμένους κατὰ λόγον ἐργάζεσθαι. οὗτοι τοίνυν οἱ ταῦτα κατὰ ψυχὴν πεπονθότες, οἱ μετὰ τῶν ὄχλων εἰς τὸ ὄρος ἀναβάν-
25 τες, ἔνθα ἦν ὁ Ἰησοῦς, ὅσον μὲν ἔξω τῶν ποδῶν εἰσι τοῦ Ἰησοῦ, οὐ θεραπεύονται ὑπ' αὐτοῦ· ἐὰν δέ, ὡς τοιαῦτα πεπονθότες, ῥιφῶσιν ὑπὸ τῶν ὄχλων παρὰ τοὺς πόδας αὐτοῦ καὶ τὰ τελευταῖα τοῦ σώματος τοῦ Χριστοῦ, οὐδὲ τούτων ἄξιοι (τὸ ὅσον ἐφ' ἑαυτοῖς) τυγχάνοντες, τότε ὑπ' αὐτοῦ θεραπεύονται.

30 Καὶ ἐὰν ἴδῃς ἐν τῷ τῆς κοινότερον ἐκκλησίας λεγομένης ἀθροίσματι ἐρριμμένους μετὰ τοὺς τελευταίους αὐτῆς, οἱονεὶ καὶ παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ σώματος, τῆς ἐκκλησίας, τοὺς κατηχουμένους προσελθόντας μετὰ τῆς ἰδίας κωφότητος καὶ τυφλότητος χωλότητός τε καὶ κυλλότητος, καὶ τῷ χρόνῳ θεραπευομένους κατὰ τὸν λόγον, οὐκ ἂν ἁμάρτοις τοὺς

7 Vgl. Matth. 15, 21 — 8 Vgl. Luc. 5, 1 — 16 Vgl. Matth. 5, 1 — 21 Vgl. Joh. 1, 9

6 *Καὶ*] vorher: *Περὶ τῶν θεραπευθέντων ὄχλων* H 8/9 *Γενησαρῖτις* Kl *γενησαρέτις* M *γενησαρέτ τις* H 12 *οὐχ* ⟨*οἱ*⟩ Diehl 16 *οὐχ* < M | *ὡς* < M 17 *κατηγοροῦνται* Kl *κατηγοροῦντο* M H 18 *κοφοὶ* H 20 *ἀπαγγελλόμενα* M 30 *κοινώτερον* H 33 *κουφότητος* H[a]

τοιούτους λέγων ἀναβάντας μετὰ τῶν ὄχλων τῆς ἐκκλησίας εἰς τὸ ὄρος, ὅπου ἦν ὁ Ἰησοῦς, ἐρρίφθαι παρὰ τοὺς πόδας αὐτοῦ καὶ τεθεραπεῦ⟨σ⟩θαι αὐτούς, ὥστε τὸν ὄχλον τῆς ἐκκλησίας θαυμάζειν βλέποντας ἀπὸ τηλικούτων κακῶν μεταβολὰς ἐπὶ τὸ βέλτιον γενομένας, ὥστ' ἂν 5 *εἰπεῖν· οἱ πρότερον κωφοὶ ὕστερον λαλοῦσι τὸν λόγον τοῦ θεοῦ καὶ οἱ »χωλοὶ περιπατοῦσι«, πληρουμένης καὶ τῆς τοῦ Ἡσαΐου οὐ μόνον ἐν σωματικοῖς ἀλλὰ καὶ ἐν πνευματικοῖς προφητείας, λέγοντος· »τότε ἀλεῖται ὡς* | *ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων«. κἀκεῖ δέ, εἰ* 508 *μὴ ἀποκληρωτικῶς εἴρηται τὸ »ὡς ἔλαφος ἀλεῖται ὁ χωλός«, φήσομεν μὴ* 10 *μάτην ἐλάφῳ καθαρῷ ζώῳ καὶ πολεμίῳ τῶν ὄφεων καὶ μηδὲν βλάπτεσθαι ὑπὸ ἰοῦ αὐτῶν δυναμένῳ παραβεβλῆσθαι τοὺς πρότερον χωλοὺς καὶ διὰ τὸν Ἰησοῦν ἀλλομένους ὡς ἔλαφον. πληροῦται δὲ καὶ κατὰ τὸ βλέπεσθαι κωφοὺς λαλοῦντας ἡ λέγουσα προφητεία· »καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων« ἢ μᾶλλον ἡ φάσκουσα· »οἱ κωφοὶ ἀκούσατε«. καὶ οἱ τυφλοὶ δὲ* 15 *βλέπουσι κατὰ τὴν λέγουσαν προφητείαν ἑξῆς τῷ »οἱ κωφοὶ ἀκούσατε« καὶ »οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν«. οἱ τυφλοὶ δὲ βλέπουσιν, ὅτε βλέποντες τὸν κόσμον »ἐκ μεγέθους τοῦ κάλλους τῶν κτισμάτων ἀναλόγως« αὐτοῖς τὸν γενεσιουργὸν θεωροῦσι, καὶ ὅτε »τὰ ἀόρατα αὐτοῦ (τοῦ θεοῦ) ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα« καθορῶσι, τουτέστιν ἐπιμελῶς* 20 *καὶ σαφῶς ὁρῶσι καὶ νοοῦσι.*

Ταῦτα δὲ βλέποντες οἱ ὄχλοι ἐδόξαζον τὸν θεὸν Ἰσραήλ, καὶ δοξάζουσι πειθόμενοι ὅτι ὁ αὐτὸς θεὸς πατήρ ἐστι τοῦ θεραπεύσαντος τοὺς προειρημένους καὶ θεὸς τοῦ Ἰσραήλ· οὐ γὰρ »Ἰουδαίων μόνον ὁ θεός« ἐστιν, ἀλλὰ »καὶ ἐθνῶν«. ἀναβιβάζωμεν οὖν μεθ' ἑαυτῶν ἐπὶ τὸ 25 *ὄρος, ἔνθα καθέζεται ὁ Ἰησοῦς, τὴν ἐκκλησίαν αὐτοῦ, τοὺς βουλομένους ἀναβαίνειν ἐπ' αὐτὸ μεθ' ἡμῶν κωφούς,* | *τυφλούς, χωλούς, κυλλούς,* 509 *καὶ ἑτέρους πολλούς, καὶ ῥίπτωμεν αὐτοὺς παρὰ τοὺς πόδας*

5ff Vgl. Orig. c. Cels. II, 48 (I, 170, 15ff): *ἀεὶ γὰρ ἀνοίγονται ὀφθαλμοὶ τυφλῶν τὴν ψυχήν, ... πολλοὶ δὲ καὶ χωλοὶ τὰς βάσεις τοῦ ... ἔσω ἀνθρώπου ... οὐχ ἁπλῶς ἅλλονται, ἀλλ' »ὡς ἔλαφος«, πολέμιον τῶν ὄφεων ζῷον καὶ κρεῖττον παντὸς ἰοῦ τῶν ἐχιδνῶν.* — 6 Vgl. Matth. 11, 5 — 7. 9. (12) Jes. 35, 6 — 9 Vgl. Orig. hom. XVIII, 9 in Jer. (III, 163, 2): *πολέμιος τῷ τῶν ὄφεων γένει* u. ö., vgl. Harnack TU. 42, 4, 100, Lauchert, Gesch. d. Physiologus 71 — 14. 15 Jes. 42, 18 — 17 Sap. Sal. 13, 5 — 18 Röm. 1, 20 — 21—24 Vgl. C[1] Nr. 197 Or. (?) (Ende): *θεὸν δὲ οὐχ ἕτερον ἀλλὰ τὸν τοῦ Ἰσραὴλ δοξάζουσιν· οὐδὲ γάρ ἐστιν ἕτερος κατὰ τὴν Μαρκίωνος ἄνοιαν, ἀλλ' αὐτὸς μόνος* (?) — 23 Vgl. Röm. 3, 29

2 *τεθεραπεῦ⟨σ⟩θαι* ϱ 7 *ἀλεῖτε* H[a] 8—9 *καὶ—χωλός* < H 8 *μογγιλάλων*, nach *λ*, vgl. Z. 13f *μογγιλάλου* M 12 l. *ἁλουμένους*? Kl

τοῦ Ἰησοῦ, ἵνα θεραπεύσῃ αὐτούς, ὥστε θαυμάσαι ἐπὶ τῇ τούτων θεραπείᾳ τοὺς ὄχλους. οἱ γὰρ μαθηταὶ οὐκ ἀναγεγραμμένοι εἰσὶ τὰ τοιαῦτα θαυμάζειν, καίτοιγε παρόντες τῷ Ἰησοῦ καὶ τότε, ὡς δῆλον ἐκ τοῦ »ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπε· σπλαγχνί-
5 ζομαι ἐπὶ τὸν ὄχλον« καὶ τὰ ἑξῆς. τάχα δὲ εἰ ἐπιμελῶς προσέχοις τῷ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, εὕροις ἂν ὅτι οἱ μαθηταὶ τότε οὐ προσῆλθον αὐτῷ, ἀλλὰ πάλαι ἀρξάμενοι ἀκολουθεῖν καὶ εἰς τὸ ὄρος ἠκολούθησαν αὐτῷ. προσῆλθον δὲ αὐτῷ οἱ τῶν μαθητῶν ἐλάττους καὶ τότε πρῶτον αὐτῷ προσιόντες, ⟨οἵτινες⟩ οὐ τὰ ὅμοια τοῖς μετ' αὐτῶν
10 ἀναβεβηκόσι πεπόνθασι. παρατήρει δὲ ἐν τῷ εὐαγγελίῳ, τίνες μὲν ἀναγεγραμμένοι εἰσὶν ἠκολουθηκέναι τῷ Ἰησοῦ, τίνες δὲ προσεληλυθέναι, τίνες δὲ προσῆχθαι, καὶ τίνες διῃρῆσθαι εἰς προάγοντας καὶ εἰς ἀκολουθοῦντας, καὶ τῶν προσεληλυθότων τίνες αὐτῷ ἐν τῇ οἰκίᾳ προσῆλθον, καὶ τίνες ἀλλαχοῦ τυγχάνοντι. πολλὰ γὰρ ἂν εὕροις ἐκ τῆς παρατηρήσεως
15 »πνευματικοῖς πνευματικὰ« συγκρίνων ἄξια τῆς ἐν τοῖς εὐαγγελίοις ἀκριβοῦς σοφίας.

19. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν (15, 32 [—39]).

Ἀνωτέρω μὲν ἐπὶ τῆς ὁμοίας ταύτῃ περὶ τῶν ἄρτων ἱστορίας πρὸ
20 τῶν ἄρτων »ἐξελθὼν (ὁ Ἰησοῦς) εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτὸν καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν. καὶ ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ λέγοντες· ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα παρῆλθεν ἤδη· ἀπόλυσον αὐτούς« καὶ τὰ ἑξῆς· νῦν δὲ μετὰ τὴν θεραπείαν τῶν κωφῶν καὶ τῶν λοιπῶν σπλαγχνίζεται ἐπὶ τὸν ὄχλον τρεῖς ἤδη
25 ἡμέρας προσμένοντα αὐτῷ καὶ μὴ ἔχοντα φαγεῖν. καὶ ἐκεῖ μὲν οἱ μαθηταὶ περὶ τῶν πεντακισχιλίων ἀξιοῦσιν, ἐνθάδε δὲ ἀφ' ἑαυτοῦ περὶ τῶν τετρακισχιλίων λέγει. κἀκεῖνοι μὲν ὀψίας τρέφονται ἡμέραν αὐτῷ συνδιατρίψαντες, οὗτοι δὲ μαρτυρηθέντες ὅτι αὐτῷ τρεῖς ἡμέρας προσέμειναν μεταλαμβάνουσι τῶν ἄρτων, ἵνα μὴ ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. κἀκεῖ
30 μὲν »πέντε ἄρτους καὶ δύο ἰχθύας« φασὶν οἱ μαθηταὶ ἔχειν μόνους οὐ πυ-

4 Matth. 15, 32 — **14** Vgl. I. Kor. 2, 13 — **19—68, 24** C[marc] Nr. 5 Or. — **19 ff** Vgl. Hier. in Matth. 118 D: *supra legimus »vespere facto . . . desertus est locus« et reliqua. hic discipulis convocatis ipse dominus loquitur: »misereor turbae, quia triduo iam perseverant mecum«* etc. Vgl. auch Hilarius zur Stelle — **20** Matth. 14, 14f — **30** Matth. 14, 17

4 ῑς̄ M, vgl. Z. 17 χς H **9** ⟨οἵτινες⟩ Diehl | μετ' αὐτὸν M **17** Ὁ] vorher: *Περὶ τῶν ἑπτὰ ἄρτων* H **19** ταύτης H **20** τῶν] + ἄλλων C[marc] Nr. 5 **21** αὐτὸν] αὐτῶ M[a] **25** κἀκεῖ C[marc] Nr. 5 **27** κἀκεῖ C[marc] Nr. 5

θομένῳ, ἐνθάδε δὲ πυθομένῳ ἀποκρίνονται περὶ ἑπτὰ ἄρτων καὶ ὀλίγων ἰχθυδίων. κἀκεῖ μὲν κελεύει »τοὺς ὄχλους ἀνακλιθῆναι« οὐκ ἀναπεσεῖν »ἐπὶ τοῦ χόρτου« (καὶ γὰρ ὁ Λουκᾶς »κατακλίνατε αὐτοὺς« ἀνέγραψε· καὶ ὁ Μᾶρκος »ἐπέταξε« φησὶν »αὐτοῖς πάντας ἀνα|κλῖναι«), ἐνθάδε δὲ 510
5 *οὐ κελεύει ἀλλὰ παραγγέλλει τῷ ὄχλῳ ἀναπεσεῖν. πάλιν ἐκεῖ μὲν ⟨ταῖς⟩ αὐταῖς λέξεσιν οἱ τρεῖς εὐαγγελισταί φασιν ὅτι »λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν ηὐλόγησεν«, ἐνθάδε δὲ (ὡς ὁ Ματθαῖος καὶ Μᾶρκος ἀνέγραψαν) εὐχαριστήσας ὁ Ἰησοῦς ἔκλασε. κἀκεῖ μὲν »ἐπὶ τοῦ χόρτου« ἀνακλίνονται, ἐνθάδε δὲ ἐπὶ*
10 *τὴν γῆν ἀναπίπτουσι. ζητήσεις δὲ ἐν τοῖς κατὰ τοὺς τόπους τὸ τοῦ Ἰωάννου παρηλλαγμένον, ὃς ἐπ' ἐκείνης μὲν τῆς πράξεως ἀνέγραψεν ὅτι εἶπεν ὁ Ἰησοῦς· »ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν« καὶ ὅτι »εὐχαριστήσας ἔδωκε τοῖς ἀνακειμένοις« ἀπὸ τῶν ἄρτων, ταύτης δὲ οὐδὲ τὴν ἀρχὴν ἐμνημόνευσε.*

15 *Προσέχων οὖν τῇ διαφορᾷ τῶν κατὰ τοὺς τόπους ἐπὶ τοῖς ἄρτοις γεγραμμένων, τούτους νομίζω τάγματος εἶναι διαφέροντος παρ' ἐκείνους· διόπερ οὗτοι μὲν ἐν ὄρει τρέφονται ἐκεῖνοι δὲ ἐν ἐρήμῳ τόπῳ, καὶ οὗτοι μὲν τρεῖς παραμείναντες τῷ Ἰησοῦ ἡμέρας ἐκεῖνοι δὲ μίαν, ἧς ἐν τῇ ἑσπέρᾳ ἐτράφησαν. ἔτι δὲ εἰ μὴ ταὐτόν ἐστι τὸ ἀφ' ἑαυτοῦ ποιῆσαι*
20 *τὸν Ἰησοῦν τῷ ἀπὸ τῶν μαθητῶν ἀκούσαντα πρᾶξαι. ὅρα εἰ μὴ διαφέρουσιν οἱ εὐεργετηθέντες ὑπὸ τοῦ Ἰησοῦ αὐτόθεν ἐπὶ τῷ εὐεργετῆσαι θρέψαντος αὐτοὺς***. εἰ δὲ κατὰ τὸν Ἰωάννην κρίθινοι ἦσαν οἱ ἄρτοι, ἀφ' ὧν »ἐπερίσσευσαν« οἱ δώδεκα κόφινοι, οὐδὲν δὲ τοιοῦτον περὶ τούτων λέγεται, πῶς οὐ βελτίους οὗτοι παρὰ τοὺς προτέρους; κἀκείνων μὲν »τοὺς ἀρρώστους*
25 *ἐθεράπευσεν«, ἐνταῦθα δὲ τοὺς μετὰ τῶν ὄχλων οὐκ ἀρρώστους θεραπεύει, ἀλλὰ τυφλοὺς καὶ χωλοὺς καὶ κωφοὺς καὶ κυλλούς· διὸ καὶ ἐπὶ τούτοις μὲν θαυμάζουσιν οἱ τετρακισχίλιοι, ἐπὶ δὲ τοῖς ἀρρώστοις οὐδὲν τοιοῦτον λέλεκται. κρείττους δέ εἰσιν (οἶμαι) οἱ φαγόντες ἀπὸ τῶν ἑπτὰ εὐχαριστηθέντων ἄρτων τῶν φαγόντων ἀπὸ τῶν πέντε εὐλογηθέντων, καὶ οἱ φαγόν-*
30 *τες ἀπὸ τῶν ὀλίγων ἰχθυδίων παρὰ τοὺς φαγόντας ἀπὸ τῶν δύο· τάχα δὲ καὶ οἱ ἀναπεσόντες ἐπὶ τὴν γῆν ⟨παρὰ τοὺς ἀνακλιθέντας »ἐπὶ τοῦ χόρ-*

2f Vgl. Matth. 14, 19 — 3 Luc. 9, 14 — 4 Marc. 6, 39 — 6 Matth. 14, 19 Parr. — 9 Vgl. Matth. 14, 19 — 12 Joh. 6, 10 — Joh. 6, 11 — 22f Vgl. Joh. 6, 9. 13 — 24 Vgl. Matth. 14, 14 — 26ff Vgl. Matth. 15, 30f — 28—69, 5 Vgl. C[c] I, 126, 24 An.: *ὅμως ἐπὶ τὸ κρεῖττον κατὰ μικρὸν προέκοπτον*

2 *οὐκ* Kl mit C[marc] Nr. 5 *ἢ* M H 5 *παραγγέλλει* v *παραγγέλει* M H | *ἀναπεσεῖν* Kl mit C[marc] Nr. 5 *ἀνακλιθῆναι* M H 6 ⟨*ταῖς*⟩ Diehl 10 *τοῖς κατοὺς* H (sic) 16/17 *ἐκείνους* v *ἐκείνοις* M *ἐκείνου* H 22 *** Koe 29 *τῶν*[2] < H 31 ⟨*παρὰ τοὺς ἀνακλιθέντας ἐπὶ τοῦ χόρτου*⟩ Hautsch TU, 34, 2[a], 45

του«〉. καὶ ἐκεῖνοι μὲν ἀπὸ ὀλιγωτέρων ἄρτων »δώδεκα κοφίνους« καταλείπουσιν, οὗτοι δὲ ἀπὸ πλειόνων ἑπτὰ σπυρίδας, τῷ χωρητικώτεροι εἶναι μειζόνων. καὶ τάχα οὗτοι μὲν ἐπιβαίνουσι πάντων τῶν γηΐνων καὶ ἀναπίπτουσιν ἐπ' αὐτῶν, οἱ δ' »ἐπὶ τοῦ χόρτου« ἐπὶ μόνης τῆς σαρκὸς
5 αὐτῶν· »πᾶσα« γὰρ »σὰρξ χόρτος«. πρόσχες καὶ μετὰ ταῦτα ὅτι τούτους ἀπολῦσαι ὁ Ἰησοῦς νήστεις οὐ θέλει, ἵνα μὴ ἐκλυθῶσιν ὡς κενοὶ τῶν ἄρτων Ἰησοῦ. καὶ ἔτι ἐν τῇ ὁδῷ τυγχάνοντες τῇ ἐπὶ τὰ οἰκεῖα βλαβῶσι. σημείωσαι δὲ εἴ που ἀναγέγραπται ὁ Ἰησοῦς ἀπολελυκέναι, ἵν' ἴδῃς διαφορὰν τῶν μετὰ τὸ τραφῆναι ὑπ' αὐτοῦ ἀπολυθέντων καὶ τῶν
10 ἄλλως ἀπολυθέντων· παρά|δειγμα δὲ ἄλλως ἀπολυθέντος τὸ »γύναι, ἀπο- 511 λέλυσαι τῆς ἀσθενείας σου«. πρὸς δὲ τούτοις οἱ μὲν ἀεὶ συνόντες τῷ Ἰησοῦ μαθηταὶ οὐκ ἀπολύονται ἀπ' αὐτοῦ, οἱ δὲ ὄχλοι φαγόντες ἀπολύονται. καθὰ πάλιν οἱ μαθηταὶ μηδὲν μέγα φρονοῦντες περὶ τῆς Χαναναίας φασίν· »ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν«. ὁ δὲ σωτὴρ οὐδαμῶς αὐτὴν
15 ἀπολύων φαίνεται· εἰπὼν γὰρ αὐτῇ· »ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις« ἰάσατο μὲν τὴν θυγατέρα αὐτῆς »ἀπὸ τῆς ὥρας ἐκείνης«, οὐ μέντοι γέγραπται ὅτι ἀπέλυσεν αὐτήν. τοσαῦτα καὶ εἰς τὸ ἐκκείμενον ῥητὸν ἐπὶ τοῦ παρόντος ἐξετάσαι καὶ ἰδεῖν δεδυνήμεθα.

Τῶν εἰς τὸ κατὰ Ματθαῖον 〈εὐαγγέλιον〉 ἐξηγητικῶν Ὠριγένους τόμος ιβ'.

1. *Καὶ προσελθόντες Σαδδουκαῖοι καὶ Φαρισαῖοι, πειρά-*
20 *ζοντες ἐπηρώτων αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς* (16, 1 [—4]).

Οἱ πρὸς ἀλλήλους διαφωνοῦντες περὶ τῶν ἀναγκαιοτάτων δογμάτων Σαδδουκαῖοι καὶ Φαρισαῖοι — πρεσβεύουσι γὰρ οἱ μὲν Φαρισαῖοι τὴν τῶν νεκρῶν ἀνάστασιν ἐλπίζοντες εἶναί τινα μέλλοντα αἰῶνα, οἱ δὲ
25 Σαδδουκαῖοι οὐδὲν ἴσασι μετὰ τὸν βίον τοῦτον ἀνθρώπῳ ἀποκείμενον, ἤτοι ὡς ἐπ' ἀρετὴν προκόψαντι ἢ μηδὲ τὴν ἀρχὴν ἐπιτηδεύσαντι ἐξελ-

1 Vgl. Matth. 14, 20 — 4 Vgl. Matth. 14, 19 — 5 Jes. 40, 6 — 10 Luc. 13, 12 — 14 Matth. 15, 23 — 15ff Matth. 15, 28 — 22—71, 10 Vgl. C[marc] Nr. 6 Or. Vgl. *Π* 180 app. An.

8 *βλαβώσῃ* H[a] 17, 18 *ἐκκείμενον* Kl *ἐγκείμενον* M H ¦ 〈*εὐαγγέλιον*〉 *ϱ* 19 *Καὶ*] vorher: *Περὶ τῶν ἐπερωτησάντων σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς* H i. m.

θεῖν τῶν τῆς κακίας ὅρων — οὗτοι, ἵνα πειράσωσι τὸν Ἰησοῦν, ὁμονοοῦσιν. ὅμοιον δέ ⟨τι⟩ τούτων γεγένηται, ὡς ὁ Λουκᾶς ἀνέγραψε, πρὸς Ἡρώδην καὶ Πιλᾶτον γενομένους ἀλλήλοις φίλους, ἵνα τὸν Ἰησοῦν ἀποκτείνωσι· τάχα γὰρ ἡ μὲν πρὸς ἀλλήλους αὐτῶν μάχη ἐποίησεν ἂν τὸν
5 *μὲν Ἡρώδην μὴ εἰς χάριν τοῦ λέγοντος λαοῦ »σταύρου σταύρου αὐτὸν« ἀξιοῦν αὐτὸν ἀναιρεθῆναι, τὸν δὲ Πιλᾶτον ῥοπήν τινα ἔχοντα τὴν ὑπὲρ τοῦ ⟨ἀπολῦσαι τὸν Ἰησοῦν⟩ μὴ ἂν αὐτὸν καταδεδικάσθαι, συμβαλλομένης τῆς πρὸς Ἡρώδην ἔχθρας τῇ πρὸς τὸ ἀπολῦσαι τὸν Ἰησοῦν προϋπαρχούσῃ | ῥοπῇ. ἡ δὲ νομιζομένη φιλία τὸν Ἡρώδην ἰσχυρότερον πρὸς* 512
10 *τὴν κατὰ τοῦ Ἰησοῦ ἀξίωσιν πεποίηκε παρὰ Πιλᾶτον, βουλόμενον τάχα καὶ διὰ τὴν νεαρὰν φιλίαν κεχαρισμένον τι τῷ Ἡρώδῃ καὶ παντὶ τῷ Ἰουδαίων ἔθνει ποιῆσαι. πολλάκις δὲ καὶ νῦν ὁρᾶν ἔστιν ἐν τῷ βίῳ καὶ τοὺς διαφωνότατα δόγματα εἴτε ἐν τῇ Ἑλλήνων φιλοσοφίᾳ εἴτε καὶ ἐν ἄλλοις λόγοις ἔχοντας ὁμονοεῖν δοκοῦντας, ἵνα χλευάζωσι καὶ προσπολεμῶσι*
15 *τῷ ἐν τοῖς μαθηταῖς Ἰησοῦ Χριστῷ. ἀπὸ τούτων δ' (οἶμαι) ἔστι διαβῆναι τῷ λόγῳ ἐπὶ τὸ ἰδεῖν, ὅτι μήποτε καὶ τῶν ἀντικειμένων ἐνεργειῶν διαφωνίαν πρὸς ἀλλήλας ἐχουσῶν, ὡς Φαραὼ πρὸς Ναβουχοδονόσορ καὶ Θαραθὰ βασιλέως Αἰθιόπων πρὸς Σεναχηρεὶμ βασιλέα Ἀσσυρίων, γίνεταί ποτε συμφωνία κατὰ τοῦ Ἰησοῦ καὶ τοῦ λαοῦ αὐτοῦ, οὕτως τάχα καὶ »παρέστησαν*
20 *οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό«, οὐδαμῶς πρότερον ἀλλήλοις ὁμονοοῦντες, ἵνα σκοπήσαντες »κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ« »τὸν κύριον τῆς δόξης« ἀποκτείνωσιν.*

2. *Ἐπὶ ταῦτα δὲ τῷ λόγῳ ἐληλύθαμεν διὰ τοὺς ἅμα προσελθόντας τῷ Ἰησοῦ Φαρισαίους καὶ Σαδδουκαίους, τοὺς ἐν τοῖς περὶ ἀναστάσεως*
25 *διαφωνοῦντας. καὶ οἱονεὶ συμφωνήσαντας διὰ τὸ πειράσαι τὸν σωτῆρα ἡμῶν καὶ ἐπερωτῆσαι αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. οὐ γὰρ ἀρκούμενοι τοῖς ἐν ταῖς ἰάσεσι πάσης νόσου καὶ πάσης μαλακίας »ἐν τῷ λαῷ« τεραστίοις καὶ τοῖς ἄλλοις παραδόξοις. ἃ ἐν γνώσει πολλῶν πεποιήκει ὁ σωτὴρ ἡμῶν, ἠβούλοντο αὐτὸν ἐπιδεῖξαι αὐτοῖς*
30 *καὶ ἐξ οὐρανοῦ σημεῖον. καὶ στοχάζομαι ὅτι ὑπενόουν μὲν τὰ ἐπὶ*

2 Vgl. Luc. 23, 12 — **5** Luc. 23, 21 — **12ff** Vgl. Orig. comm. in Matth. 21, 46 (Lomm. 4, 119): *καὶ πάντες δὲ οἱ πρεσβύτεροι τῆς Ἰησοῦ διδασκαλίας λόγοι Ἑλλήνων καὶ βαρβάρων ἀπολέσαι θέλουσι τὸν Ἰησοῦν*, vgl. Harnack TU. 42, 4, 89 — **17** Vgl. IV. Regn. 24, 7 — **18** Vgl. IV. Regn. 19, 8f — **19ff** Psal. 2, 2 — **22** Vgl. I. Kor. 2, 8 — **28** Vgl. Matth. 4, 23 — **30—71, 10** Vgl. *Π* 179, 10ff An.

2 ⟨*τι*⟩ Koe **3** *γινομένους* M **3/4** *ἀποκτείνωσιν* H **6** *ἀξιοῦν αὐτὸν* M H^{c} *ἀξιοῦντος* H^{a} **7** ⟨*ἀπολῦσαι τὸν Ἰησοῦν*⟩ Koe, eine Lücke vermutete schon Hu **10** *παρὰ* Koe *πρὸς* M H **16** *μήποτε*] *τάχα* C^{marc} Nr. 6 *Π*

γῆς σημεῖα, ὡς δυνάμενα καὶ μὴ ἐκ θεοῦ εἶναι (οὐκ ὤκνησαν γοῦν λέγειν ὅτι »ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια« ὁ Ἰησοῦς), ἐδόκει δ᾽ αὐτοῖς μὴ δύνασθαι ἐξ οὐρανοῦ σημεῖον ἀπὸ Βεελζεβοὺλ ἤ τινος πονηρᾶς γίνεσθαι δυνάμεως. ἡμάρτανον δὲ περὶ ἀμφοτέρων,
5 τῶν τε ἐπὶ γῆς καὶ τῶν ἐξ οὐρανοῦ σημείων, μὴ δόκιμοι τραπεζῖται μηδὲ ἐπιστάμενοι | διακρίνειν πνεύματα ἐνεργοῦντα, ποῖα μὲν ἀπὸ τοῦ θεοῦ 513 ἐστι ποῖα δὲ ἀφεστηκότα αὐτοῦ. καὶ ἐχρῆν αὐτοὺς εἰδέναι ὅτι καὶ τὰ πολλὰ τῶν ἐπὶ Μωσέως κατὰ τῆς Αἰγύπτου τεραστίων, οὐκ ὄντα ἐξ οὐρανοῦ, σαφῶς ἦν τοῦ θεοῦ. καὶ τὸ πεσὸν »πῦρ ἐξ οὐρανοῦ« ἐπὶ τὰ πρόβατα τοῦ
10 Ἰὼβ οὐκ ἦν ἀπὸ τοῦ θεοῦ· τοῦ αὐτοῦ γὰρ ἐκεῖνο τὸ πῦρ ἦν, οὗ ἦσαν καὶ »οἱ αἰχμαλωτεύσαντες« καὶ οἱ ποιήσαντες »τρεῖς ἀρχὰς« ἱππέων κατὰ τῶν κτηνῶν τοῦ Ἰώβ. οἶμαι δ᾽ ὅτι καὶ ἐν τῷ Ἡσαΐᾳ, ὡς δυναμένων σημείων δειχθῆναι καὶ ἀπὸ γῆς καὶ ἀπὸ οὐρανοῦ (ἀληθῶν μὲν ἐκ θεοῦ, »ἐν πάσῃ« δὲ »δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους« ἀπὸ τοῦ πονηροῦ) λέλεκται
15 τῷ Ἀχάζ· »αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος«· εἰ γὰρ μὴ ἦν σημεῖα καὶ οὐ »παρὰ κυρίου τοῦ θεοῦ« τινα τῶν εἰς βάθος καὶ τῶν εἰς ὕψος, οὐκ ἂν ἐλέλεκτο τὸ »αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος«. εὖ οἶδα δὲ ὅτι δόξει τινὶ βίαιον εἶναι τὸ τοιοῦτον τῆς περὶ τοῦ »αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου
20 τοῦ θεοῦ σου« ἐκδοχῆς· ἀλλὰ ἐπίστησον τῷ εἰρημένῳ παρὰ τῷ ἀποστόλῳ περὶ τοῦ ἀνθρώπου »τῆς ἁμαρτίας«, τοῦ υἱοῦ »τῆς ἀπωλείας«, ὅτι »ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους καὶ πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις« ἐκεῖνος ἐπιφανεῖται, μιμούμενος πάντα τέρατα τὰ τῆς ἀληθείας. καὶ ὥσπερ οἱ τῶν Αἰγυπτίων ἐπαοιδοὶ καὶ φαρμακοί, ὡς ἐλάττους
25 τοῦ ἀνθρώπου »τῆς ἁμαρτίας« καὶ τοῦ υἱοῦ »τῆς ἀπωλείας«, δυνάμεις τινὰς ἐμιμήσαντο καὶ σημεῖα καὶ τέρατα τῆς ἀληθείας, ποιοῦντες τὰ τοῦ ψεύδους εἰς τὸ μὴ πιστεύεσθαι τὰ ἀληθῆ, οὕτως οἶμαι τὸν ἄνθρωπον τῆς ἁμαρτίας τὰ *** σημεῖα μιμήσασθαι καὶ τὰς δυνάμεις.

Τάχα δὲ καὶ ταῦτα ὑφορώμενοι διὰ τὰς περὶ αὐτοῦ προφητείας οἱ
30 *Φαρισαῖοι (ζητῶ δ᾽ εἰ καὶ Σαδδουκαῖοι)* πειράζοντες ἐπηρώτων σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς τὸν Ἰησοῦν. εἰ δὲ μὴ τοῦτο λέγοιμεν αὐτοὺς ὑπονενοηκέναι, τί φήσομεν αὐτοὺς πεπονθέναι πρὸς

2 Matth. 9, 34; 12, 24 — 5 Vgl. zum Vorkommen dieses Agraphons bei Origenes: Harnack TU. 42, 4, 40 — 6 Vgl. I. Kor. 12, 10 — 7 Vgl. I. Joh. 4, 1 — 8 Vgl. Job 1, 16 — 10 Vgl. Job 1, 15. 17 — 13 II. Thess. 2, 9 — 15 ff. 19 Jes. 7, 11 — 21 f. 25 Vgl. II. Thess. 2, 3 — 21 II. Thess. 2, 9 f — 24 Vgl. Ex. 7, 11

1 γοῦν] δὲ M   4 τινος + ἄλλης ρ   7 ἀφεστηκότων Koe   8 κατ᾽ Αἴγυπτον C^{marc} Nr. 6 Π   10 τοῦ^1 < M   20 σου < H   28 Lücke Kl, l. etwa ⟨τῆς ἀληθείας πάντα⟩ | μιμήσασθαι M i. m. H ποιῆσαι M i. t.

τὰ ὑπὸ τοῦ Ἰησοῦ γινόμενα τεράστια ἀτέγκτους μένοντας καὶ μὴ δυσωπουμένους τῶν γινομένων τὰ παράδοξα; ἐὰν δέ τις ὑπολαμβάνῃ ἀπολογίας ἡμᾶς ἀφορμὰς δεδωκέναι τοῖς Φαρισαίοις καὶ Σαδδουκαίοις, ὅπου μὲν »ἐν Βεελζεβοὺλ« φάσκουσιν ἐκβεβλῆσθαι ὑπὸ Ἰησοῦ τὰ δαιμόνια, ὅπου δὲ
5 ἐπερωτῶσι μετὰ τοῦ πειράζειν τὸν Ἰησοῦν περὶ σημείου οὐρανίου, ἴστω ὅτι ὑπὸ μὲν πιθανότητός φαμεν αὐτοὺς | περιεσπᾶσθαι πρὸς τὸ μὴ πιστεῦσαι 514 τοῖς τοῦ Ἰησοῦ παραδόξοις, οὐ μὴν ὥστε καὶ συγγνωστοὺς εἶναι μὴ ἐνορῶντας τοῖς τῶν προφητῶν λόγοις πληρουμένοις ἐν ταῖς πράξεσι τοῦ Ἰησοῦ, ἃς οὐδαμῶς πονηρὰ δύναμις μιμήσασθαι οἵα τε ἦν. ψυχὴν γὰρ ἐξελθοῦ-
10 σαν ἐπιστρέψαι, ὥστε ἤδη ὄζοντα καὶ τετάρτην ἡμέραν ἄγοντα ἀπὸ τῶν μνημείων ἐξελθεῖν, οὐδενὸς ἦν ἢ τοῦ ἀκούσαντος ἀπὸ τοῦ πατρός· »ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν«. ἀλλὰ καὶ ἀνέμοις κελεῦσαι καὶ ὁρμὴν θαλάσσης λόγῳ παῦσαι, οὐδενὸς ἄλλου ἦν ἢ ἐκείνου, »δι' οὗ τὰ πάντα« καὶ αὐτὴ ἡ θάλασσα καὶ οἱ ἄνεμοι γεγόνασιν. ἔτι δὲ
15 καὶ ἡ διδασκαλία ἐπὶ τὴν ἀγάπην τοῦ κτίσαντος προ[σ]καλουμένη συνᾳδόντως νόμῳ καὶ προφήταις καὶ τὰς ὁρμὰς καταστέλλουσα καὶ τὰ ἤθη κατ' εὐσέβειαν μορφοῦσα, τί ἄλλο ἐδήλου τοῖς ὁρᾶν δυναμένοις ἢ ὅτι »ἀληθῶς θεοῦ υἱός« ἦν ὁ τὰ τοσαῦτα ἐργαζόμενος; ἐφ' οἷς εἶπε καὶ τοῖς μαθηταῖς τοῦ Ἰωάννου· »πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ὅσα εἴδετε καὶ
20 ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι« καὶ τὰ ἑξῆς.

3. Μετὰ ταῦτα κατανοήσωμεν τίνα τρόπον, ἐπερωτηθεὶς περὶ σημείου ἑνός, ἵν' ἐκ τοῦ οὐρανοῦ ἐπιδείξῃ τοῖς ἐπερωτήσασι Φαρισαίοις καὶ Σαδδουκαίοις, ἀποκρίνεται καὶ λέγει· γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ
25 τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, ὅτε καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθε. τὸ σημεῖον δὲ ἄρα τοῦ Ἰωνᾶ κατὰ τὴν ἐρώτησιν αὐτῶν οὐχ ἁπλῶς σημεῖον ἦν, ἀλλὰ καὶ ἐξ οὐρανοῦ· ὥστε αὐτὸν καὶ τοῖς πειράζουσι καὶ ἐπιζητοῦσι σημεῖον ἐξ οὐρανοῦ οὐδὲν ἧττον κατὰ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα δεδωκέναι τὸ σημεῖον. εἰ γὰρ ὡς Ἰωνᾶς
30 ἐποίησεν »ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς« καὶ μετὰ τοῦτο ἀνέστη ἀπ' αὐτῆς, πόθεν ἂν λέγοιμεν τὸ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ γεγονέναι σημεῖον ἢ ἀπὸ τοῦ οὐρανοῦ; καὶ μάλιστα ἐπεὶ παρὰ τὸν καιρὸν τοῦ πάθους

4f Vgl. Matth. 12, 24 — **10f** Vgl. Joh. 11, 39 — **11** Gen. 1, 26 — **12ff** Vgl. Matth. 8, 26 — **14** I. Kor. 8, 6 — **14—16** Vgl. Matth. 23, 37—40 — **17** Vgl. Matth. 14, 33 — **19** Matth. 11, 4 — **30ff** Vgl. Π 181, 6ff An. — **30f** Matth. 12, 40 — **33f** Vgl. Luc. 23, 43

2 γιγνομένων M[c] H | ὑπολαμβάνει M **6** πειθανότητος H **10** ἤδη + ⟨τὸν⟩ Koe **15** προ[σ]καλουμένη Kl **28** ἐπιζητοῦσι] καὶ αἰτοῦσι M **29** ἑαυτοῦ H

γέγονεν ἅμα τῷ εὐεργετουμένῳ λῃστῇ εἰς τὸν παράδεισον τοῦ θεοῦ, μετὰ τοῦτο (οἶμαι) καταβαίνων εἰς ᾅδου πρὸς τοὺς νεκροὺς ὡς »ἐν νεκροῖς ἐλεύθερος«. καὶ δοκεῖ μοι συνάπτειν τὸ ἀφ' ἑαυτοῦ σημεῖον ὁ σωτὴρ τῷ λόγῳ τοῦ κατὰ τὸν Ἰωνᾶν σημείου, λέγων οὐχ ὅμοιον ἐκείνῳ
5 μόνον δίδοσθαι σημεῖον ὑπ' αὐτοῦ, ἀλλὰ καὶ αὐτὸ ἐκεῖνο. πρόσχες γὰρ τῷ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. οὐκοῦν ἐκεῖνο τοῦτο ἦν τῷ ἐκεῖνο τούτου δηλωτικὸν γεγονέναι, ἵνα ἡ ἐκείνου λύσις τοῦ σημείου ἀσάφειαν αὐτόθεν ἔχοντος τὸ παθεῖν ᾖ τὸν σωτῆρα καὶ »ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ | τρεῖς 515
10 νύκτας« πεποιηκέναι. ἅμα δὲ καὶ καθολικόν τι μανθάνομεν ὅτι, εἴπερ τὸ σημεῖον σημαίνει τι, ἕκαστον τῶν ἀναγεγραμμένων σημείων (εἴτε ὡς ἐν γενομένῃ ἱστορίᾳ εἴτε ὡς <ἐν> ἐντολῇ) δηλωτικόν τινός ἐστιν ὕστερον πληρουμένου· οἷον τὸ σημεῖον Ἰωνᾶ, ἐξιόντος μετὰ τρεῖς ἡμέρας ἀπὸ τῆς κοιλίας »τοῦ κήτους«, τῆς τοῦ σωτῆρος ἡμῶν ἦν ἀναστάσεως μετὰ
15 »τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας« ἀνισταμένου ἀπὸ τῶν νεκρῶν, καὶ ἡ περιτομὴ λεγομένη »σημεῖον« τῆς παρὰ τῷ Παύλῳ δηλουμένης ἐν τῷ· »ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή«. ζήτει δὲ καὶ σὺ πᾶν τὸ ἐν τοῖς παλαιοῖς γράμμασι σημεῖον τίνος ἐν τῇ καινῇ γρα<φῇ τύπος πράγ>ματός ἐστι, καὶ τὸ ἐν τῇ καινῇ διαθήκῃ ὀνομασθὲν σημεῖον τίνος ἐστὶν ἢ ἐν τῷ μέλλοντι αἰῶνι δη-
20 λωτικὸν ἢ καὶ ἐν ταῖς ὕστερον γενεαῖς μετὰ τὸ γεγονέναι τὸ σημεῖον.

4. Καὶ πονηρὰν μὲν εἶπεν αὐτοὺς γενεὰν διὰ τὴν ἀπὸ τοῦ πονηροῦ ποιότητα εἰς αὐτοὺς ἐγγενομένην (ἔστι δὲ ἡ πονηρία ἑκούσιος κακοποιία), μοιχαλίδα δὲ διὰ τοῦτο, ἐπεὶ τὸν τροπικῶς λεγόμενον ἄνδρα, τῆς ἀληθείας λόγον ἢ νόμον, καταλιπόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι ἐμοι-
25 χεύθησαν ὑπὸ τοῦ ψεύδους καὶ τοῦ νόμου »τῆς ἁμαρτίας«. εἰ γὰρ δύο εἰσὶ νόμοι, ὅ τε »ἐν τοῖς μέλεσιν« ἡμῶν ἀντιστρατευόμενος »τῷ νόμῳ τοῦ νοὸς« καὶ ὁ »τοῦ νοός«, λεκτέον ὅτι ὁ μὲν »τοῦ νοὸς« (τουτέστιν ὁ »πνευματικὸς«) ἀνήρ ἐστι, πρὸς ὃν ἡρμόσθη ἀπὸ θεοῦ γυνὴ (ἡ ψυχὴ) ἀνδρὶ (»τῷ νόμῳ«) κατὰ τὸ γεγραμμένον »παρὰ δὲ θεοῦ ἁρμόζεται ἀνδρὶ γυνή«, ὁ δὲ
30 ἄλλος μοιχός ἐστι τῆς ὑποτασσομένης αὐτῷ ψυχῆς καὶ δι' αὐτὸν μοιχα-

2 Psal. 87, 6 — 9 Matth. 12, 40 — 13ff Vgl. Matth. 12, 40 — 16 Vgl. Röm. 4, 11 — Phil. 3, 3 — 23f Vgl. Eph. 1, 13 — 25 Vgl. Röm. 7, 23 — 26ff Röm. 7, 23 — 27 Vgl. Röm. 7, 14 — 28 Vgl. Röm. 7, 2 — 29 Prov. 19, 11

1 γέγονεν ἅμα τῷ Kl mit Π γεγονέναι σημεῖον MH | παράδεισον + εἰσελθεῖν ρ 2 πρὸς s. l. H[c] 4 ἐκείνω MH[c. r.] ἐκεῖνο H[a] 5 μόνω H 8 λύσης H 12 <ἐν> λ | ἐντολῆς M 14 κήτους«, <σημεῖον> Koe | ἡμῶν < M 17 τὸ] τῶ H 18 γρα<φῇ τύπος πράγ>ματός Kl γράμματος MH[a], i. m. γραφῇ H[c. r.] 22 πιότητα M 26 ὅ τε] οὔτε M

λίδος χρηματιζούσης. ὅτι δὲ ὁ νόμος ἀνὴρ τῆς ψυχῆς ἐστι, σαφῶς ἐν τῇ πρὸς Ῥωμαίους ὁ Παῦλος παριστᾷ λέγων ὅτι »ὁ νόμος κυριεύει τοῦ ἀν-θρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ· ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ« καὶ τὰ ἑξῆς. πρόσχες γὰρ ἐν τούτοις ὅτι »ὁ νόμος κυριεύει
5 *τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ (ὁ νόμος ὡς ἀνὴρ γυναικός)· ἡ γὰρ ὕπανδρος γυνὴ (ἡ ὑπὸ τὸν νόμον ψυχὴ) τῷ ζῶντι ἀνδρὶ δέδεται (ὄντι) νό-μῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ (ὁ νόμος) κατήργηται ἀπὸ τοῦ νόμου (ὅς ἐστιν ἀνήρ)«. ἀποθνήσκει δὲ ὁ νόμος τῷ ἀναβάντι ἐπὶ τὴν μακαριότητα καὶ μηκέτι ὑπὸ νόμον πολιτευομένῳ, ἀλλ᾽ ὡς ὁ Χριστὸς πράττοντι, ὃς*
10 *εἰ καὶ γέγονεν »ὑπὸ νόμον« διὰ τοὺς ὑπὸ νόμον, »ἵνα τοὺς ὑπὸ νόμον κερ-δήσῃ«, οὔτε ἔμεινεν ὑπὸ νόμον οὔτε ἀφῆκεν ὑπὸ νόμον τοὺς ὑπ᾽ αὐτοῦ ἐλευθερωθέντας· ἀνήγαγε γὰρ αὐτοὺς ἅμα ἑαυτῷ ἐπὶ τὴν ὑπὲρ τὸν νό-μον θείαν πολιτείαν, τὸν περιέχοντα (ὡς πρὸς τοὺς ἀτελε|στέρους καὶ ἔτι* 516
ἁμαρτάνοντας) θυσίας περὶ ἀφέσεως ἁμαρτημάτων. ὁ οὖν ἀναμάρτητος
15 *καὶ μηκέτι δεόμενος τῶν νομικῶν θυσιῶν ὑπερβέβηκε τελειωθεὶς τάχα καὶ τὸν πνευματικὸν νόμον, καὶ γέγονεν ἐν τῷ ὑπὲρ αὐτὸν λόγῳ, ὅστις τοῖς μὲν ἐν σαρκὶ ζῶσι »σὰρξ« ἐγεγόνει, τοῖς δὲ μηδαμῶς ἔτι »κατὰ σάρκα« στρατευομένοις, ὡς ἦν »ἐν ἀρχῇ πρὸς τὸν θεόν«, θεὸς λόγος ὤν, θεωρεῖται καὶ ἀποκαλύπτει τὸν πατέρα. τρία τοίνυν κατὰ τὸν τόπον νοητέον, γυναῖκα*
20 *ὕπανδρον ὑπὸ ἄνδρα τὸν νόμον, καὶ γυναῖκα μοιχαλίδα »ζῶντος τοῦ ἀνδρὸς« νόμου »γινομένην ἀνδρὶ ἑτέρῳ«, τῷ νόμῳ τῆς σαρκός, τὴν ψυχήν, καὶ γυ-ναῖκα τῷ ἀδελφῷ τοῦ τεθνηκότος ἀνδρὸς γαμουμένην, τῷ ζῶντι καὶ μὴ ἀποθνήσκοντι λόγῳ, ὃς »ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος« γὰρ »αὐτοῦ οὐκέτι κυριεύει«.*

25 *Καὶ ταῦτα διὰ τὸ »ἐὰν ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρὸς« καὶ διὰ τὸ »ἄρ᾽ οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ« καὶ διὰ τὸ »ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ«. αὐτὸ δὲ τὸ »ἄρ᾽ οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει« παρειλήφαμεν βουλόμενοι*
30 *σαφῶς παραστῆσαι, διὰ τί τοῖς πειράζουσι Φαρισαίοις καὶ Σαδδουκαίοις καὶ ἐπιζητοῦσι σημεῖον ἐξ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς ὁ Ἰησοῦς*

2. 4ff Röm. 7, 1f — **10f** Vgl. I. Kor. 9, 20 — **13f** Vgl. Hebr. 5, 1 — **16** Vgl. Röm. 7, 14 — **17** Vgl. Gal. 2, 20; Phil. 1, 22 — Vgl. Joh. 1, 14 — Vgl. II. Kor. 10, 3 — **18** Vgl. Joh. 1, 2 — **19ff** Vgl. Röm. 7, 1—3 — **23** Röm. 6, 9 — **25** Röm. 7, 2 — **25. 27. 28** Röm. 7, 3

4 *κυριεύῃ* H 7 *ὁ*[1] < M 8 *ἐπὶ*] *ὑπὸ* M 9 *πράττοντι* Kl *πράττων* M H 18 *ὡς* ϱ *ὃς* M H | *τὸν* < H 19 *νοητέον* Kl *νομιστέον* M H 21 *τὴν ψυχὴν* M^{c} *τῇ ψυχῇ* M^{a} H^{a}, i. m. *οἶμαι τὴν ψυχήν* H^{c} 25 *ἐὰν*] + ⟨*δὲ*⟩ *λ* 26 *χρηματίσει ἐὰν* υ *χρηματίσειεν ἂν* M H

εἶπεν οὐ μόνον τὸ γενεὰ πονηρά, ἀλλὰ καὶ μοιχαλίς. γενικῶς μὲν οὖν ὁ ἐν τοῖς μέλεσι νόμος ὁ ἀντιστρατευόμενος »τῷ νόμῳ τοῦ νοὸς« ὡς μοιχὸς ἀνήρ μοιχός ἐστι τῆς ψυχῆς· ἤδη δὲ καὶ πᾶσα δύναμις ἀντικειμένη. ἐπικρατοῦσα τῆς ἀνθρωπίνης ψυχῆς καὶ ἀναμιγνυμένη αὐτῇ, μοιχός ἐστιν
5 αὐτῆς, νυμφίον ἐχούσης ὑπὸ τοῦ θεοῦ αὐτῇ δοθέντα τὸν λόγον. μετὰ ταῦτα γέγραπται ὅτι καταλιπὼν αὐτοὺς ἀπῆλθεν· πῶς γὰρ οὐκ ἔμελλεν ὁ νυμφίος λόγος καταλιπεῖν τὴν μοιχαλίδα γενεὰν καὶ ἀπιέναι ἀπ᾽ αὐτῆς; εἴποις δ᾽ ἂν ὅτι τὴν Ἰουδαίων συναγωγὴν ὡς μοιχαλίδα καταλιπὼν ὁ τοῦ θεοῦ λόγος ἀπελήλυθεν ἀπ᾽ αὐτῆς, καὶ ἔλαβε »γυναῖκα πορνείας« τοὺς
10 ἀπὸ τῶν ἐθνῶν· ἐπεὶ ἐκεῖνοι μὲν ὄντες »πόλις πιστὴ Σιὼν« γεγόνασι πόρνοι, οὗτοι δὲ ὡς ἡ Ῥαὰβ ἡ πόρνη τοὺς τοῦ Ἰησοῦ κατασκόπους ὑποδεξαμένη διεσώθη πανοικί, μετὰ τοῦτο μηκέτι πορνεύουσα, ἀλλὰ | ἐλθοῦσα παρὰ τοὺς 517 τοῦ Ἰησοῦ πόδας καὶ βρέχουσα αὐτοὺς τοῖς τῆς μετανοίας δάκρυσι καὶ ἀλείφουσα τῇ τῆς ἁγίας πολιτείας τῶν μύρων εὐωδίᾳ, δι᾽ ἣν Σίμωνι τῷ
15 λεπρῷ (τῷ προτέρῳ λαῷ) ὀνειδίζων ἔλεγεν ὅσα γέγραπται.

5. Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν (16, 5 [—12]).

Ἐπεὶ μὴ χρήσιμοι ἦσαν οἱ ἄρτοι οἱ πρὸ τοῦ πέραν τοῖς ἐλθοῦσι μαθηταῖς εἰς τὸ πέραν (ἄλλων γὰρ ἔχρῃζον πρὸ τοῦ πέραν καὶ ἄλλων
20 ἐδέοντο εἰς τὸ πέραν), διὰ τοῦτο ἀμελήσαντες τοῦ ἐπάγεσθαι ἀπιόντες εἰς τὸ πέραν ἄρτους, ἐπελάθοντο αὐτοὺς σὺν ἑαυτοῖς λαβεῖν. εἰς τὸ πέραν δὲ γεγόνασι μαθηταὶ τοῦ Ἰησοῦ οἱ διαβάντες ἀπὸ τῶν σωματικῶν ἐπὶ τὰ πνευματικὰ καὶ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά. καὶ τάχα ἵνα ἀποστρέψηται τοὺς (διὰ τοῦ ἐφθακέναι εἰς τὸ πέραν) ἀρξαμένους
25 πνεύματι τοῦ παλινδρομεῖν ἐπὶ τὰ σάρκινα, εἶπε τοῖς εἰς τὸ πέραν ὁ Ἰησοῦς· ὁρᾶτε καὶ προσέχετε. ἦν γάρ τι φύραμα διδασκαλίας καὶ ζύμης ἀληθῶς παλαιᾶς, τῆς κατὰ τὸ ψιλὸν γράμμα καὶ διὰ τοῦτο οὐκ ἀπηλλαγμένης τῶν ἀπὸ κακίας, ὅπερ παρεῖχον Φαρισαῖοι καὶ Σαδδουκαῖοι ἀφ᾽ ἧς οὐ βούλεται Ἰησοῦς ἐσθίειν ἔτι τοὺς ἰδίους μαθητὰς ποιήσας
30 αὐτοῖς »νέον« καὶ πνευματικὸν »φύραμα«, ἑαυτὸν παρασχὼν (τοῖς ἀποστᾶσι τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων καὶ προσεληλυθόσιν αὐτῷ) ἄρτον ζῶντα ἐξ οὐρανοῦ καταβεβηκότα καὶ ζωὴν διδόντα »τῷ κόσμῳ«. ἐπεὶ δὲ ὁδός ἐστι τῷ μηκέτι χρησομένῳ ζύμῃ

1f Vgl. Röm. 7, 23 — **9** Vgl. Hos. 1, 2 — **10** Vgl. Jes. 1, 21 — **11** Vgl. Jos. 6, 25 — **13f** Vgl. Luc. 7, 38; Joh. 12, 3 — **15** Vgl. Luc. 7, 40ff (vgl. Matth. 26, 6 Par.) — **19—78, 10** Vgl. *Π* 182, 14ff. An. — **24f** Vgl. Gal. 3, 3 — **27ff** Vgl. I. Kor. 5, 7f — **30** Vgl. I. Kor. 5, 7 — **31ff** Vgl. Joh. 6, 51. 33 — **33—79, 3** Vgl. C[marc] Nr. 7.

1 *γενικὸς* M **4** *αὔτη* H **7** *ἀπιέναι* Kl. vgl. S. 1, 6 *ἀπεῖναι* M H **16** *Καὶ*] vorher: *Περὶ τῆς ζύμης τῶν Φαρισαίων* H **24** *τοῦ*] *το* M **25** *τοῦ* < M

καὶ φυράματι καὶ διδασκαλίᾳ *Φαρισαίων καὶ Σαδδουκαίων* πρότερον μὲν τὸ θεωρεῖν δεύτερον δὲ τὸ προσέχειν, ἵνα μήποτε ἐκ τοῦ μὴ βλέπειν καὶ ἐξ ἀπροσεξίας μεταλάβῃ τις τῆς ἀπηγορευμένης *ζύμης* ἐκείνων, διὰ τοῦτο πρῶτον τὸ *ὁρᾶτε* λέγει τοῖς μαθηταῖς καὶ δεύτερον τὸ | *προσέ-* 518
5 *χετε*. διορατικῶν οὖν ἐστι καὶ προσεκτικῶν χωρίζειν τὴν ζύμην *τῶν Φαρισαίων καὶ Σαδδουκαίων* καὶ πᾶσαν οὐκ ἀζύμων »εἰλικρινείας καὶ ἀληθείας« τροφὴν ἀπὸ τοῦ ζῶντος ἄρτου καὶ ἐξ οὐρανοῦ καταβεβηκότος, ἵνα τὰ μὲν *τῶν Φαρισαίων καὶ Σαδδουκαίων* μὴ προσίηται τὸν δὲ ζῶντα καὶ ἀληθινὸν ἄρτον ἐσθίων τις ῥωσθῇ τὴν ψυχήν.
10 Καὶ τὸ ῥητὸν δὲ εὐκαίρως ἂν προσφέροιμεν τοῖς μετὰ τοῦ Χριστιανίζειν αἱρουμένοις τὸ σωματικῶς Ἰουδαΐζειν· οὗτοι γὰρ οὐχ ὁρῶσιν οὐδὲ προσέχουσιν *ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων*, ἀλλὰ παρὰ τὸ βούλημα τοῦ ἀπαγορεύσαντος αὐτὴν Ἰησοῦ τὸν *Φαρισαίων* ἄρτον ἐσθίουσι. καὶ πάντες δ' (οἶμαι) ὅσοι οὐ βούλονται φρονεῖν ὅτι »ὁ
15 νόμος πνευματικός ἐστιν« καὶ »σκιὰν« ἔχει »τῶν μελλόντων ἀγαθῶν« καὶ »σκιά ἐστι τῶν μελλόντων«, οὐδὲ ζητοῦσι τίνος μέλλοντος ἀγαθοῦ ἐστι σκιὰ ἕκαστος τῶν νόμων, οὐχ ὁρῶσιν οὐδὲ προσέχουσιν *ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων*. οἱ δὲ καὶ τὴν τῶν νεκρῶν ἀθετοῦντες ἀνάστασιν οὐ φυλάττονται *ἀπὸ τῆς ζύμης τῶν Σαδδουκαίων*, καὶ πολλοί γε ἐν
20 τοῖς ἑτεροδόξοις διὰ τὴν περὶ ἀναστάσεως νεκρῶν ἀπιστίαν εἰσὶν οἱ ἐμφυρόμενοι τῇ *τῶν Σαδδουκαίων* ζύμῃ. ταῦτα δὴ λέγοντος τοῦ Ἰησοῦ *διελογίζοντο ἐν ἑαυτοῖς* οὐ γεγωνὸς *λέγοντες* οἱ μαθηταί, ἀλλ' ἐν ταῖς καρδίαις ἑαυτῶν· *ὅτι ἄρτους οὐκ ἐλάβομεν*. καὶ οἱονεὶ τοιαῦτα ἦν ἃ ἔλεγον· εἰ μὲν εἴχομεν *ἄρτους*, οὐκ ἂν *ἀπὸ τῆς ζύμης τῶν*
25 *Φαρισαίων καὶ Σαδδουκαίων* εἰλήφειμεν· ἐπεὶ δὲ ἀπορίᾳ ἄρτων κινδυνεύομεν ἀπὸ τῆς ἐκείνων ζύμης λαβεῖν, οὐ βούλεται δ' ἡμᾶς ὁ σωτὴρ παλινδρομεῖν ἐπὶ τὴν ἐκείνων διδασκαλίαν, διὰ τοῦτο ἡμῖν εἶπε τὸ *ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων*. καὶ ταῦτα μὲν ἐκεῖνοι *διελογίζοντο*· ὁ δὲ βλέπων
30 *Ἰησοῦς* τὰ ἐν ταῖς καρδίαις αὐτῶν καὶ ἀκούων τῶν ἐν αὐταῖς λόγων, ὡς τῶν καρδιῶν ἐπίσκοπος ἀληθής, ἐπιπλήσσει αὐτοῖς ὡς οὐ νοοῦσιν οὐδὲ μεμνημένοις ἄρτων, ὧν παρ' αὐτοῦ εἰλήφασι, δι' οὓς καὶ ἐν ἀπορίᾳ δοκοῦντες εἶναι ἄρτων οὐκ ἔχρῃζον *τῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ζύμης*.

5 Vgl. oben S. 62, 15f — 6 Vgl. I. Kor. 5, 8 — 7. 9 Vgl. Joh. 6, 51. 33 — 14 Röm. 7, 14 — 15 Hebr. 10, 1 — 16 Kol. 2, 17 — 18 Vgl. I. Kor. 15, 12ff — 30 Vgl. I. Pet. 2, 25? Act. 15, 8?

2 τὸ[1]] τῷ H   3 μεταλάβῃς ἐκ τῆς M   6 σαδδουκαίων καὶ φαρισαίων H   9 ἄρτων H   23 ἑαυτὸν M   27 τῇ . . . διδασκαλίᾳ H[a]   33 τῆς] τοῖς H

6. *Εἶτα σαφηνίζων καὶ γυμνότερον παριστὰς (τοῖς περιελκομένοις διὰ τὴν ὁμωνυμίαν ἄρτου καὶ ζύμης) ὅτι μὴ περὶ αἰσθητοῦ ἔλεγεν αὐτοῖς ἄρτου, ἀλλὰ περὶ τῆς ἐν τῇ διδασκαλίᾳ ζύμης, ἐπιφέρει τὸ πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν; προσέχετε δὲ ἀπὸ τῆς ζύμης*
5 *τῶν Φαρισαίων καὶ Σαδδουκαίων. καίτοι μηδὲ γυμνώσαντος αὐτοῦ τὴν ἑρμηνείαν ἀλλ᾽ ἔτι ἐπιμένοντος τῇ τροπολογίᾳ, συνῆκαν οἱ μαθηταὶ ὅτι ὁ λόγος τῷ σωτῆρι ἦν | περὶ διδασκαλίας, τροπικῶς ζύμης εἰρημένης,* 519 *ἣν ἐδίδασκον Φαρισαῖοι καὶ Σαδδουκαῖοι. ὅσον μὲν οὖν ἔχομεν σὺν ἡμῖν τὸν Ἰησοῦν ποιοῦντα τὴν φάσκουσαν ἐπαγγελίαν· »ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν*
10 *εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος«, οὐ δυνάμεθα »νηστεύειν« οὐδὲ ἀπορεῖν τροφῆς, ὡς διὰ τὴν ἀπορίαν αὐτῆς ζητεῖν κἂν παρὰ Φαρισαίων καὶ Σαδδουκαίων τῆς ἀπηγορευμένης ζύμης λαμβάνειν καὶ ἐσθίειν. γένοιτο δ᾽ ἄν ποτε καιρός, συνόντος αὐτοῦ, τοῦ ἡμᾶς ἀτροφεῖν, ὡς ἐν τοῖς ἀνωτέρω λέλεκται ἐν τῷ »ἤδη ἡμέρας τρεῖς παραμένουσί*
15 *μοι καὶ οὐκ ἔχουσι τί φάγωσιν«. ἀλλὰ κἂν τοῦτο συμβῇ, μὴ βουλόμενος ἡμᾶς »νήστεις ἀπολῦσαι, μήποτε ἐκλυθῶμεν ἐν τῇ ὁδῷ«, εὐχαριστεῖ ἐπὶ τοῖς παρὰ τοῖς μαθηταῖς ἄρτοις καὶ ποιεῖ ἡμῖν περισσεῦσαι ἀπὸ τῶν ἑπτὰ (ὡς ἀποδεδώκαμεν) ἄρτων τὰς ἑπτὰ σπυρίδας. ἔτι δὲ καὶ τοῦτο τηρητέον (διὰ τοὺς οἰομένους μὴ πάνυ τι τὴν θεότητα παρίστασθαι τοῦ σωτῆ-*
20 *ρος ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου), ὅτι [τὸ] διαλογιζομένων ἐν ἑαυτοῖς τῶν μαθητῶν καὶ λεγόντων ἄρτους μὴ ἔχειν ⟨τὸ⟩ γνῶναι τοὺς διαλογισμοὺς τὸν Ἰησοῦν καὶ εἰπεῖν· τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε, οὐκ ἀνθρώπινον ἦν· »μονώτατος« γὰρ γινώσκει τὰς καρδίας τῶν ἀνθρώπων (ὡς ὁ Σολομῶν ἐν τῇ τρίτῃ τῶν Βασι-*
25 *λειῶν φησιν) ὁ κύριος. ἐπεὶ δὲ τοῦ Ἰησοῦ εἰπόντος· προσέχετε ἀπὸ τῆς ζύμης, συνῆκαν οἱ μαθηταὶ ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῶν ἄρτων, ἀλλ᾽ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἐπιστήσεις εἰ, ὅπου ποτ᾽ ἂν ζύμη ὀνομασθῇ, εἰς διδαχὴν τροπολογεῖται, εἴτε ἐν νόμῳ εἴτε καὶ ἐν ταῖς μετὰ τὸν νόμον γραφαῖς. οὕτω*
30 *δὲ μήποτε ζύμη οὐ προσφέρεται ἐπὶ τὸ θυσιαστήριον· οὐ γὰρ δεῖ τὰς εὐχὰς τρόπον ἔχειν διδασκαλίας, ἀλλ᾽ εἶναι αὐτὸ μόνον αἰτήσεις ἀγαθῶν ἀπὸ τοῦ θεοῦ. ζητήσαι δ᾽ ἄν τις διὰ τὰ ἀποδεδομένα περὶ τῶν μαθητῶν*

5 Vgl. Chrysostomus: *καίτοι αὐτοῦ τοῦτο μὴ ἑρμηνεύσαντος* — **9** Matth. 28, 20 — **10** Vgl. Marc. 2, 19 Parr. — **14ff** Matth. 15, 32ff — **18ff** Vgl. Harnack TU. 42, 4, 22: „Verehrer des Johannesevangeliums" — **23** III. Regn. 8, 39 — **30** Vgl. Lev. 2, 11 — **32—78, 11** Vgl. *Π* 182, 16ff An.

1 *παρελκομένοις* M **2** *ὁμονυμίαν* H[a] | *ἔλεγον* H **3** *τῇ* < M **12** *σαδουκαίων* H **20f** [*τὸ*] ... ⟨*τὸ*⟩ Koe **28** *ὀνομασθῇ* Kl *ὠνομάσθη* M H

ἐλθόντων εἰς τὸ πέραν, εἰ δύναταί τις ἐλθὼν εἰς τὸ πέραν ὀνειδί-
ζεσθαι ὡς ὀλιγόπιστος καὶ ὡς οὐδέπω νοῶν οὐδὲ μνημονεύων τῶν ὑπὸ
τοῦ Ἰησοῦ γεγενημένων. οὐ χαλεπὸν δ' (οἶμαι) πρὸς τοῦτο εἰπεῖν ὅτι,
ὡς πρὸς »τὸ τέλειον«, ὅπερ »ὅταν ἔλθῃ, τὸ ἐκ μέρους καταργηθήσεται«,
5 πᾶσα ἡ ἐνταῦθα πίστις ἡμῶν ὀλιγοπιστία ἐστί, καὶ ὡς πρὸς ἐκεῖνο οὐδέπω
νοοῦμεν οἱ »ἐκ μέρους« γινώσκοντες οὐδὲ μνημονεύομεν· οὐ γὰρ διαρκῆ
καὶ συμπαρεκτεινομένην μνήμην ἀναλαβεῖν δυνάμεθα τῷ πλήθει τῆς
φύσεως τῶν θεωρημάτων.

7. Ἔτι δὲ ἔστι καὶ ἐντεῦθεν μαθεῖν ὅτι καὶ ἐπὶ μόνοις διαλογισμοῖς
10 οὓς ἐν ἑαυτοῖς διαλογιζόμεθα, ἔσθ' ὅτε ἐγκαλούμεθα καὶ ὡς ὀλιγό-
πιστοι ὀνειδιζόμεθα. | ἐγὼ δ' οἶμαι ὅτι. ὥσπερ μοιχεύει τις »ἐν τῇ καρ- 520
δίᾳ« μόνῃ οὐ πάντως φθάνων καὶ ἐπὶ τὴν πρᾶξιν, οὕτω καὶ τὰ λοιπὰ τῶν
ἀπηγορευμένων ἐν μόνῃ τῇ καρδίᾳ τις πράττει. ὡς οὖν ὁ μοιχεύσας »ἐν
τῇ καρδίᾳ« ἀνάλογον τῇ τοιαύτῃ μοιχείᾳ κολασθήσεται, οὕτως καὶ ὁ τῶν
15 ἀπηγορευμένων τι ποιήσας ἐν τῇ καρδίᾳ, φέρ' εἰπεῖν κλέψας ἐν μόνῃ καρ-
δίᾳ ἢ ψευδομαρτυρήσας ἐν μόνῃ καρδίᾳ, οὐχ ὡς ὁ καὶ ἔργῳ μὲν κλέψας
ἢ καὶ τὴν πρᾶξιν τῆς ψευδομαρτυρίας ἐπιτελέσας, ὡς δὲ μόνον ἐν τῇ καρδίᾳ
τὰ τοιαῦτα ποιήσας κολασθήσεται, καὶ τοῦτο, εἰ παρ' αὐτὸν μὴ ἦλθε
καὶ ἐπὶ τὴν μοχθηρὰν πρᾶξιν· εἰ γὰρ πρὸς τῷ βεβουλῆσθαι ἐνεχείρησε μὲν
20 οὐ τέτευχε δέ, κολασθήσεται οὐχ ὡς τῇ καρδίᾳ μόνῃ, ἀλλὰ καὶ τῇ πράξει
ἡμαρτηκώς. ζητήσαι δ' ἄν τις πρὸς τὰ τοιαῦτα, εἰ μοιχεύει μέν τις »ἐν
τῇ καρδίᾳ« μόνῃ κἂν μὴ τὸ ἔργον τῆς μοιχείας ποιήσῃ, οὐ σωφρονεῖ δὲ ἐν
μόνῃ τῇ καρδίᾳ· τὸ παραπλήσιον δὲ καὶ περὶ τῶν λοιπῶν ποιήσεις ἐπαι-
νετῶν. ἔχει δέ τι πιθανῶς ἡμᾶς παραλογίσασθαι δυνάμενον ὁ τόπος,
25 ὅπερ τοῦτον (οἶμαι) καθαρτέον τὸν τρόπον· μοιχεία μὲν γενομένη »ἐν
τῇ καρδίᾳ« ἔλαττόν ἐστιν ἁμάρτημα ἢ εἰ προσθείη τις καὶ τὴν πρᾶξιν·
ἀμήχανον δὲ σωφροσύνην εἶναι ἐν καρδίᾳ ἐμποδίζουσαν τῇ σωφρονικῇ
πράξει, εἰ μὴ ἄρα τις καὶ ἐπὶ τούτου τὴν ἐν ἐρημίᾳ βιασθεῖσαν παραλάβοι
(κατὰ τὸν νόμον) εἰς παράδειγμα παρθένον. ἔστω γὰρ τὴν καρδίαν τινὸς
30 εἶναι καθαρωτάτην, τὴν δὲ βίαν πεποιηκέναι, ⟨τὴν⟩ ἐν τῷ ἀκολάστῳ, τὴν
φθορὰν τοῦ σώματος τῆς σώφρονος — αὕτη δὴ δοκεῖ μοι σώφρων μὲν πάντως
εἶναι ἐν τῷ κρυπτῷ, τῷ δὲ σώματι οὐκέτι εἶναι καθαρὰ ὁποία πρὸ τῆς βίας
ἦν· ἀλλ' οὐχί, ἐπεὶ οὐ καθαρά, ἤδη καὶ ἀκόλαστος.

Ταῦτα καὶ διὰ τὸ ἐλογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι ἄρτους
35 οὐκ ἐλάβομεν ᾧ ἐπιφέρεται τὸ γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν· ὀλι-

4ff I. Kor. 13, 9f — 11. 13 Vgl. Matth. 5, 28 — 21. 25 Vgl. Matth. 5, 28 — 28f Vgl. Deut. 22, 25ff

3 γενημένων [γε] H 4 καταργεῖ Π 11 ὅτι < H 13—15 ἐν μόνῃ —ἀπηγορευμένων < H 18 αὐτὸν υ αὐτὸν M H 19 τῷ] τὸ M 30 ⟨τὴν⟩ Kl

γόπιστοι. τί διαλογίζεσθε ἐν ἑαυτοῖς καὶ τὰ ἑξῆς· ἔδει γὰρ τὸν περὶ τῶν ἐν τῷ κρυπτῷ ψόγον ἐξετασθῆναι καὶ παρακειμένως αὐτῷ τὸν ἐν τῷ κρυπτῷ ἔπαινον. 8. *θαυμάζω δὲ εἰ οἱ μαθηταὶ ᾤοντο. πρὶν σαφηνισθῆναι αὐτοῖς ὑπὸ τοῦ Ἰησοῦ τὸν λόγον, ὅτι ἀπαγορεύει αὐτοῖς ὁ διδά-*
5 *σκαλος καὶ ὁ κύριος αἰσθητὴν* *** *ζύμην Φαρισαίων ἢ Σαδδουκαίων φυλάξασθαι ὡς οὐ καθαρὰν καὶ διὰ τοῦτο ἀπαγορευομένην, ἵνα μηδ' ὅτε ἄρτους οὐκ εἰλήφεισαν, τῇ ἐκείνων ζύμῃ χρήσωνται. τὸ δ' ὅμοιον καὶ ἐπ' | ἄλλων μὲν ζητήσαιμεν, ἀρκεῖ δὲ παραδείγματος χάριν τὸ περὶ τῆς* 521
Σαμαρείτιδος ἐν τῷ »πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν·
10 *ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα«. καὶ γὰρ ἐκεῖ (ὅσον ἐπὶ τῇ λέξει) ἡ Σαμαρεῖτις δόξει οἴεσθαι περὶ ὕδατος αἰσθητοῦ ἐπαγγέλλεσθαι τὸν σωτῆρα λέγοντα· »ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα«. κἀκεῖνα οὖν τροπολογητέον καὶ συνεξεταστέον ὕδωρ πηγῆς »τοῦ Ἰακώβ«, ἀφ' ἧς ἤντλει ἡ*
15 *Σαμαρεῖτις, ὕδατι τοῦ Ἰησοῦ, καὶ ἐνταῦθα τὸ ὅμοιον ποιητέον· τάχα γὰρ οὐδὲ ἄρτοι ἦσαν πεφθέντες, ἀλλά τις ζύμη αὐτὸ μόνον ὠμὴ ἡ διδαχὴ τῶν Φαρισαίων καὶ Σαδδουκαίων.*

9. 12 Joh. 4, 13f — 14 Vgl. Joh. 4, 5. 7 — 15 Vgl. Joh. 4, 14

5 *** Kl nach Diehl, l. etwa ⟨*ζύμην, εἰπὼν*⟩ 6 *ὅτε* Kl *ὅτι* MH
8 *ζητήσαιμεν* ⟨*ἂν*⟩ Koe 9 *πείνων* M 12 *ἐπαγγέλεσθαι* M

9. Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ (16, 13 [—19]).

Πυνθάνεται τῶν μαθητῶν ὁ Ἰησοῦς, τίνα λέγουσιν αὐτὸν (15) οἱ ἄνθρωποι εἶναι, ἵν' ἡμεῖς μάθωμεν ἀπὸ τῆς ἀποκρίσεως τῶν ἀποστόλων τὰς διαφόρους περὶ τοῦ σωτῆρος ἡμῶν ἐν Ἰουδαίοις γενομένας ὑπολήψεις τότε. τάχα δὲ καὶ (20) ἵνα οἱ μιμηταὶ τοῦ Ἰησοῦ διδάσκωνται ἀεὶ περιεργάζεσθαι περὶ τῶν λεγομένων ὑπὸ τῶν ἀνθρώπων περὶ αὐτῶν· ὅπερ πράττουσι⟨ν ἡμῖν⟩ συμβαλεῖται πρὸς τό, εἴ τι (25) μὲν φαῦλον λέγεται, τούτου τὰς

9. *Veniens autem Iesus in partes Caesareae Philippi interrogavit discipulos suos dicens:*

(5) *quem dicunt homines esse filium hominis? illi autem dixerunt: quidam quidem Iohannem baptistam, alii autem Eliam, alii vero Hieremiam vel unum ex prophetis. dicit* (10) *eis: vos autem quem me dicitis esse? respondens autem Simon Petrus dixit: tu es Christus filius dei vivi.*

Interrogat Christus discipulos suos, *quem* eum *dicunt homines esse*, ut ex apostolorum responsionibus nos discamus diversas opiniones fuisse tunc apud Iudaeos de Christo. non solum autem, sed etiam illud, ut nos qui volumus esse Christi imitatores semper scrutemur qualis opinio sit apud homines de nobis. quod multum proficit nobis, ut si quid mali dicitur de nobis, occasiones mali illius omni modo praecida-

13—81, 3 Vgl. C[luc] Nr. 22 Or. C[l] Nr. 199 Or. Dazu noch C[marc] Nr. 8 Or. C[luc] Nr. 21 An.

1 Ἐλθὼν] vorher Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως τοῦ Ἰησοῦ περὶ τοῦ τίνα αὐτὸν λέγουσιν οἱ ἄνθρωποι εἶναι H 3 ἐρώτα M 13 ἐπυνθάνεται H 20 μιμηταὶ Kl (+ βουλόμενοι εἶναι Koe), vgl. lat. μαθηταὶ M H 23 πράττουσι⟨ν ἡμῖν⟩ Kl mit C[luc] Nr. 22, vgl. lat.

1f venit . . . Philippi et L 9 vel] aut L 10 esse dicitis B 12 vivi] + omelia Origenis de eadem lectione L 23 nobis ⟨agentibus⟩ Diehl

ἀφορμὰς παντὶ τρόπῳ περιαιρεῖν. εἴ τι δὲ ἀστεῖον, τούτου τὰς προφάσεις συναύξειν.

5

πλὴν ὅρα διὰ τὰ διάφορα ἐν Ἰου-
10 *δαίοις περὶ τοῦ Ἰησοῦ κινήματα. τίνα τρόπον ἀπό τινων οὐχ ὑγιῶν δογμάτων ἔλεγόν τινες μὲν ὅτι Ἰωάννης ἦν ὁ βαπτιστὴς (ὁμοίως Ἡρώδῃ τῷ τετράρχῃ τῷ εἰπόντι*
15 *τοῖς παισὶν αὐτοῦ· »οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ«), ἄλλοι δὲ ὅτι Ἠλίας ἐστὶν ὁ νῦν*
20 *καλούμενος | Ἰησοῦς. ἤτοι γένεσιν ὑπομείνας δευτέραν, ἢ ἔκτοτε ἐν σαρκὶ ζῶν καὶ κατὰ τὸν παρόντα ἐπιφανεὶς χρόνον. καὶ οἱ φάσκοντες δὲ ὅτι Ἱερεμίας εἴη ὁ Ἰησοῦς. καὶ*
25 *οὐχὶ τύπος τοῦ Χριστοῦ ὁ Ἱερεμίας. τάχα ἐκ τῶν εἰρημένων ἐν ταῖς ἀρχαῖς τοῦ Ἱερεμίου περὶ Χριστοῦ ἐκινήθησαν. οὐ πληρω-*

mus a nobis, si quid autem dicitur boni, eius occasiones amplius augeamus.

sed et discipuli episcoporum apostolorum instruuntur exemplo, ut qualescumque opiniones de episcopis suis audierint foris, referant eis.

tamen vide propter diversas Iudaeorum opiniones de Christo, qua causa *quidam quidem* eorum dicebant eum *Ioannem baptistam*: videlicet aestimationem secuti Herodis dicentis ad pueros suos: »hic est Iohannes baptista; ipse surrexit a mortuis, ⟨et⟩ ideo virtutes operantur in illo«. *alii autem Eliam*: videlicet aestimantes quod aut secundam nativitatem suscepit Elias. aut ex eo tempore in 522 corpore vivens in tempore apparuit illo. qui *vero Hieremiam* putabant, propter illa putabant quae in principio ipso ad Hieremiam dixerat deus: »ecce constitui te hodie super gentes et reges, eradicare et demolire et perdere et reaedificare et circumplantare«.

9—82, 18 Vgl. C^v Nr. 18 Or. C^{luc} Nr. 21 An. (**9—18** vgl. auch *Π* 183, 18f) — **9ff** Vgl. Hieron. in Matth. 123 A: *miror quosdam interpretes causas errorum inquirere singulorum et disputationem longissimam texere, quare dominum nostrum Iesum Christum alii Iohannem putaverint, alii Heliam, alii Hieremiam aut unum ex prophetis* — **15** Matth. 14, 2 — **26ff** Vgl. Orig. hom. 1, 6 in Jer. (III, 4, 19ff): *Ἱερεμίας ποῖα ἔθνη ἐξερρίζωσε, ποίας κατέστρεψε βασιλείας; κτλ.*

16—18 *ὁ βαπτιστὴς—ἐν αὐτῷ* < H   **22** *καὶ* < H

7 audierunt L   **11** qua de causa G^c **16** ⟨et⟩ Kl   **17** illo y eo L   **24** hieremiam] + iam y   **27** demoliri B   **28** et^1—circumplantare y* Pasch < L

θέντων μὲν ἐν τῷ προφήτῃ τότε ἀρξαμένων δὲ πληροῦσθαι ἐν τῷ Ἰησοῦ, ὃν ἔθετο ὁ θεὸς εἰς »ἔθνη καὶ βασιλείας, ἐκριζοῦν καὶ κατασκάπτειν καὶ ἀπολλύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν«, προφήτην αὐτὸν εἰς ἔθνη γενέσθαι ποιήσας οἷς ἐκήρυξε τὸν λόγον. ἀλλὰ καὶ οἱ λέγοντες ὅτι εἷς τις ἦν τῶν προφητῶν, τοιαῦτα περὶ αὐτοῦ ὑπελάμβανον διὰ τὰ ἐν τοῖς προφήταις ὡς πρὸς αὐτοὺς μὲν ῥηθέντα οὐ πεπληρωμένα δὲ ἐπ᾽ αὐτοῖς.

Ἀλλ᾽ οἱ μὲν Ἰουδαῖοι, ὡς ἄξιοι τοῦ ἐπὶ τῇ καρδίᾳ αὐτῶν καλύμματος, ἐψευδοδόξουν περὶ τοῦ Ἰησοῦ· Πέτρος δέ, ὡς οὐ σαρκὸς καὶ αἵματος μαθητὴς ἀλλὰ καὶ χωρήσας ἀποκάλυψιν τοῦ ἐν οὐρανοῖς πατρός, ***

ὡμολόγησεν αὐτὸν τὸν Χριστὸν τυγχάνειν. ἦν μὲν οὖν καὶ τὸ ὑπὸ τοῦ Πέτρου λεγόμενον τῷ σωτῆρι, τὸ σὺ εἶ ὁ Χριστός, μὴ γινωσκόμενον ὑπὸ τῶν Ἰουδαίων ὅτι Χριστὸς εἴη, μέγα· μεῖζον δὲ ὅτι ἠπίστατο αὐτὸν οὐ μόνον Χριστὸν εἶναι, ἀλλὰ καὶ υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος καὶ διὰ τῶν

non intellegentes, quoniam Hieremias typus fuerat Christi (et propterea quae ad eum promissa sint, in Christo sunt adinpleta), arbitrabantur ipsum esse *Hieremiam* quem deus in gentibus constituisset prophetam. qui autem *unum ex prophetis* eum arbitrabantur, ratione simili movebantur propter illa quae deus quasi ad ipsos locutus est prophetas, non tamen sunt in ipsis inpleta.

Et Iudaei quidem faciebant de Christo aestimationes dignas velamine quod positum erat super cor eorum. *Petrus* autem quasi non carnis et sanguinis discipulus, sed qui revelatione dei patris erat dignificatus,

denegavit quidem aliquid eorum esse Iesum, quae arbitrabantur Iudaei,

confessus est autem: *tu es Christus*, quod nesciebant Iudaei. et non solum confessus est: *tu es Christus*, sed etiam quod maius est: *filius dei vivi*, qui et per prophetas dixerat: »vivo ego, dicit dominus«.

3 Jer. 1, 10 — 15—85, 25 Vgl. C^{luc} Nr. 22 Or. — 16f Vgl. II. Kor. 3, 15

18 ὁ Πέτρος C^{luc} Nr. 22 21 *** Kl, vgl. lat. und C^{luc} Nr. 22 τούτων μὲν οὐκ εἶναί τινα λέγει τὸν Ἰησοῦν, ἀλλὰ

4 sint] < B sunt L 15 faciebant y* sciebant L 23 iesum B L dnm G | arbitrantur G

προφητῶν εἰρηκότος »ζῶ ἐγώ«, ***

5

καὶ ***

10 »ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος«. καὶ ζωὴ δὲ ὡς ἀπὸ πηγῆς ζωῆς τοῦ πατρὸς ὁ εἰπών· »ἐγώ εἰμι ἡ ζωή«. καὶ πρόσχες ἐπιμελῶς εἰ μή, ὥσπερ οὐ ταὐτόν ἐστι
15 πηγὴ ποταμοῦ καὶ ποταμός, οὕτως πηγὴ ζωῆς καὶ ζωή.
καὶ ταῦτα δὲ προσεθήκαμεν διὰ τὸ προσκεῖσθαι τῷ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τὸ
20 τοῦ ζῶντος· ἐξαίρετον γάρ τι ἐχρῆν παραστῆσαι ἐν τῷ λεγομένῳ περὶ τοῦ θεοῦ καὶ πατρὸς τῶν ὅλων, ὡς ζῶντος παρά τε τὴν αὐτοζωὴν καὶ τὰ μετέχοντα
25 αὐτῆς. ἐπεὶ δὲ εἴπομεν μὴ ἀπό τινων ὑγιῶν δογμάτων εἰρηκέναι τοὺς ἀποφηναμένους εἶναι τὸν Ἰησοῦν Ἰωάννην τὸν βαπτιστὴν ἤ τινα τῶν ἐπιφερομένων, κατα-
30 σκευάσωμεν καὶ τοῦτο λέγοντες ὅτι, εἰ παρατετεύχεισαν ἐπὶ τὸ βάπτισμα ἀπεληλυθότι τῷ Ἰησοῦ πρὸς τὸν

et forsitan ideo dicebatur vivus, secundum eminentiam qua supereminet omnibus habentibus in se vitam, quoniam et »solus habet immortalitatem« et est fons vitae. et fons quidem vitae proprie dicitur deus pater, qui dicit per Hieremiam:
»me dereliquerunt fontem aquae vivae«. vita autem est quasi de fonte vitae patris procedens, qui dixit: »ego sum vita«. et vide quoniam sicut non est idipsum fons ⟨fluvii⟩ et fluvius, sic non est idipsum fons vitae et vita.

1 Jer. 22, 24 — 5 I. Tim. 6, 16 — 10 Jer. 2, 13 — 12 Joh. 14, 6 — 25f S. 81, 11

1 *** Kl, vgl. lat. und C[luc] Nr. 22 *καὶ κατ' ἐξοχὴν πάντων τῶν ζώντων, ἐπεὶ καὶ μόνος ἔχει ἀθανασίαν καὶ ἔστι πηγὴ ζωῆς*   7 *** Kl, vgl. lat. und C[luc] Nr. 22 *λέγει κύριος*   15 *οὕτω* M   16 ⟨*οὐδὲ*⟩ *πηγὴ* Koe, vgl. lat.   19 *τὸ* < H

8 qui Kl quae x   15 ⟨fluvii⟩ Diehl

523

Ἰωάννην καὶ | βαπτίζοντι τῷ Ἰωάννῃ τὸν Ἰησοῦν, ἢ ἀκηκόεισαν παρά τινος. οὐκ ἂν ἔλεγον Ἰησοῦν εἶναι τὸν Ἰωάννην. ἀλλὰ καὶ εἰ νενοή-
5 κεισαν τὸ δόγμα ἀφ' οὗ εἶπεν ὁ Ἰησοῦς· »εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«, καὶ ὡς ἔχοντες »ὦτα« ἀκηκόεισαν τοῦ λελεγμένου. οὐκ ἂν εἶπόν τινες
10 αὐτὸν εἶναι Ἠλίαν. καὶ οἱ εἰπόντες αὐτὸν εἶναι Ἱερεμίαν, εἰ ἑώρων ὅτι οἱ πλεῖστοι τῶν προφητῶν συμβολικά τινα αὐτοῦ ἀνειλήφασιν, οὐκ ἂν ἔλεγον αὐτὸν εἶναι Ἱερε-
15 μίαν· ὁμοίως δὲ οὐδὲ ἄλλοι ἕνα τινὰ τῶν προφητῶν.

10.

10. *Beatus es Simon Bariona, quia caro et sanguis non revelavit tibi, sed pater meus qui est in caelis.*
20 *et ego dico tibi: tu es Petrus, et super hanc petram aedificabo ecclesiam meam. et portae inferorum non praevalebunt ei.*

Τάχα δὲ ὅπερ ἀποκριθεὶς
25 Σίμων Πέτρος εἶπεν ἐν τῷ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἐὰν ὡς ὁ Πέτρος λέγωμεν, οὐ σαρκὸς καὶ αἵματος ἡμῖν ἀποκαλύψαντος
30 ἀλλὰ φωτὸς ἡμῶν τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν οὐρανοῖς πατρός. καὶ αὐτοὶ γινόμεθα ὅπερ καὶ ὁ Πέτρος, ὁμοίως αὐτῷ μακαριζόμενοι διὰ τὸ τὰ αἴτια τοῦ μακα-

Forsitan si et nos dixerimus quod *dixit Petrus: tu es Christus filius dei vivi*, non carne nobis et sanguine revelante, sed patre qui est *in caelis* mentem nostram inluminante, ⟨et ipsi⟩ Petrus erimus, et eandem beatitudinem consequemur quam ille. propter confessionem nostram similem confessioni illius.

6 Matth. 11, 14 — 8 Matth. 11, 15 — 30f Vgl. *Π* 185, 7f

2 ἢ vi. m. εἰ M H ἢ εἰ ϱ 4 νενοήκεισαν Koe, vgl. Z. 8 νενοήκασι M H 6 ις] χς M 13 l. συμβολικῶς? Kl 32 γενόμεθα M

21 hac petra G[a] 26 carne x* Pasch in carne ϱ 29 ⟨et ipsi⟩ Diehl | erimus petrus L

ρισμοῦ ἐκείνῳ καὶ ἐφ' ἡμᾶς ἐφθα-
κέναι, τῷ σάρκα καὶ αἷμα μὴ
ἀποκεκαλυφέναι ἡμῖν περὶ τοῦ τὸν
Ἰησοῦν εἶναι Χριστὸν υἱὸν τοῦ
5 θεοῦ τοῦ ζῶντος. ἀλλὰ τὸν ἐν
οὐρανοῖς πατέρα ἀπ' αὐτῶν τῶν
οὐρανῶν, ἵνα »ἐν οὐρανοῖς« πολι-
τευσώμεθα, ἀποκαλύψαντα ἡμῖν ἀπο-
κάλυψιν ἀνάγουσαν εἰς τοὺς οὐρα-
10 νοὺς τοὺς περιαιροῦντας μὲν πᾶν
»κάλυμμα« ἀπὸ τῆς καρδίας, ἀναλα-
βόντας δὲ τὸ πνεῦμα τῆς »σοφίας«
τοῦ θεοῦ καὶ τῆς »ἀποκαλύψεως«.

tunc autem *non caro et sanguis revelavit* nobis Iesum esse Christum filium *dei vivi*, sed *pater qui est in caelis*, quando conversatio nostra »in caelis« est et digna est revelatione patris caelestis; tunc vere revelatio dei abstulit quidem a nobis omne »velamentum« cordis, dedit autem nobis »spiritum sapientiae et revelationis«.

15

si autem secundum carnem et sanguinem conversemur, alias autem confiteamur Iesum Christum esse filium *dei vivi*, utputa dogma huiusmodi suscipientes a parentibus traditum nobis, tunc non *pater revelavit* nobis, sed *caro et sanguis*. propterea nec stabiles sumus in fide ipsius sicut Petrus, nec similem ei beatitudinem consequemur.

20

25 εἰ δὲ φήσαντες καὶ ἡμεῖς ὡς ὁ
Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ
υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος
(οὐχ ὡς σαρκὸς καὶ αἵματος ἡμῖν
ἀποκαλυψάντων, ἀλλὰ φωτὸς ἡμῶν
30 τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν
οὐρανοῖς πατρός), γινόμεθα Πέ-
τρος, καὶ ἡμῖν ἂν λέγοιτο ἀπὸ τοῦ
⟨θεοῦ⟩ λόγου τὸ σὺ εἶ Πέτρος καὶ

si ergo et nos, patre nobis (sicut diximus) revelante confitentes Iesum esse Christum filium *dei vivi*, facti fuerimus Petrus, utique et nobis dicetur a deo verbo: *tu es Petrus, et super hanc petram aedificabo ecclesiam meam* et cetera; petra est enim omnis qui imitator est Christi, ex quo bibebant, qui

7 Vgl. Phil. 3, 20 — 11 Vgl. II. Kor. 3, 15f — 12f Vgl. Eph. 1, 17 — 25—86, 2 Vgl. C[luc] Nr. 22 Or. — 28ff Vgl. S. 84, 28ff

1 πεφθακέναι M 8 ἀποκαλύψαντα Kl ἀποκαλύψαντος M H 29 ἡμῶν v, vgl. S. 84, 30 ἡμῖν M H 33 ⟨θεοῦ⟩ Diehl Koe

2 revelavit Kl revelabit G[c] B L revelat G[a] 10 sapientiae ⟨dei⟩ Diehl

τὰ ἑξῆς. πέτρα γὰρ πᾶς ὁ | Χριστοῦ μιμητής, ἀφ᾽ οὗ ἔπινον οἱ »⟨ἔπινον⟩ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας«. καὶ ἐπὶ πᾶσαν τὴν τοιαύτην 5 πέτραν οἰκοδομεῖται ὁ ἐκκλησιαστικὸς πᾶς λόγος καὶ ἡ κατ᾽ αὐτὸν πολιτεία. ἐν ἑκάστῳ γὰρ τῶν τελείων, ἐχόντων τὸ ἄθροισμα τῶν συμπληρούντων τὴν μακαριότητα 10 λόγων καὶ ἔργων καὶ νοημάτων ⟨πάντων⟩, ἐστὶν ἡ ὑπὸ τοῦ θεοῦ οἰκοδομουμένη ἐκκλησία.

»bibebant de spiritali consequenti 524 petra«. et super omni huiusmodi petra aedificatur ecclesia dei. in singulis enim quibusque perfectis, qui habent in se congregationem verborum et operum et sensuum omnium qui huiusmodi beatitudinem operantur, consistit ecclesia dei,

cui portae non praevalent inferorum.

15 11. *Εἰ δὲ ἐπὶ τὸν ἕνα ἐκεῖνον* Πέτρον νομίζεις ὑπὸ τοῦ θεοῦ οἰκοδομεῖσθαι τὴν πᾶσαν ἐκκλησίαν μόνον, τί ἂν φήσαις περὶ Ἰωάννου τοῦ »τῆς βροντῆς« υἱοῦ ἢ 20 ἑκάστου τῶν ἀποστόλων; ἀληθῶς γε ἄρα τολμήσωμεν λέγειν ὅτι Πέτρου μὲν ἰδίως πύλαι ᾅδου οὐ κατισχύσουσι, τῶν δὲ λοιπῶν ἀποστόλων καὶ τῶν τελείων 25 *** κατισχύσουσιν; οὐχὶ δὲ καὶ ἐπὶ πάντων καὶ ἐφ᾽ ἑκάστου αὐτῶν τὸ προειρημένον τὸ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς γίνεται καὶ τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ 30 οἰκοδομήσω μου τὴν ἐκκλησίαν;

11. Si autem super unum illum Petrum arbitraris universam *ecclesiam* aedificari a deo, quid dices de Iacobo et Iohanne filiis »tonitrui« vel de singulis apostolis? vere ergo ad Petrum quidem dictum est: *tu es Petrus, et super hanc petram aedificabo ecclesiam meam, et portae inferorum non praevalebunt ei*; tamen omnibus apostolis et omnibus quibusque perfectis fidelibus dictum videtur, quoniam omnes sunt Petrus et petrae, et in omnibus aedificata est *ecclesia* Christi, et adversus nullum eorum qui tales sunt *portae* praevalent *inferorum*. tamen ex eo quod sequitur videamus.

1f Vgl. Orig. hom. XVI, 3 in Jer. (III, 134, 25f): *λέγω ὅτι πάντες οἱ Χριστοῦ μιμηταί, ὡς ἐκεῖνος πέτρα ἐστί, πέτραι γίνονται* — 2 Vgl. I. Kor. 10, 4 — 19 Vgl. Marc. 3, 17

2 *μιμητής* Kl, vgl. lat. C[luc] Nr. 22 *μαθητής* M H | *οἱ ⟨ἔπινον⟩* Kl Koe, vgl. lat. *οἱ* M H 11 *⟨πάντων⟩* Diehl 20 *ἀληθῶς* Kl, vgl. lat. *ἄλλως* M H 21 *γε* Koe *τε* M H 25 *** Diehl, vgl. lat. 26 *ἑκάστου* Kl *ἑκάστῳ* M H

18 dices ϱ dicis x 22 hac petra G[a]

ἆρα δὲ τῷ Πέτρῳ | μόνῳ δίδονται ὑπὸ τοῦ Χριστοῦ αἱ κλεῖδες τῆς τῶν οὐρανῶν βασιλείας, καὶ οὐδεὶς ἕτερος τῶν μακαρίων αὐτὰς 5 λήψεται; εἰ δὲ κοινόν ἐστι καὶ πρὸς ἑτέρους τὸ δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, πῶς οὐχὶ καὶ πάντα τά τε προειρημένα καὶ τὰ ἐπιφερόμενα 10 ὡς πρὸς Πέτρον λελεγμένα ***; καὶ γὰρ ἐνταῦθα μὲν ὡς πρὸς Πέτρον εἰρῆσθαι δοκεῖ τὸ ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς 15 καὶ τὰ ἑξῆς·

putas soli Petro dantur a Christo 325 *claves regni caelorum*, et nemo alius beatorum accipiet eas? si autem commune est inter omnes quod dicitur: *dabo tibi claves regni caelorum*, quomodo non omnia quae superius sunt relata ad Petrum, omnium videantur esse communia?

ἐν δὲ τῷ κατὰ Ἰωάννην δοὺς πνεῦμα ἅγιον ὁ σωτὴρ τοῖς μαθηταῖς διὰ τοῦ ἐμφυσήματός φησι· »λάβετε πνεῦμα ἅγιον« καὶ τὰ 20 ἑξῆς.

apud Iohannem enim dans spiritum sanctum Iesus discipulis suis per insufflationem sic dicit: »accipite spiritum sanctum; si cuius dimiseritis peccata dimittentur ei, si cuius autem tenueritis tenebuntur«,

πολλοὶ τοίνυν φήσουσι πρὸς τὸν σωτῆρα· σὺ εἶ ὁ Χριστὸς ὁ 25 υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀλλ᾽ οὐ πάντες οἱ τοῦτο φάσκοντες ἐροῦσιν αὐτῷ οὐδαμῶς μὲν ἀπὸ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων τοῦτο μεμαθηκότες, αὐτοῦ δὲ τοῦ 30 ἐν τοῖς οὐρανοῖς πατρὸς ἀφελόντος τὸ ἐπικείμενον τῇ καρδίᾳ αὐτῶν »κάλυμμα«, ἵνα μετὰ τοῦτο »ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ κυρίου κατοπτριζόμενοι«

1—20 Vgl. C[luc] Nr. 22 Or. — **19** Joh. 20, 22 — **31f** Vgl. II. Kor. 3, 15 — **33** II. Kor. 3, 18

1 *μόνον* M **8** *τε* < M **10** Lücke Kl ⟨*κοινὰ δοκοῦσιν εἶναι*⟩ Koe, vgl. lat. **23** *φήσουσιν* H

18 insubflationem G dixit B

»ἐν πνεύματι θεοῦ« λαλῶσι, λέγοντες περὶ αὐτοῦ τὸ »Κύριος Ἰησοῦς« καὶ πρὸς αὐτὸν τὸ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

Καὶ εἴ τις λέγει τοῦτο πρὸς αὐτόν, οὐ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων αὐτῷ ἀλλὰ τοῦ ἐν τοῖς οὐρανοῖς πατρός, τεύξεται τῶν εἰρημένων, ὡς μὲν τὸ γράμμα τοῦ εὐαγγελίου λέγει πρὸς ἐκεῖνον τὸν Πέτρον, ὡς δὲ τὸ πνεῦμα αὐτοῦ διδάσκει πρὸς πάντα τὸν γενόμενον, ὁποῖος ὁ Πέτρος ἐκεῖνος. παρώνυμοι γὰρ πέτρας πάντες οἱ μιμηταὶ Χριστοῦ, τῆς »πνευματικῆς ἀκολουθούσης πέτρας« τοῖς σωζομένοις, ἵνα ἐξ αὐτῆς πίνωσι τὸ »πνευματικὸν πόμα«. οὗτοι δὲ παρώνυμοί εἰσι τῆς πέτρας, ὡς Χριστός· ἀλλὰ καὶ »Χριστοῦ μέλη« | ὄντες παρώνυμοι ἐχρημάτισαν Χριστοί, πέτρας δὲ Πέτροι. ἀπὸ δὲ τούτων ἀφορμὴν λαβὼν φήσεις τοὺς δικαίους παρωνύμους εἶναι Χριστοῦ τῆς δικαιοσύνης καὶ τοὺς σοφοὺς Χριστοῦ τῆς σοφίας· καὶ οὕτως ποιήσεις ἐπὶ τῶν λοιπῶν αὐτοῦ ὀνομάτων παρώνυμα ἐπὶ τοὺς ἁγίους. καὶ πρὸς πάντας τοὺς τοιούτους ἂν λέγοιτο ἀπὸ τοῦ σωτῆρος τὸ λέγον·

quasi omnibus talibus constitutis qualis erat et Petrus. omnes enim qui imitatores sunt Christi, similiter petrae cognominantur quemadmodum Christus, et de omnibus talibus bibunt »spiritalem potum« homines spiritales. et quemadmodum secundum Christi nomen omnes qui sunt illius, [526] christi dicuntur (dicente propheta: »ut salvos faciat christos suos«),

sic quoniam iustitia dicitur Christus, omnes iusti iustitiae sunt, et sapientiae sunt secundum quod Christus sapientia est. et sic invenies in omnibus reliquis nominibus Christi, ut recte dicatur ad omnes: *tu es Petrus, et super hanc*

1 f I. Kor. 12, 3 — 17 Vgl. I. Kor. 10, 4 — 21 Vgl. I. Kor. 6, 15 — 24 Hab. 3, 13 (var. lect.) — 24 Vgl. Orig. in Jes. l. I. (Apol. Pamphili c. V = Lomm. 24, 371): *ab uno enim Christo multi fiunt Christi, de quibus scriptura dicit: «nolite tangere christos meos»* etc. Harnack TU. 42, 4, 136

22 χριστοί Kl, vgl. lat. χριστιανοὶ M H 30 l. εὑρήσεις? Kl

24 salvos faciat] salves B | suos] tuos B 27 quoniam] + et B

σὺ εἶ Πέτρος καὶ τὰ ἑξῆς ἕως τοῦ οὐ κατισχύσουσιν αὐτῆς. τίνος δὲ αὐτῆς; ἆρα γὰρ τῆς πέτρας, ἐφ' ἣν Χριστὸς οἰκοδομεῖ τὴν ἐκ-
5 κλησίαν, ἢ τῆς ἐκκλησίας (ἀμφίβολος γὰρ ἡ φράσις),

petram aedificabo ecclesiam meam, et portae inferorum non praevalebunt ei. cui ei? utrum petrae non praevalebunt in qua aedificat Christus ecclesiam, aut ei ecclesiae non praevalebunt quam aedificat super petram, non exprimit manifeste.

ἢ ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ τῆς πέτρας
10 καὶ τῆς ἐκκλησίας;
τοῦτο δ' οἶμαι ἀληθὲς τυγχάνειν· οὔτε γὰρ τῆς πέτρας, ἐφ' ἧς ὁ Χριστὸς οἰκοδομεῖ τὴν ἐκκλησίαν, οὔτε τῆς ἐκκλησίας πύλαι ᾅδου
15 κατισχύσουσιν, ὡς οὐδὲ »ὁδὸς ὄφεως ἐπὶ πέτρας« (κατὰ τὸ ἐν Παροιμίαις γεγραμμένον) εὑρεθείη ἄν. εἰ δέ τινος πύλαι ᾅδου κατισχύσουσιν, οὔτε πέτρα ὁ τοιοῦτος ἂν
20 εἴη, ἐφ' ἣν οἰκοδομεῖ Χριστὸς τὴν ἐκκλησίαν, οὔτε ἡ ὑπὸ Χριστοῦ οἰκοδομουμένη ἐπὶ τὴν πέτραν ἐκκλησία· ἥ τε γὰρ πέτρα ἄβατός ἐστιν ὄφει καὶ ἰσχυροτέρα τῶν ἀντιπαλαι-
25 ουσῶν αὐτῇ πυλῶν ᾅδου, ὡς διὰ τὴν ἰσχὺν αὐτῆς μὴ κατισχύειν αὐτῆς τὰς πύλας τοῦ ᾅδου· ἥ τε ἐκκλησία, ὡς Χριστοῦ οἰκοδομὴ τοῦ οἰκοδομήσαντος ἑαυτοῦ »τὴν οἰκίαν« φρονί-
30 μως »ἐπὶ τὴν πέτραν«, ἀνεπίδεκτός ἐστι πυλῶν ᾅδου,
κατισχυουσῶν μὲν παντὸς ἀνθρώπου τοῦ ἔξω τῆς πέτρας καὶ τῆς ἐκκλησίας, οὐδὲν δὲ δυναμένων πρὸς αὐτήν.

tamen manifestum est, quia nec adversus petram illam super quam aedificatur ecclesia, nec adversus ecclesiam quae aedificatur super huiusmodi petram, *portae praevalebunt inferorum*: quemadmodum nec »via serpentis super petram« (secundum quod in Proverbiis positum est) poterit inveniri. adversus quem autem *portae praevaluerint inferorum*, ille neque petra dicendus est super quam aedificat Christus *ecclesiam*, neque ecclesia quae *super petram* aedificatur a Christo: quoniam sive qui petra inambulabilis est serpenti, sive qui vere ecclesia est, fortior est portis sibi adversantibus *inferorum* propter Christum virum sapientem, qui aedificavit *super petram* ecclesiam suam.

15 Prov. 24, 54 — 29f Vgl. Matth. 7, 24

9 καὶ < M 20 ὁ Χριστὸς οἰκοδομεῖ H

1. 15 (hac) petra G[a] 15 praevalent y 25f sive qui] sive G sicut B 27 sive] sic B

12. Νοήσαντες δὲ ὡς ἑκάστη τῶν ἁμαρτιῶν, δι' ὧν ἔστιν ἐν ᾅδου γενέσθαι, πύλη ἐστὶν ᾅδου, καταληψόμεθα ὅτι ἡ ἔχουσα »σπῖλον ἢ 5 ῥυτίδα ἤ τι τῶν τοιούτων« καὶ διὰ τὴν κακίαν μηδὲ »ἁγία« μηδὲ »ἄμωμος« τυγχάνουσα ψυχὴ οὔτε πέτρα ἐστίν, ἐφ' ἣν ὁ Χριστὸς οἰκοδομεῖ, οὔτε ἐκκλησία οὔτε ἐκκλησίας μέρος, 10 ἣν ἐπὶ τὴν πέτραν ὁ Χριστὸς οἰκοδομεῖ. ἐὰν δέ τις | πρὸς ταῦτα δυσωπεῖν ἡμᾶς βούληται διὰ τὰ πλήθη τῶν πιστεύειν νομιζομένων ἐκκλησιαστικῶν, λεκτέον αὐτῷ οὐ μόνον 15 τὸ »πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί«, ἀλλὰ καὶ τὸ ὑπὸ τοῦ σωτῆρος πρὸς τοὺς προσιόντας αὐτῷ λελεγμένον (ὡς ἐν τῷ κατὰ Λουκᾶν εἴρηται) οὕτως ἔχον· »ἀγωνίζεσθε εἰσελθεῖν 20 διὰ τῆς στενῆς θύρας, ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν (διὰ τῆς στενῆς) καὶ οὐκ ἰσχύσουσι«, καὶ τὸ ἐν τῷ κατὰ Ματθαῖον δὲ γεγραμμένον τοῦτον τὸν τρόπον ῥητέον· 25 »ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν«.

12. Nam cum sciamus quod unumquodque peccatum per quod descenditur ad inferos, porta sit *inferorum*, intellegemus quoniam omnis anima quae recipit super se peccatum et propterea non est sancta, neque petra est super quam aedificat Christus *ecclesiam* neque ecclesia est neque pars ecclesiae quam Christus aedificat *super petram*. si quis autem 527 contradicere nobis vult propter multitudinem hominum qui credere aestimantur ecclesiastico⟨rum⟩, placetur responso dicente: »multi vocati, pauci autem electi«, item illo quod dominus adeuntibus se respondit: »contendite intrare per angustum ostium, dico enim vobis quoniam multi quaerent introire et non poterunt«, item: »quam angusta porta et tribulata via quae ducit ad vitam, et pauci sunt qui inveniunt eam«. considerans autem quod dicit: »multi quaerent introire et non poterunt«, intelleges quoniam hoc

1ff Vgl. Hieron. in Matth. 124 D: *ego (!) portas inferi vitia reor atque peccata, vel certe haereticorum doctrinas, per quas inlecti homines ducuntur ad tartarum* — 4f Eph. 5, 27 — 11ff Vgl. Orig. hom. IV, 3 in Jer. (III, 26, 1ff): νῦν δὲ ὅτε γεγόναμεν πολλοί, ἐπεὶ οὐ δυνατὸν εἶναι πολλοὺς ἐκλεκτούς κτλ., und in Matth. tom. XVII. 24 — 15 Matth. 22, 14 — 19 Luc. 13, 24 — 25 Matth. 7, 14

2 ἔστιν] χς H 12 ὑμᾶς βούλεται H 15 πολὺ M 24 ῥητέον (vgl. Z. 14 λεκτέον)] l. ῥητόν Koe 25 ὅτι] *quam* lat. = τί

4 intellegemus Kl intelligimus x 6 se < G[a] 12 nobis vult y (vult nobis R) vobis vult L 14/15 ecclesiastico⟨rum⟩ Kl 16 autem] vero L 18 se L sibi y 20/21 quaerent introire B L quaerunt introire G introire quaerunt R 26 quaerunt G

προσέχων δὲ τῷ »ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσι« συνήσεις ὅτι τοῦτο ἐπὶ τοὺς αὐχοῦντας μὲν εἶναι ἀπὸ τῆς 5 *ἐκκλησίας, ἀσθενῶς δὲ καὶ παρὰ τὸν λόγον βιοῦντας ἀναφέρεται. οἱ μὲν οὖν μὴ ἰσχύοντες εἰσελθεῖν τῶν ζητούντων εἰσελθεῖν, τῷ πύλας ᾅδου κατισχύειν αὐτῶν οὐκ ἂν ἰσχύοιεν·* 10 *ὧν δὲ πύλαι ᾅδου οὐ κατισχύουσιν, οὗτοι ζητοῦντες εἰσελθεῖν ἰσχύσουσι, »πάντα« ἰσχύοντες »ἐν τῷ ἐνδυναμοῦντι« αὐτοὺς »Χριστῷ Ἰησοῦ«.*

de illis est dictum, qui gloriantur se esse de ecclesia, negligenter autem et non secundum praeceptum domini conversantur. qui ergo quaerunt introire et non possunt, ideo non possunt, quia *portae inferorum* praevalent contra eos; adversus quos autem *non* praevalent, sine dubio poterunt introire, quoniam »omnia« possunt »in Christo qui« eos »confortat«.

15 *καὶ τοῦτο δὲ χρὴ εἰδέναι ὅτι, ὥσπερ αἱ πόλεων πύλαι ὀνόματα ἔχουσιν ἑκάστη οἰκεῖα, τὸν αὐτὸν τρόπον αἱ τοῦ ᾅδου πύλαι ὀνομασθεῖεν ἂν κατὰ τὰ εἴδη τῶν ἁμαρτημάτων· ὡς* 20 *μίαν μὲν ὀνομάζεσθαι πύλην ᾅδου πορνείαν, δι' ἧς ὁδεύουσιν οἱ | πορνεύοντες, ἑτέραν δὲ ἄρνησιν, δι' ἧς ἀρνησίθεοι εἰς ᾅδου καταβαίνουσιν* ***

25

et hoc scire debemus, quoniam sicut portae singulae civitatum nomina propria habent, sic unaquaeque *porta inferorum* secundum speciem uniuscuiusque peccati proprium habet nomen; utputa una porta dicitur fornicatio, 528 per quam omnes fornicatores ingrediuntur in tartara, altera autem denegatio Christi, per quam denegatores Christi descendunt in inferos,
tertia cupiditas pecuniarum, per quam cupidi pecuniarum incedunt, non deo, sed mammonae servientes.

30 *ἤδη δὲ καὶ ἕκαστος τῶν ἑτεροδόξων καὶ γεννησάντων ψευδώνυμόν τινα*

adhuc autem et unusquisque haereticorum auctorum, qui ali-

1 Luc. 13, 24 — 12 Vgl. I. Tim. 1, 12; Phil. 4, 13 — 15—93, 16 Vgl. C[luc] Nr. 22 Or. (Schluß): *πύλαι δὲ ᾅδου διάφοροι πορνεία, ἄρνησις, φιλαργυρία καὶ τὰ λοιπὰ κακά κτλ.* Vgl. dazu auch C[l] Nr. 200 Or. — 32 f Vgl. I. Tim. 6, 20

3 *ἰσχύσουσιν* H 9 *ἰσχύοιεν* Koe *ἰσχύσουσιν* M H 10/11 *κατισχύσουσιν* M 21 *ἦν* M 24 *** Kl, vgl. auch C[luc] Nr. 22 32 *γενησάντων* M

5 quaerent L 11 xpo] eo B 29 mammona G 31, 32 haereticorum R G heresiarcharum B L

γνῶσιν ᾠκοδόμησεν ᾅδου πύλην, ἄλλην μὲν Μαρκίων καὶ Βασιλίδης ἄλλην καὶ Οὐαλεντῖνος ἄλλην.

quam falsi nominis scientiam genuerunt, aedificavit aliquam *inferi* portam; et aliam quidem Marcion et Basilides, aliam autem Valentinus.

5

καὶ οὕτως ἕκαστος μὲν τῶν πατέρων μοχθηρᾶς γνώμης ἀρχιτέκτων γέγονε πύλης τινὸς ᾅδου· οἱ δὲ συνεργοὶ τῇ τοῦ ἀρχιτέκτονος τῶν τοιού- 10 *των διδασκαλίᾳ, ὑπουργοί τινες καὶ οἰκονόμοι δουλεύοντες μοχθηρῷ ἀρχιτεκτονικῷ ἀσεβείας λόγῳ. πολλῶν δὲ καὶ δυσαριθμήτων οὐσῶν τῶν ᾅδου πυλῶν, οὐδεμία πύλη ᾅδου* 15 *κατισχύσει τῆς πέτρας ἢ ἐκκλησίας, ἣν ἐπ' αὐτῇ Χριστὸς οἰκοδομεῖ. πλὴν ἔχουσί τινα ἰσχὺν αὗται αἱ πύλαι, ἀφ' ἧς τινῶν μὲν κρατοῦσι τῶν μὴ ἀντιτεινόντων καὶ ἀνταγωνιζομένων* 20 *πρὸς αὐτάς, ὑφ' ἑτέρων δὲ νικῶνται τῶν διὰ τὸ μὴ ἀφίστασθαι τοῦ εἰπόντος· »ἐγώ εἰμι ἡ θύρα« πάσας τὰς ᾅδου πύλας καθελόντων ἀπὸ τῆς ἑαυτῶν ψυχῆς.*

et sic singuli patres singulorum dogmatum perversorum, quasi architecti impietatis, portas aliquas *inferi* construxerunt, et multi intrant per illas qui sequuntur dogmata perversitatis eorum. cum sint ergo multae et innumerabiles *inferorum portae*, nulla earum praevalet contra eum, qui aut petra est aut aedificata ecclesia super petram. tamen *portae* istae aliquam habent virtutem, quoniam adversus aliquos quidem praevalent, qui non se extendunt adversus eas neque conantur resistere eis, ab aliis autem vincuntur, qui non recedunt ab eo, qui dixit: »ego sum ianua«, et ideo destruunt omnes *inferorum* portas ab anima sua.

25

13. *Ἐνταῦθα μὲν οὖν πύλαι ᾅδου εἴρηνται, ἐν δὲ τοῖς Ψαλμοῖς ὁ προφήτης εὐχαριστεῖ λέγων· »ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,* 30 *ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς*

13. Et non solum hic *portae inferorum* appellantur peccata, sed etiam propheta gratias agens deo, qui sublevat humiles de portis mortis deorsum consistentibus, dicit: »qui exaltas me de portis

22 Joh. 10, 7. 9 — 28ff Vgl. Orig. c. Cels. VI, 36 (II, 105, 19ff) — 28 Psal. 9, 14f

6 *καὶ οὕτως* — 24 *ψυχῆς* hinter S. 91, 15 *καὶ* — 92, 3 *ἄλλην* Kl nach lat., davor M H 11 l. *οἰκοδόμοι* ? Kl 13 *συναριθμήτων* H 17 *ἔχουσαι* M 26 *μὲν* < M

12 multae γ Pasch mille L 29f deo — consistentibus fehlt in gr., entspricht jedoch „der Gewohnheit des Origenes, vor einem Zitat oft den Inhalt desselben anzugeben" Koe

Σιών«. καὶ ἐκ τούτου δὲ μανθάνομεν
ὅτι μήποτε οὐχ οἷόν τέ ἐστιν πάσας
δυνηθῆναι ἐξαγγεῖλαι »τὰς αἰνέσεις«
τινὰ τοῦ θεοῦ, μὴ ὑψωθέντα »ἐκ τῶν
5 *πυλῶν τοῦ θανάτου« καὶ γενόμενον*
παρὰ »ταῖς πύλαις« »Σιών«. πύλαι δὲ
»Σιὼν« ἐναντίαι ⟨ἂν⟩ νοηθεῖεν ταῖς
πύλαις »τοῦ θανάτου«, ὡς εἶναι πύλην
μὲν θανάτου τὴν ἀκολασίαν πύλην δὲ
10 *Σιὼν τὴν σωφροσύνην. καὶ οὕτω*
θανάτου μὲν τὴν ἀδικίαν Σιὼν δὲ
τὴν δικαιοσύνην

(ἥντινα δεικνὺς ὁ προφήτης φησίν·
15 *»αὕτη ἡ πύλη τοῦ κυρίου. δίκαιοι*
εἰσελεύσονται ἐν αὐτῇ«)
καὶ πάλιν τὴν μὲν δειλίαν θανάτου
πύλην τὴν δὲ ἀνδρείαν Σιών. καὶ
ἀφροσύνην μὲν θανάτου τὴν δὲ ἐναν-
20 *τίαν αὐτῇ φρόνησιν τῆς Σιών. πάσαις*
δὲ ταῖς πύλαις τῆς »ψευδωνύμου γνώ-
σεως« μία ἐναντία ἐστὶ πύλη ἡ τῆς
*ἀψευδοῦς γνώσεως ***.*

25 *Ἐπίστησον δὲ εἰ δύνασαι (διὰ τὸ*
»οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα
καὶ σάρκα«, καὶ τὰ λοιπὰ)

30

mortis, ut adnuntiem omnes laudes tuas in portis filiae Sion«. ex hoc enim discimus, quia forte possibile non est aliquem omnes laudes dei adnuntiare, nisi exaltatus fuerit »de portis mortis« et factus fuerit in omnibus »portis Sion«. portae autem Sion contrariae intellegendae sunt portis mortis, ut sit quidem porta mortis luxuria porta autem Sion castitas, porta mortis iniquitas porta autem Sion iustitia,

porta mortis timor porta Sion virtus, porta mortis insipientia porta Sion sapientia. ***

propter quas omnes portas dicebat propheta: »aperite mihi portas iustitiae, ut ingressus eas confitear domino«.
Considera adhuc (si potes) et illud quod dicitur: »non est nobis conluctatio cum carne et sanguine, sed adversus potestates, adversus rectores huius mundi tenebrarum, adversus spiritalia nequitiae in caelestibus«, ne forte et unaquaeque potestas et unus-

1ff Vgl. Psal. 9, 14f — **15** Psal. 117, 20 — **21** Vgl. I. Tim. 6, 20 — **22ff** (lat.) Psal. 117, 19 — **25ff** Eph. 6, 12

6 *παρὰ*] l. ⟨*ἐν*⟩ *πάσαις*? Kl **7** l. *ἐναντίαι*⟨*ἂν*⟩ mit lat. Kl Koe, vgl. S. 94, 19 *ἐναντίως* M H | *ῥηθεῖεν* M **23** *** Kl Koe

1/2 laudationes B Pasch **19** *** Kl Koe **23** eas] in eas B

λέγειν ἑκάστην ἐξουσίαν καὶ κοσμοκράτορα »τοῦ σκότους τούτου« καὶ πνευματικὸν »τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις« πύλην εἶναι ᾅδου καὶ πύλην θανάτου. πύλαι οὖν ᾅδου λέγοιντο καὶ αἱ ἀρχαὶ καὶ ἐξουσίαι, πρὸς ἃς »ἡμῖν ἡ πάλη«

πύλαι δὲ δικαιοσύνης »τὰ λειτουργικὰ πνεύματα«.

quisque rector mundi huius, mundi tenebrarum, et singulae spiritales nequitiae in caelestibus, *portae* sint *inferorum* et portae mortis, quibus portis contrariae sunt appellandae multae portae iustitiae secundum angelos dei, qui »sunt spiritus ad ministerium transmissi propter eos qui sunt hereditaturi salutem«.

ὥσπερ δὲ ἐπὶ τῶν κρειττόνων πολλαὶ προλέγονται πύλαι καὶ μετὰ τὰς πολλὰς μία ἐν τῷ »ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ | κυρίῳ« καὶ »αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ«,

sicut enim ex parte bona multae dicuntur portae, post multas autem est una secundum quod dicitur: »aperite mihi portas iustitiae, ut ingressus eas confitear domino: haec porta domini, iusti intrabunt in eam« (dominus ergo est porta domini singularis), 529

οὕτω καὶ ἐπὶ τῶν ἐναντίων πολλαὶ μὲν πύλαι ᾅδου καὶ θανάτου, ἑκάστη ἐξουσία ⟨, πρὸς ἃς ἡμῖν ἡ πάλη⟩,

sic in parte mala multae quidem sunt *portae inferorum* et mortis, unaquaeque videlicet potestas adversus quam »conluctatio nobis est«,

ὑπὲρ πάσας δὲ ταύτας αὐτὸς ὁ πονηρὸς ⟨πύλη ἐστὶ θανάτου καὶ ᾅδου⟩. καὶ προσέχωμέν γε ἐφ᾽ ἑκάστης ἁμαρτίας ὡς εἰς πύλην ᾅδου τινὰ καταβαίνοντες, εἰ ἁμαρτάνομεν· ἀλλὰ ὑψούμενοι »ἐκ τῶν πυλῶν τοῦ θανάτου« ἐξαγγείλωμεν »πάσας τὰς αἰνέσεις« τοῦ κυρίου »ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών«.

super omnes autem illas ipse malignus porta est mortis et *inferorum*. scientes ergo singulas species carnalium passionum, per quas descendimus in mortem si peccaverimus, caveamus ab eis ut non peccemus, sed exaltati »de portis mortis« adnuntiemus »omnes laudes dei in portis filiae Sion«.

8 Hebr. 1, 14 — 13 Psal. 117, 19 — 15 Psal. 117, 20 — **29ff** Vgl. Psal. 9, 14f

5 θανάτου *** Koe, vgl. lat. 6 l. λέγοιντ᾽ ἂν ? Kl 12/13 πολλὰς Kl, vgl. lat. πύλας M H 21 ⟨πρὸς—πάλη⟩ Kl, vgl. lat. 24 ὑπὲρ Hu, vgl. lat. ὑπὸ M H 25 ⟨πύλη—ᾅδου⟩ Kl Koe, vgl. lat.

1 mundi[1] < B 9 missi B 15 eas] in eas B Pasch 23 illas x* alias *μ*

οἷον ἐν μιᾷ πύλῃ τῆς θυγατρὸς Σιών, τῇ καλουμένῃ σωφροσύνῃ, ἐξαγγελοῦμεν ἀπὸ σωφροσύνης τὰς αἰνέσεις τοῦ θεοῦ, καὶ ἐν ἄλλῃ, τῇ ⟨καλουμένῃ⟩ δικαιοσύνῃ, ἀπὸ δικαιοσύνης τὰς αἰνέσεις τοῦ θεοῦ. καὶ ἁπαξαπλῶς ἐν πᾶσιν οἷς γινόμεθα ἐπαινετοῖς, ἐν τούτοις γινόμεθα ἔν τινι πύλῃ τῆς θυγατρὸς Σιών, κατ' ἐκείνην ἐξαγγέλλοντες αἴνεσίν τινα τοῦ θεοῦ.

utputa ⌞in⌟ una porta filiae Sion, quae dicitur castitas, in castitate laudes dei adnuntiemus; et in altera, quae dicitur iustitia, in iustitia laudes dei adnuntiemus. et generaliter in quibuscumque laudabiles fuerimus, in eis possumus laudes dei adnuntiare;

in quo autem non fuerimus, neque laudare possumus deum. ideo diximus supra: nisi qui fuerit in omnibus portis Sion, non potest omnes laudes dei adnuntiare.

»στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς (δηλονότι Πέτρον καὶ Ἀνδρέαν) ἀκολουθοῦντας λέγει αὐτοῖς· τί ζητεῖτε;«

ὅρα γὰρ ὅτι καὶ ἐν τούτοις τὸ »στραφεὶς« ἐπ' εὐεργεσίᾳ γίνεται τῶν πρὸς οὓς ἐστράφη.

23. Μετὰ ταῦτα ζητητέον πῶς εἴρηκε τῷ Πέτρῳ τὸ σκάνδαλόν μου εἶ, μάλιστα ἐπεί φησιν ὁ Δαυίδ· »εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον«. φήσει γάρ τις· εἰ διὰ τὸ βέβαιον τῶν τὴν *** ἀγάπην ἐχόντων καὶ ἀνεπιδέκτων ὄντων τοῦ σκανδαλίζεσθαι (ἡ ἀγάπη γὰρ »πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει«) εἴρηται τοῦτο ἐν τῷ προφήτῃ, πῶς αὐτὸς ὁ κύριος, ὑποστηρίζων »πάντας τοὺς καταπίπτοντας« καὶ ἀνορθῶν »πάντας τοὺς κατερραγμένους«, εἶπε τῷ Πέτρῳ· σκάνδα|λόν μου εἶ; λεκτέον δὲ ὅτι ἀνεπίδεκτος μέν ἐστι τοῦ σκανδαλίζεσθαι οὐ μόνον ὁ σωτὴρ ἀλλὰ καὶ ⟨πᾶς⟩ ὁ ἐν ἀγάπῃ τετελειωμένος, τὸ

item secundum Iohannem:
»et audierunt duo discipuli eius et secuti sunt Iesum.
conversus autem Iesus vidit illos sequentes se et dixit eis: quid quaeritis?

at illi dixerunt ei: magister, ubi manes?«

23. Adhuc autem requiro quare dixit *ad Petrum*: *scandalum mihi es*, maxime cum in centesimo decimo octavo Psalmo propheta pronuntiet dicens: »pax multa diligentibus legem tuam, et non est illis scandalum«. dicet enim aliquis, quoniam proprium est eorum qui perfectam habent dilectionem erga deum, ut non scandalizentur aliquando (»caritas« enim »omnia suffert, omnia credit, omnia sperat, ⟨omnia sustinet⟩; caritas numquam excidit«), quomodo ergo ipse dominus, qui confirmat omnes qui infirmantur et erigit omnes elisos, dicit *ad Petrum*: *scandalum mihi es*? sed ita est respondendum, quoniam non solum Iesus non scandaliza- 542

4 Joh. 1, 38 — 13—121, 9 Vgl. *B* (Matthaei) I, 140, 3—10 — 16 Psal. 118, 165 (ὄνομα hier wie XIII, 21 u. 29; lat.: legem = νόμον XII, 23 u. XIII, 17. 29, dagegen: nomen [legem B] XIII, 21) — 21 I. Kor. 13, 7f — 21f (lat.) Vgl. I. Joh. 4, 18 — 25 Psal. 144, 14

10 τὸ < H 13 i. m. ἀπορία H | καὶ μετὰ ταῦτα M 19 *** Diehl Kl Koe, vgl. lat. 27 κατηραγμένους M 29 i. m. λύσις H 32 ⟨πᾶς⟩ Diehl, vgl. lat.

4 illos] eos L 5 eis < L 8 ei < y 24 suffert Diehl Koe, vgl. gr. sustinet x 25 ⟨omnia sustinet⟩ Koe 29 dixit Diehl, vgl. gr.

ὅσον δὲ ἐφ᾽ ἑαυτῷ ὁ τὰ τοιαῦτα λέγων ἢ πράττων, σκάνδαλόν ἐστι καὶ τοῦ μὴ σκανδαλισθησομένου· εἰ μὴ ἄρα πάντα τὸν μαθητὴν Ἰησοῦς ἁμαρτάνοντα σκάνδαλον καὶ ἑαυτοῦ ἀποκαλεῖ, ὡς πολλῷ μᾶλλον παρὰ Παῦλον διὰ τὴν ἀγάπην λέξων ἄν· »τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται. καὶ οὐκ ἐγὼ πυροῦμαι;«

tur, sed nec omnis homo qui in dilectione dei perfectus est; sed quantum ad se, qui tale aliquid vel agit vel loquitur, scandalum est alteri, licet ille inscandalizabilis sit. aut certe omnem discipulum peccantem ⟨Iesus⟩ scandalum sibi appellat, sicut et Paulus de huiusmodi discipulis dicit: »quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror«?

παρ᾽ ὃ δυνατὸν ποιῆσαι· τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ σκανδαλίζομαι;

εἰ δὲ Πέτρος τότε (διὰ τὸ ἵλεώς σοι, κύριε, οὐ μὴ ἔσται σοι τοῦτο) σκάνδαλον εἴρηται ὑπὸ τοῦ Ἰησοῦ, ὡς οὐ τὰ τοῦ θεοῦ ἐν οἷς εἶπε φρονῶν, ἀλλὰ τὰ τῶν ἀνθρώπων, τί λεκτέον περὶ πάντων τῶν ἐπαγγελλομένων μαθητεύεσθαι τῷ Ἰησοῦ, μὴ φρονούντων δὲ τὰ τοῦ θεοῦ καὶ μὴ σκοπούντων τὰ μὴ βλεπόμενα καὶ αἰώνια, φρονούντων δὲ τὰ τῶν ἀνθρώπων καὶ σκοπούντων τὰ βλεπόμενα καὶ πρόσκαιρα, ἢ ὅτι οἱ τοιοῦτοι ἔτι μᾶλλον ἂν ὑπὸ τοῦ Ἰησοῦ ἀποκαλοῖντο σκάνδαλον αὐτοῦ καὶ διὰ τὸ σκάνδαλα αὐτοῦ εἶναι καὶ τῶν ἀδελφῶν; ἐφ᾽ οἷς ὡς λέγει τὸ »ἐπείνων καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν« καὶ τὰ ἑξῆς,

si ergo Petrus (propter hoc solum quia dixit: *propitius tibi esto, et hoc tibi non erit*) *scandalum* a Christo est dictus, quasi qui non saperet *quae dei erant* sed *quae hominis*, quid est dicendum de omnibus illis, qui profitentur se discipulos Christi, non autem sapiunt *quae sunt dei* nec aspiciunt ea quae non videntur aeterna, sed quae hominum sunt ⟨sapiunt et⟩ aspiciunt, quae videntur et temporalia sunt? sine dubio multo magis huiusmodi homines scandala Christi sunt appellandi. sed et qui fratrem suum in scandalum mittit, *scandalum* Christi est, secundum quod ipse dicit: »esurivi, et non dedistis mihi manducare«, et cetera.

7 II. Kor. 11, 29 — 23ff Vgl. II. Kor. 4, 18 — 31,32 Matth. 25, 42

4 *πάντα* < H 15 *ἵλεος* H 22 *δὲ* < H[a] 28 *ἰυ*] *θῦ* M

7 ⟨Iesus⟩ Diehl, vgl. gr. 9 dicit] dicebat B < L 21 omnibus Kl hominibus x 22 non < R G 25 ⟨sapiunt et⟩ Koe 29 Christi] a Christo Diehl 33 non dedistis] dedisti G L

οὕτως εἴποι ἂν καὶ τὸ τρέχοντα ἐσκανδαλίσατέ με.

sicut ergo qui fratrem suum cibat Christum cibat, sic et qui fratri suo *scandalum* fuerit factus Christo factus est *scandalum*.

μὴ νομίσωμεν τοίνυν τὸ τυχὸν εἶναι ἁμάρτημα τὸ φρονεῖν τὰ τῶν ἀνθρώπων, δέον ἐν πᾶσι φρονεῖν τὰ τοῦ θεοῦ. ἁρμόσει δὲ λέγειν τοῦτο

non est ergo leve peccatum sapere quae hominum sunt, cum debeat quis in omnibus sapere quod est dei. hoc autem quod dicit: »scandalum mihi es, quia non sapis quae dei sunt, sed quae hominum«, non solum dicendum est peccantibus in conversatione, sed

καὶ παντὶ τῷ ἀποπεπτωκότι μὲν δογμάτων θεοῦ καὶ λόγων ἐκκλησιαστικῶν καὶ φρονήματος ἀληθοῦς, φρονοῦντι δ' ὡς ἀληθῆ (φέρε εἰπεῖν) τὰ Βασιλίδου ἢ Οὐαλεντίνου ἢ Μαρκίωνος ἤ τινος τῶν διδασκόντων τὰ ἀνθρώπινα ὡς θεῖα.

et omnibus qui a dogmatibus dei ecciderint et ab omnibus ecclesiasticis verbis et ab omni sapientia veritatis et sapuerint (verbi gratia) Basilidis vel Valentini vel Marcionis aut cuiuscumque eorum. qui humana docent quasi divina.

24. *Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν* καὶ τὰ ἑξῆς (16. 24—27).

24. *Tunc Iesus dixit discipulis suis: si quis vult venire post me.*

abneget semetipsum et tollat crucem suam, et sequatur me.

Quoniam superius diximus magni boni esse ire post Christum, ideo conferamus omnium evangelistarum de hoc loco convenientia verba. et Marcus qui-

1 Vgl. Prov. 4, 12? — 30 Vgl. S. 118. 13

7 τὸ < H   16 καὶ] + ἐν M   20 βασιλείδου? M   22 ὡς] καὶ M   26 ἀκολουθεῖν] vgl. Hautsch TU. 34, 2^{a}, 54

7 ergo < B   24 tunc iesus dixit] II secundum matheum. In illo tempore dixit ihs L   25/26 post me venire B L   28 tollens y   29 me + omelia Origenis de eadem te L

dem dicit hoc modo: et convocans populum cum discipulis suis dixit eis: si quis vult post me venire, abneget semetipsum et tollat crucem suam, et sequatur me«. Lucas autem ita: »dicebat ad omnes: si quis vult post me venire, abneget semetipsum et tollat crucem suam, et sequatur me«.

Διὰ τούτων δείκνυται, ὅτι τὸ θέλειν ὀπίσω τοῦ Ἰησοῦ ἐλθεῖν καὶ ἀκολουθεῖν αὐτῷ οὐκ ἀπὸ τοῦ τυχόντος ἀνδραγαθήματος γίνεται. καὶ οὐδεὶς μὴ ἀρνησάμενος ἑαυτὸν ἥκοι ἂν ὀπίσω τοῦ Ἰησοῦ. ἀρνεῖται δὲ ἑαυτὸν ὁ τὸν ἑαυτοῦ πρότερον κατὰ κακίαν βίον γεγενημένον τῇ ἀξιολόγῳ μεταβολῇ ἀπαλείφων. οἷον (ὡς ἐπὶ παραδείγματος) ὁ πάλαι ἀκόλαστος ἀρνεῖται αὑτὸν ἀκόλαστον σωφρονήσας καὶ καθεξῆς.

ergo per hos omnes manifeste cognoscimus, quoniam non est qualiscumque virtutis *ire post* Christum et *sequi* eum, et nemo potest *ire post* Christum, nisi *denegaverit se.* denegat autem *seipsum*, 543 qui priorem vitam suam malam bona conversione relinquit. utputa aliquando luxuriosus denegat se luxuriosum, conversus ad castitatem,

et qui erat iniustus, denegat se iniustum cum coeperit servare iustitiam. sic et qui insipiens fuerat aliquando, denegat se insipientem sapientiam dei suscipiens, et timidus aliquando confirmatus in virtute dei timidum denegat se. sic et in omni malitia est dicendum: qui se ab ea converterit secundum quod praecepit Iesus, denegat se quod fuerat.

15–124, 8 Vgl. C[luc] Nr. 24 Or. . . . *οἷον ὁ πάλαι ἀκόλαστος ἀρνεῖται ἑαυτὸν ἀκόλαστον σωφρονήσας καὶ ὁ πάλαι ἄδικος ἀρνεῖται ἑαυτὸν ἄδικον δικαιοπραγήσας, καὶ ἐπὶ τῶν ὁμοίων*, vgl. TU. 47, 2, 82

18 *τῇ*] *Ἰησοῦ* C[luc] Nr. 24 18/19 lat. las *ἀπολείπων*? Diehl Kl 21 *σωφρονίσας* M 22 *καὶ καθεξῆς*] *κατὰ τὰ καθεξῆς* M

4 tollens R 5 et < R G 15 seipsum] semetipsum B Pasch 17 conversatione B Pasch 32 se < L

ἀλλ’ εἰκὸς ἀντιπίπτειν τινά, εἰ ὥσπερ
ἑαυτὸν ἠρνήσατο, οὕτως καὶ αὐτὸν
ὁμολογεῖ, ἀρνησάμενος μὲν ἑαυτὸν
τὸν ἄδικον, ὁμολογῶν δὲ ἑαυτὸν τὸν
5 δίκαιον. ἀλλ’ εἴπερ Χριστός ἐστιν
ἡ δικαιοσύνη, ὁ τὴν δικαιοσύνην
ἀνειληφὼς οὐχ ἑαυτὸν ἀλλὰ Χριστὸν
ὁμολογεῖ. οὕτως καὶ ὁ τὴν σοφίαν
εὑρὼν δι’ αὐτοῦ τοῦ ἔχειν σοφίαν
10 Χριστὸν ὁμολογεῖ. καὶ ὁ τοιοῦτός γε,
»καρδίᾳ« πιστεύων »εἰς δικαιοσύνην«,
καὶ »στόματι« ὁμολογῶν »εἰς σωτη-
ρίαν« καὶ τοῖς ἔργοις Χριστῷ μαρ-
τυρῶν***, ὡς ὁμολογήσας διὰ πάντων
15 τούτων τὸν Χριστὸν »ἔμπροσθεν τῶν
ἀνθρώπων«, ὁμολογηθήσεται ὑπ’ αὐ-
τοῦ »ἔμπροσθεν τοῦ ἐν τοῖς οὐρανοῖς
πατρός«. οὕτω δὲ καὶ ὁ μὴ ἀρνησά-
μενος ἑαυτὸν ⟨ὁμολογεῖ μὲν ἑαυτόν,
20 ἀρνεῖται δὲ τὸν Χριστὸν καὶ ὡς⟩ ἀρνη-
σάμενος τὸν Χριστὸν πείσεται τὸ
»κἀγὼ αὐτὸν ἀρνήσομαι«. διὰ τοῦτο
πᾶς διαλογισμὸς ἡμῶν καὶ νόημα καὶ
πᾶς λόγος καὶ πᾶσα πρᾶξις πνεέσθω
25 τῆς ἡμῶν περὶ ἑαυτῶν μὲν ἀρνήσεως,
περὶ δὲ Χριστοῦ καὶ ἐν Χριστῷ μαρτυ-
ρίας ⟨καὶ ὁμολογίας⟩. πείθομαι γὰρ
πᾶσαν τὴν τοῦ τελείου πρᾶξιν μαρ-
τύριον εἶναι Χριστοῦ Ἰησοῦ, καὶ τὴν
30 πάσης ἁμαρτίας ἀποχὴν ἄρνησιν
εἶναι ἑαυτοῦ φέρουσαν ὀπίσω τοῦ

consequenter autem est requirendum, ne forte quis sicut denegat seipsum, sic et confiteatur seipsum, denegans se quidem iniustum, confitens autem se iustum. sed si iustitia Christus est, qui iustitiam suscipit, non se confitetur sed Christum. sic et qui sapientiam invenit, per hoc ipsum quod sapienter agit confitetur Christum. nam et is qui »corde credit ad iustitiam, ore autem confitetur ad salutem« et operibus Christo testimonium praebet et verbis, ⟨merebitur⟩, quasi qui per haec omnia confessus est Christum »coram hominibus«, ut confiteatur illum »coram patre« omnium Christus. sic et econtra qui non denegat semetipsum, se quidem confitetur denegat autem Christum, et quasi qui denegaverit Christum, denegabitur et ipse a Christo. propterea omnis cogitatio nostra et intellectus et omnis sermo et omnis actus nostram quidem denegationem spiret, Christi autem testimonium atque confessionem. credo enim hominis perfecti omnes actus testimonium esse Christi, et abstinentiam om-

5 ff Vgl. I. Kor. 1, 30 — 11 Vgl. Röm. 10, 10 — 15 ff Vgl. Matth. 10, 32 — 22 Matth. 10, 33 — 29—125, 10 Vgl. C[luc] Nr. 24 Or.

13 χριστῷ Kl χῦ M H 14 *** Koe, vgl. lat. 17 τοῖς < M 19/20 ⟨ὁμολογεῖ — καὶ ὡς⟩ Kl, vgl. lat. 24 πνεέσθω Kl, vgl. lat. γινέσθω M H 27 ⟨καὶ ὁμολογίας⟩ Diehl, vgl. lat.

3 confitetur G 15 ⟨merebitur⟩ Kl 27 spiret ϱ spirat x 31 est xpi G ~ L | omnis G L

Ἰησοῦ. ὁ δὲ τοιοῦτος Χριστῷ συνεσταύρωται. καὶ ἄρας τὸν σταυρὸν ἑαυτοῦ ἀκολουθεῖ τῷ δι' ἡμᾶς βαστάζοντι τὸν ἑαυτοῦ σταυρὸν κατὰ
5 τὸ εἰρημένον οὕτω παρὰ τῷ Ἰωάννῃ »παραλαβόντες οὖν αὐτὸν ἐπέθηκαν αὐτῷ«

10 καὶ τὰ ἑξῆς

ἕως τοῦ »ὅπου αὐτὸν ἐσταύρωσαν«. ἀλλ' ὁ μὲν (ἵν' οὕτως ὀνο-
15 μάσω) κατὰ τὸν Ἰωάννην Ἰησοῦς »ἑαυτῷ« βαστάζει »τὸν σταυρὸν« καὶ »βαστάζων αὐτὸν ἐξῆλθεν«, ὁ δὲ κατὰ τὸν Ματθαῖον καὶ Μᾶρκον καὶ Λουκᾶν οὐχ ἑαυτῷ αὐτὸν αἴρει·
20 Σίμων γὰρ ὁ Κυρηναῖος αὐτὸν βαστάζει. καὶ τάχα οὗτος μὲν εἰς ἡμᾶς ἀναφέρεται, τοὺς διὰ τὸν Ἰησοῦν τὸν Ἰησοῦ σταυρὸν | αἴροντας. αὐτὸς δὲ ὁ Ἰησοῦς εἰς ἑαυτόν· οἷον
25 γὰρ δύο ἐπίνοιαι τοῦ σταυροῦ εἰσιν, ἑνὸς μὲν ὃν ὁ Σίμων ὁ Κυρηναῖος βαστάζει, ἑτέρου δὲ ὃν αὐτὸς »ἑαυτῷ« ὁ Ἰησοῦς.

25. Ἔτι δὲ εἰς τὸ ἀρνησάσθω
30 ἑαυτὸν δοκεῖ μοι χρήσιμον εἶναι τὸ ὑπὸ τοῦ Παύλου ἀρνουμένου ἑαυτὸν εἰρημένον, οὕτως ἔχον· »ζῶ δὲ οὐκ-

nium peccatorum denegationem hominis esse ducentem *post* Christum. iste autem talis Christo confixus est et tollens *crucem suam* sequitur eum, qui propter nos crucem suam portavit secundum quod scriptum est in Iohanne: »receperunt ergo Iesum et adduxerunt et inposuerunt super eum crucem, et portans crucem suam egressus est in locum qui dicitur Calvariae«.

544

25. Adhuc autem in eo quod dicit *abneget semetipsum* videtur mihi utile esse exemplum Pauli denegantis *seipsum* et dicentis:

1ff Vgl. Hieron. in Matth. 128 A: (*qui*) . . . *tollitque crucem suam, et mundo crucifigitur. cui autem mundus crucifixus est, sequitur dominum crucifixum* — **1** Vgl. Gal. 2, 19 — **6** Joh. 19, 17—18 — **16f. 27** Vgl. Joh. 19, 17 — **21** Vgl. Matth. 27, 32 Parr. — **32** Gal. 2, 20

3 ἑαυτοῦ] καὶ M **5** παρὰ τῷ ἐν M[c], κατὰ τῷ ἐν M[a] **24** εἰς αὐτόν M **31** ἑαυτοῦ M **32** δὲ < M

3 autem] enim G L 4 confixus] vgl. auch S. 126, 17. 29 ⟨cruci⟩ confixus Diehl, vgl. Itala

έτι ἐγώ. ζῇ δὲ ἐν ἐμοὶ Χριστός«· τὸ γὰρ »ζῶ οὐκέτι ἐγὼ« φωνὴ ἦν ἑαυτὸν ἀρνουμένου, ὡς ἀποθεμένου μὲν τὴν ἑαυτοῦ ζωήν, ἀνειληφότος δὲ εἰς
5 *ἑαυτὸν τὸν Χριστόν, ἵνα αὐτὸς ἐν αὐτῷ ζήσῃ ὡς »δικαιοσύνη« καὶ ὡς »σοφία« καὶ ὡς »ἁγιασμὸς« καὶ ὡς »εἰρήνη ἡμῶν« καὶ ὡς »δύναμις θεοῦ«, πάντα ἐν αὐτῷ ἐνεργῶν. ἔτι δὲ καὶ*
10 *τούτῳ πρόσχες ὅτι, πολλῶν ὄντων τῶν τρόπων τοῦ ἀποθνήσκειν, »ἐπὶ ξύλου« κρεμασθεὶς ἐσταυρώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα πάντες οἱ ἀποθνήσκοντες »τῇ ἁμαρτίᾳ« μὴ ἄλλῳ τρόπῳ*
15 *ἀποθάνωσιν αὐτῇ ἢ τῷ κατὰ τὸν σταυρόν· διὸ ἐροῦσι τὸ »Χριστῷ συνεσταύρωμαι« καὶ τὸ »ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ⟨ἡμῶν Ἰησοῦ Χρι-*
20 *στοῦ⟩, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ«.*

»vivo autem non iam ego, vivit autem in me Christus«. quod enim dicit »vivo non iam ego« vox est denegantis seipsum et quasi
5 qui deposuit suam vitam, suscepit autem Christum in se, ut ipse vivat in eo quasi iustitia, quasi sapientia, quasi sanctificatio, quasi pax nostra, quasi virtus
10 dei, in eo operans omnia haec. adhuc autem vide et hoc, quod cum multi essent modi mortis, »in ligno« suspensus crucifixus est filius dei, ut omnes qui moriuntur
15 peccato, non alio modo moriantur ei nisi secundum crucem; ut dicere possint: »Christo confixus sum«, item: »mihi autem absit gloriari nisi in cruce domini nostri Iesu
20 Christi, per quem mihi mundus crucifixus est, et ego mundo«. quamvis ergo videatur se abstinere aliquis a peccato et sit mortuus quantum ad peccatum, ta-
25 men nisi in crucem Christi crediderit et in fide eius qui crucifixus est abstinuerit se a peccato, non potest dicere: »ego autem Christo confixus sum«.

30 *τάχα γὰρ καὶ ἕκαστος τῶν συσταυρουμένων Χριστῷ ἀπεκδύεται »τὰς*

30 forsitan autem et unusquisque eorum, qui cum Christo cruci-

6 Vgl. I. Kor. 1, 30 — 7 Vgl. Eph. 2, 14 — 8 Vgl. I. Kor. 1, 24 — 9—127, 4 Vgl. *B* (Matthaei) I, 142, 15—23 An. — 11 Vgl. Gal. 3, 13 — 14 Vgl. Röm. 6, 2 — 16 f Gal. 2, 19 — 17 Gal. 6, 14 — 30 Vgl. Gal. 2, 19 — 31 f Kol. 2, 15

9 *ἐν ἑαυτῷ* M 19. 20 ⟨*ἡμῶν Ἰησοῦ Χριστοῦ*⟩ Kl, vgl. lat. 30 *γὰρ*] *δὲ* Koe, vgl. lat.

1. 3 iam non L 2 autem] vero L 7 eo *μ* eum x 17. 29 crucifixus L 18 mihi autem absit L mihi absit G ~ B Pasch 25 xpi < G^a dni B

ἀρχὰς καὶ τὰς ἐξουσίας« καὶ δειγματίζει αὐτὰς καὶ θριαμβεύει ἐν τῷ ξύλῳ, μᾶλλον δὲ Χριστὸς ἐν αὐτοῖς ταῦτα ποιεῖ.

26. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν.

Ἀμφίβολος ἡ πρώτη λέξις· ἔστι γὰρ ἀπ' αὐτῆς καθ' ἕνα μὲν τρόπον ταῦτα νοῆσαι· εἴ τις ὡς φιλόζωος καὶ οἰόμενος τὴν ἐνεστηκυῖαν εἶναι ζωὴν ἀγαθόν, περιέπει τὴν ἑαυτοῦ ψυχὴν πρὸς τὸ ἐν σαρκὶ ζῆν, φοβούμενος ἀποθανεῖν ὡς διὰ τούτου · τοῦ θανάτου ἀπολέσων αὐτήν, οὗτος ἐν αὐτῷ τῷ θέλειν τὸν τρόπον τοῦτον σώζειν τὴν ψυχὴν ἑαυτοῦ ἀπολέσει αὐτήν, ἔξω ποιῶν αὐτὴν τῶν ὅρων τῆς μακαριότητος. εἰ δέ τις καταφρονῶν τοῦ ἐνεστηκότος ζῆν διὰ τὸν ἐμὸν λόγον πείσαντα περὶ αἰωνίου ζωῆς | μέχρι θανάτου ἀγωνίζεσθαι ὑπὲρ ἀληθείας, ἀπόλλυσι τὴν ἑαυτοῦ ψυχὴν *** παραδιδοὺς αὐτὴν ὑπὲρ

figuntur, exuit se principatus et potestates et traducit eas et triumphat eas in ligno; magis autem Christus in eo haec omnia facit.

26. *Qui enim voluerit salvam facere animam suam, perdet illam; qui autem perdiderit animam suam propter me, inveniet eam. quid autem proficit homo, si totum mundum lucretur, et animae suae detrimentum faciat? aut quam commutationem dabit homo pro anima sua?*

Dupliciter possumus intellegere hoc verbum; primum hoc modo: si quis amator vitae praesentis et putans hanc vitam praesentem esse optimam, parcit animae suae *** timens mori et putans animam suam per hanc mortem perire, iste volens hoc modo *salvare animam suam perdet illam*, alienam faciens eam a vita aeterna. si quis autem contemnens vitam praesentem propter Christi verbum et confidens de vita aeterna usque ad mortem pro veritate certaverit, 545 *perdet* quidem *animam suam* (quantum ad vitam praesentem) tradens eam pro pietate in mor-

17—128, 4 Vgl. C[luc] Nr. 24 Or. — 17 128, 13 Vgl. *B* (Matthaei) I, 144, 15—145, 2 An.

3 ὅχς ? M 7 *αὐτοῦ* verklext M 21 ⟨*τούτου*⟩ Diehl, vgl. lat. 22 *οὕτως* H 31 *** Diehl Kl Koe, vgl. lat.

1 2 exuit . . . traducit *μ* exuet . . . traducet x 6 f animam suam salvam facere B 10 homini G[c.r.] 12 f dabit homo commutationem L 15 intelligere possumus B 19 optimam] + vitae B 20 *** Diehl, vgl. gr.

εὐσεβείας τῷ κοινότερον ὀνομαζομένῳ θανάτῳ. οὗτος, ὡς δι' ἐμὲ ἀπολέσας τὴν ψυχήν, σώσει αὐτὴν μᾶλλον καὶ περιποιήσεται ***. καὶ καθ' ἕτερον δὲ τρόπον οὕτως ἂν ἐκδεχοίμεθα τὸ ῥητόν· εἴ τις νοήσας, ὅ τί ποτέ ἐστιν ἡ σωτηρία, βούλεται κομίσασθαι τὴν σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς, οὗτος ἀποταξάμενος τούτῳ τῷ βίῳ καὶ ἀρνησάμενος αὐτὸν καὶ ἄρας τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθῶν μοι ἀπολλύτω τῷ κόσμῳ τὴν ψυχὴν ἑαυτοῦ· ἐμοῦ γὰρ ἕνεκεν καὶ πάσης μου τῆς διδασκαλίας ἀπολλὺς αὐτήν, τέλος τῆς τοιαύτης ἀπωλείας *** κομίσεται τὴν σωτηρίαν.

tem, quae abusive dicitur mors, iste quoniam propter Christum perdidit *animam suam*, magis *eam* faciet salvam in vita aeterna. alio autem modo sic intellegimus textum: si quis intellegit quae est vera salus, et adquirere vult eam salutem animae suae, iste abrenuntians hanc vitam et denegans se ipsum et *tollens crucem suam et* sequens Christum, perdit quantum ad voluntates carnales *animam suam* propter Christum et propter omnem doctrinam eius, et perdens *animam suam* hoc modo salvat *eam* per opera pietatis.

denique quasi ad superiora reddens rationem sic adiecit: *qui enim voluerit salvam facere animam suam, perdet illam.* dicendo *qui enim voluerit* praecedentem et sequentem unum sensum esse ostendit. si ergo quod superius dixit: *abneget semetipsum et tollat crucem suam, et sequatur me,* de morte sola dixit, et hoc quod dicit: *qui voluerit salvam facere animam suam, perdet illam,* consequenter de sola morte dictum intellegere debemus. si autem abnegare et tollere crucem non solum est mori pro Christo, sed carnalem conversationem reicere, sine dubio et perdere animam non solum mori est, sed etiam deponere voluntates carnales.

1 ὀνομάζω M 2 δι' ἐμὲ] διὰ Χριστὸν C^luc Nr. 24, vgl. lat. 4 *** Kl Koe, vgl. lat. 10 ἑαυτὸν M 16 *** Diehl, vgl. lat.

2 iste x* Pasch sed ϱ 11 l. perdito? Diehl, vgl. gr. 22 enim < B Pasch 24 ostendens Koe

27. Ἅμα δὲ καὶ τήρει ὅτι ἐν μὲν τῇ ἀρχῇ τὸ ὃς ἂν θέλῃ εἴρηται,

5 ἑξῆς δὲ τὸ ὃς ἂν ἀπολέσῃ αὐτήν.

10

θέλοντες οὖν αὐτὴν σώζεσθαι ἀπολέσωμεν αὐτὴν τῷ κόσμῳ, ὡς Χριστῷ συσταυρούμενοι καὶ ὡς 15 ἔχοντες καύχημα τὸ »ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ὁ κόσμος« ἡμῖν σταυρωθήσεται καὶ ἡμεῖς »τῷ κόσμῳ«, ἵνα κομισώμεθα »τὸ τέλος τὴν σωτηρίαν 20 τῶν ψυχῶν« ἡμῶν, ἀρχομένην ἀπὸ τοῦ ἀπολλύναι ἡμᾶς αὐτὴν ἕνεκεν τοῦ λόγου.

ἀλλ' εἴπερ νοοῦμεν τὸ σώζεσθαι τὴν ψυχὴν μακάριον εἶναι, ἀναφερό- 25 μενον ἐπὶ τὴν ἐν θεῷ σωτηρίαν καὶ τοὺς παρ' αὐτῷ μακαρισμούς, ὀφείλει τις εἶναι καὶ ἀπώλεια ψυχῆς ἀγαθὴ καὶ ἕνεκεν Χριστοῦ, προοίμιον ἐσομένη τῆς μακαρίας σω- 30 τηρίας.

δοκεῖ μοι οὖν, ἀνάλογον τῷ ἀρνεῖσθαι ἑαυτὸν κατὰ τὰ ἀποδεδο-

27. Simul autem considera, quoniam in principio quidem non dicit: *qui* salvaverit *animam suam, perdet illam*, sed: *qui voluerit animam suam salvare, perdet eam*, in sequentibus autem non dicit: *qui autem* voluerit *animam suam* perdere *propter me, hic salvam faciet eam*, sed ita: *qui perdiderit animam suam propter me, hic salvam faciet eam.*

volentes ergo salvare animam nostram perdamus eam huic mundo, quasi crucifixi cum Christo et habentes gloriationem »in cruce domini nostri Iesu Christi, per quem nobis crucifixus est mundus et nos mundo«, ut consequamur salutem animarum nostrarum in

conversatione vitae melioris.

itaque (secundum ea quae diximus) videtur mihi simile esse hoc

14 Vgl. Gal. 2, 19 — **15ff** Vgl. Gal. 6, 14 — **18** Vgl. I. Petr. 1, 9 — **23—130, 6** Vgl. C[luc] Nr. 24 Or.

6 ἂν < M **17** ὁ < M **31—130, 6** δοκεῖ—σωζομένην] stimmt nicht recht mit lat. Z. 31—130, 10

12 salvari Diehl, vgl. gr.

μένα, ἀπολλύναι δεῖν ἕκαστον τὴν ἑαυτοῦ ψυχήν. ἀπολλύτω οὖν ἕκαστος τὴν ἑαυτοῦ ἁμαρτάνουσαν ψυχήν, ἵνα ἀπολέσας τὴν ἁμαρτάνουσαν ἀναλάβῃ τὴν ἐν τῷ κατορθοῦν σωζομένην. οὐδὲν δὲ ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδάνῃ.

ei quod dixit: *abneget semetipsum et tollat crucem suam.* qui enim denegat *se et* tollit *crucem suam,* ipse est qui perdit *animam suam* propter Christum et perdens melius *eam salvat,* et qui perdit *animam suam* quantum ad voluntates carnales, ipse est qui denegat se et tollens *crucem* sequitur Christum. *quid autem proficit homo, si totum mundum lucretur, animae autem suae detrimentum faciat?*

κερδαίνει δ᾿ (οἶμαι) τὸν | κόσμον,

puto quod mundum lucratur, (546) qui non abnegat semetipsum nec tollit crucem suam et sequitur Christum (secundum ea quae diximus) nec perdit animam suam quantum ad voluntates carnales, ut salvet eam in conversationibus spiritalibus,

ᾧ ὁ κόσμος οὐ σταυροῦται.

cui mundus non crucifigitur in cruce domini nostri Iesu Christi;

ᾧ δὲ κόσμος οὐ σταυροῦται, ἐκείνῳ ἔσται ζημία τῆς ψυχῆς ἑαυτοῦ. δύο δὲ προκειμένων, ἤτοι διὰ τὸ κερδαίνειν τὴν ψυχὴν ζημιοῦσθαι τὸν κόσμον, ἢ διὰ τὸ κερδαίνειν τὸν κόσμον ζημιοῦσθαι τὴν ψυχήν, πολλῷ μᾶλλόν ἐστιν αἱρετώτερον ζημιωθῆναι μὲν ἡμᾶς τὸν κόσμον, κερδῆσαι δὲ τὴν ψυχὴν ἐκ τοῦ διὰ Χριστὸν αὐτὴν ἀπολέσαι.

cui autem non crucifigitur mundus, ipse facit suae animae detrimentum. ideo duobus nobis propositis, ut si voluerimus mundum lucrari perdamus animas nostras, aut si animas nostras voluerimus lucrari perdamus hunc mundum, magis est eligendum ut mundum perdamus et lucremur animas nostras, ex eo quod propter Christum perdimus eas.

9—131, 20 Vgl. *B* (Matthaei) I, 146, 6—20 An. — 21 Vgl. Gal. 6, 14

4 ἵνα < H^a | ἀπολέσας] + οὖν —ψυ H^a (Dittographie) 24 αὐτοῦ M

4 perdit] perdet G 6 perdit] perdet G L 12 faciat] patiatur B 13 lucretur L 14 abneget G^a 24 animae suae B Pasch 26 mundum < G^a 30 magis] + autem L

28. *Τὸ δὲ ἢ τί δώσει ἄνθρω-
πος ἀντάλλαγμα τῆς ψυχῆς
αὐτοῦ;* δόξει μὲν ἐπαπορητικῶς εἰρη-
μένον δύνασθαι δηλοῦν καὶ τὸ δοῦναι
5 ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ
μετὰ τὰς ἁμαρτίας ὅλην ἀπο-
δεδομένον τὴν οὐσίαν, ἵνα ψω-
μίσῃ πένητας τὰ ὑπάρχοντα αὐτοῦ,
ὡς διὰ τούτου σωθησόμενος. καὶ
10 ἀποφαντικῶς δ' οἶμαι δηλοῦν ὅτι
οὐκ ἔστι τι τῷ ἀνθρώπῳ, ὅπερ
δοὺς ὡς ἀντάλλαγμα τῆς ψυχῆς
ἑαυτοῦ κεκρατημένης ὑπὸ τοῦ θα-
νάτου, λυτρώσεται αὐτὴν ἐκ χειρὸς
15 αὐτοῦ. ἄνθρωπος μὲν οὖν οὐκ
ἂν δῴη τι ἀντάλλαγμα τῆς
ψυχῆς αὐτοῦ, θεὸς δὲ τῆς πάν-
των ἡμῶν ψυχῆς ἀντάλλαγμα
ἔδωκε τὸ τίμιον αἷμα τοῦ Ἰησοῦ
20 καθὸ »τιμῆς« ἠγοράσθημεν, »οὐ
φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ« ἀπο-
λυτρωθέντες, »ἀλλὰ τιμίῳ αἵματι ὡς
ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ«,
καὶ ἐν Ἡσαΐᾳ λέλεκται τῷ Ἰσραήλ·
25 »ἔδωκά σου ἀντάλ|λαγμα Αἰθιο- 547
πίαν καὶ Αἴγυπτον καὶ Σοήνην
ὑπὲρ σοῦ, ἀφ' οὗ σὺ ἔντιμος ἐγένου
ἐναντίον μου, ἐδοξάσθης«· ἄλλαγμα
γὰρ (φέρ' εἰπεῖν) ὑπὲρ τῶν πρωτο-
30 τόκων τοῦ Ἰσραὴλ τὰ πρωτότοκα
γέγονεν Αἰγυπτίων, καὶ ὑπὲρ τοῦ
Ἰσραὴλ οἱ ἀποθανόντες Αἰγύπτιοι
ἐν ταῖς λοιπαῖς μάστιξι ταῖς ἐπελη-
λυθυίαις ἐπ' Αἴγυπτον καὶ ἐν τῷ
35 μετὰ τὰς μάστιγας καταποντισμῷ.

28. *Aut quam dabit commutationem homo pro anima sua?* in prima quidem facie

commutatio animae est substantia, ut det substantiam suam homo pauperibus et salvet animam suam.

puto autem quia non habet aliquid homo, quod dans quasi commutationem animae suae quae tenetur a morte, liberet eam de manu eius. ergo homo quidem non potest dare aliquam commutationem pro anima sua, deus autem pro animabus omnium ⟨nostrum⟩ dedit commutationem pretiosum sanguinem filii sui; nec enim empti sumus »corruptibili argento vel auro, sed pretioso sanguine

agni inmaculati«.

7 Vgl. I. Kor. 13, 3 — 20 Vgl. I. Kor. 7, 23 — I. Petr. 1, 18f — 25 Jes. 43, 3f — 25ff Vgl. Hieron. in Matth. 128 A: *pro Israhel datur commutatio Aegyptus et Aethiopia et Soene*

7/8 ψωμίσῃ ⟨ἄνθρωπος⟩ Kl, vgl. lat. 30—32 τὰ—Ἰσραὴλ < H

10 aliquid x* aliquis ϱ 17 ⟨nostrum⟩ Diehl, vgl. gr.

ἀπὸ τούτων δὲ ὁ δυνάμενος ἐξεταζέτω εἰ τοῦ ἀληθινοῦ Ἰσραὴλ ἄλλαγμα δίδοται ὑπὸ τοῦ θεοῦ »ῥυομένου τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν 5 ἀνομιῶν αὐτοῦ« ἡ ἀληθινὴ Αἰθιοπία καὶ (ἵν' οὕτως ὀνομάσω) πνευματικὴ Αἴγυπτος, καὶ τῆς Αἰγύπτου ἡ Σοήνη. ἵνα δὲ τολμηρότερον ζητήσω, τάχα Σοήνη μὲν ὑπὲρ τῆς 10 Ἱερουσαλήμ, Αἴγυπτος δὲ ὑπὲρ τῆς Ἰουδαίας, Αἰθιοπία δὲ ὑπὲρ τῶν φοβουμένων, ἑτέρων ὄντων παρὰ τὸν Ἰσραὴλ καὶ τὸν οἶκον Λευῒ καὶ τὸν οἶκον Ἀαρών.

15 29. Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ.

29. *Nam filius hominis venturus est in maiestate patris sui cum angelis suis,*

20

et tunc reddet unicuique secundum opera eius.

Νῦν μὲν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλήλυθεν ⟨ἀλλ'⟩ οὐκ ἐν τῇ δόξῃ αὐτοῦ· »εἴδομεν« γὰρ »αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, | ἀλλὰ 25 τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ πόνῳ καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, 30 ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη«. καὶ ἔδει αὐτὸν τοιοῦτον ἐληλυθέναι, ἵνα »τὰς ἁμαρτίας ἡμῶν φέρῃ καὶ περὶ ἡμῶν« ὀδυνηθῇ· οὐδὲ γὰρ ἔπρεπε τὸν ἐν δόξῃ φέρειν »τὰς 35 ἁμαρτίας ἡμῶν καὶ« ὀδυνηθῆναι

Nunc quidem *filius hominis* venit, sed non *in gloria sua*; »vidimus enim eum, et non habebat speciem neque decorem, sed species 548 eius inhonorata et contemptibilis prae filiis hominum; homo cum esset in plaga et dolore et sciens ferre infirmitatem, quoniam aversa est facies eius ⟨et despecta⟩ et pro nihilo aestimata«. et vere oportebat eum talem venire, ut peccata nostra portaret et pro nobis doleret. nec enim decebat eum *in gloria* constitutum »peccata nostra« portare neque dolere »pro

3 Psal. 129, 8 — 23 Jes. 53, 2f — 32ff Vgl. Jes. 53, 4

22 ⟨ἀλλ'⟩ οὐκ Hu, vgl. lat. 31 l. ⟨ἀληθῶς⟩ ἔδει Kl nach Diehl, vgl. lat. 33 οὐ γὰρ H

27 dolore x* dedecore ϱ 28/29 adversa G[a] B 29 ⟨et despecta⟩ Koe 32/33 nobis + ipse B

»περὶ ἡμῶν«. ἀλλὰ καὶ ἔρχεται ἐν δόξῃ προευτρεπίσας τοὺς μαθητὰς διὰ τῆς μὴ ἐχούσης »εἶδος μηδὲ κάλλος« ἐπιφανείας αὐτοῦ.
5 καὶ γενόμενος ὡς αὐτοὶ πρὸς τὸ γενέσθαι αὐτοὺς ὡς αὐτός, »συμμόρφους τῆς εἰκόνος« τῆς δόξης αὐτοῦ, ἐπεὶ πρότερον αὐτὸς γέγονε σύμμορφος »τῷ σώματι τῆς τα-
10 πεινώσεως ἡμῶν«. ἡνίκα »ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν« ἀποκαθίσταταί τε ἐπὶ τὴν τοῦ θεοῦ μορφὴν
καὶ ποιεῖ αὐτοὺς »συμμόρφους« αὐτῇ.

15 30. Ἐὰν δὲ ⟨τροπικῶς⟩ δυνηθῇς κατανοῆσαι τὰς τοῦ λόγου διαφοράς, ἐν μωρίᾳ »κηρύγματος« καταγγελλομένου τοῖς πιστεύουσι καὶ ἐν σοφίᾳ λαλουμένου »τοῖς
20 τελείοις«, ὄψει τίνα τρόπον ὁ λόγος τοῖς μὲν εἰσαγομένοις ἔχει »δούλου μορφήν«, ὥστ' ἂν εἰπεῖν αὐτούς· »εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος«. τοῖς δὲ τελείοις ἔρ-
25 χεται »ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ«, λέξουσιν ἂν τὸ »καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας«. καὶ γὰρ τοῖς
30 τελείοις φαίνεται ἡ δόξα τοῦ λόγου καὶ τὸ μονογενὲς αὐτοῦ τῷ πατρὶ

nobis«. sed et veniet in gloria sua, cum ante praeparaverit discipulos suos per adventum suum non habentem speciem neque decorem, factus sicut illi, ut illos faceret sicut ipse »conformes imagini« gloriae suae, quoniam prius factus est ipse conformis »corpori humilitatis nostrae, quando semetipsum exinanivit formam servi suscipiens«, ut restituat eam in forma dei.

30. Si autem moraliter potueris intellegere differentias verbi, quod et in stultitia praedicationis adnuntiatur credentibus et in sapientia ⟨dicitur⟩ »inter perfectos«, videbis quomodo verbum dei eis quidem, qui noviter inducuntur ad fidem, formam habet »servi«, ut dicant: »vidimus eum, et non habebat speciem neque decorem«, perfectis autem venit *in gloria patris sui*, ut dicant: »et vidimus gloriam eius, gloriam tanquam unici a patre, plenum gratiae et veritatis«. perfectis enim apparet gloria verbi, et quia unicum est a patre et quia »plenum« est »gratia

3 Jes. 53, 2f — **5** Vgl. Gal. 4, 12 ? — **6. 13** Röm. 8, 29 — **9** Phil. 3, 21 — **10. 21** Phil. 2, 7 — **17** Vgl. I. Kor. 1, 21 — **19** Vgl. I. Kor. 2, 6 — **23** Jes. 53, 2 — **26** (vgl. **16ff**) Joh. 1, 14

2 προευτρεπίσας Kl, vgl. lat. προευτρεπίσαι MH **15** ⟨τροπικῶς⟩ Kl nach Diehl Koe, vgl. lat. und S. 163, 5 **26** λέγουσιν v **31** τῷ πατρὶ θεῷ] l. τὸ παρὰ θεοῦ? Kl ⟨ἐν⟩ τῷ πατρὶ θεῷ Koe

10, 11 accipiens G **12** formam y **12ff** hier folgt in x der Absatz quando ista — opera bona (S. 135, 18—136, 19), umgestellt von Kl **19** ⟨dicitur⟩ Kl nach Diehl Koe **29** enim] autem B

θεῷ καὶ τὸ τῆς »χάριτος πλῆρες« ὁμοίως δὲ καὶ τῆς »ἀληθείας«· ὅπερ οὐ δύναται χωρῆσαι ὁ δεόμενος πρὸς τὸ πιστεύειν τῆς μωρίας
5 »τοῦ κηρύγματος«. μέλλει δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ οὐ μόνος, ἀλλὰ μετὰ τῶν ἀγγέλων αὐτοῦ. καὶ εἰ δύνασαι νοῆσαι
10 πάντας τοὺς συνεργοὺς τῆς δόξης τοῦ λόγου καὶ τῆς ἀποκαλύψεως τῆς σοφίας (ἅπερ ἐστὶν ὁ Χριστὸς) | συνεπιδημοῦντας αὐτῷ, ὄψει τίνα τρόπον ἔρχεται ὁ υἱὸς τοῦ ἀν-
15 θρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ.

simul et veritate«. quod non potest capere qui indigens est ⟨ad credendum⟩ stultitiae praedicatione. nam *filius hominis venturus est in maiestate patris sui* non solus, sed *cum angelis suis.* et si intellegere potes omnes cooperarios ⟨gloriae⟩ verbi, quod in sapientia demonstratur (quod est Christus), convenientes ei, videbis quomodo venit *filius hominis in maiestate patris sui cum angelis* 549 *suis.*

20 καὶ πρόσχες, εἰ δύνασαι ἐν τούτοις τοὺς πρότερον παθόντας προφήτας ἀναλογίαν φάσκειν ἐσχηκέναι πρὸς τὸν μὴ ἐσχηκότα »εἶδος μηδὲ κάλλος« λόγον, τῷ μὴ ἔχειν τι »εἶδος μηδὲ
25 κάλλος« λόγων. ὥσπερ δὲ ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, οὕτως ἄγγελοι γινόμενοι οἱ ἐν τοῖς προφήταις λόγοι μετ' αὐτοῦ παρα-
30 γίνονται, τὴν ἀναλογίαν σῴζοντες τῆς ἑαυτῶν δόξης.

angeli enim illius sunt prophetarum sermones.
et vide, si potes dicere quoniam prophetarum sermones qui prius sunt passi ante istius verbi adventum, contemptibiles erant non habentes »speciem neque decorem«, secundum similitudinem huius verbi non habentis »speciem neque decorem«. sicut autem venit *filius hominis in gloria patris sui,* sic prophetarum sermones angeli facti veniunt cum eo in maiestate secundum similitudinem
verbi venientis in maiestate, quia nec possibile est ante spiritaliter secundum veritatem intellegere

4f Vgl. I. Kor. 1, 21 — 23f Vgl. Jes. 53, 2

9 νοῆσαι < H 24 ἔχειν τι Kl, vgl. lat. ἔχοντι MH 25 λόγων Kl, vgl. lat. λόγῳ MH 27 αὐτοῦ M

2/3 ⟨ad credendum⟩ Diehl Koe, vgl. gr. 3/4 praedicationē G 7/8 operarios R G 8 ⟨gloriae⟩ Kl nach Diehl Koe, vgl. gr.

prophetarum sermones, nisi cum spiritaliter intellectum fuerit verbum Christi, ut videantur simul apparere in maiestate.

ἐπὰν δὲ τοιοῦτος μετὰ τῶν ἀγγέλων αὐτοῦ ἐπιδημήσῃ ⟨τῷ τοῦ πιστεύοντος νῷ⟩ ὁ λόγος, μεταδώσει ἑκάστῳ τῆς δόξης ἑαυτοῦ καὶ τῆς λαμπρότητος τῶν ἀγγέλων ἑαυτοῦ κατὰ τὴν ἑκάστου πρᾶξιν.

quando autem huiusmodi verbum venerit cum angelis suis ad sensum credentis, dabit unicuique de gloria sua et de claritudine angelorum suorum secundum actum uniuscuiusque,

quoniam quanto melior quis fuerit in actibus suis, tanto magis spiritalius intellegit Christum vel prophetas ipsius.

ταῦτα δὲ λέγομεν οὐκ ἀθετοῦντες καὶ τὴν ἁπλούστερον νοουμένην δευτέραν ἐπιδημίαν τοῦ υἱοῦ τοῦ θεοῦ. πότε δὲ ταῦτα ἀπαντήσεται ἢ ὅτε τὸ ἀποστολικὸν ἐκεῖνο πληροῦται λόγιον τὸ λέγον· »τοὺς γὰρ πάντας ἡμᾶς παραστῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον«; εἰ δὲ ἑκάστῳ κατὰ τὴν πρᾶξιν ἀποδώσει, οὐ τὴν ἀστείαν μόνην ⟨χωρὶς τῆς φαύλης⟩ ἀλλ' οὐδὲ τὴν φαύλην χωρὶς τῆς ἀστείας, δῆλον ὅτι ἑκάστῳ ἀποδώσει κατὰ πᾶσαν φαύλην καὶ κατὰ πᾶσαν ἀστείαν πρᾶξιν. ὑπολαμβάνω δὲ (ἐν τούτοις πειθόμενος καὶ τῷ ἀποστόλῳ, συμβάλλων δὲ καὶ τὰ τοῦ Ἰεζεκιήλ.

quando ista provenient? quando apostolicum illud inplebitur quod dicit: »omnes enim nos oportet stare ante tribunal Christi, ut recipiat unusquisque propria corporis prout gessit sive bonum sive malum«. si autem unicuique secundum actum est redditurus, nec pro solis bonis actibus reddet sine malis nec pro solis malis sine bonis, sed secundum omnem actum bonum et secundum omnem actum malum recipiet unusquisque. arbitror autem in istis quidem credens apostolo, Ezechieli autem in illis,

20 II. Kor. 5, 10

6 ⟨τῷ τοῦ πιστεύοντος νῷ⟩ Koe, vgl. lat. 8 αὐτοῦ M 27 μόνην] ἐκείνην M | ⟨χωρὶς τῆς φαύλης⟩ Kl, vgl. lat.

8 claritate B 11 melior quis γ* magis melior L | fuerit < R 14 ipsius] eius B 19 impletur G L

ἐν οἷς τοῦ τελείως ἐπιστρέψαντος ἀπαλείφεται τὰ ἁμαρτήματα καὶ τοῦ πάντη ἐκπεσόντος οὐ λογίζεται τὰ πρότερον κατορθώματα) ὅτι τοῦ μὲν τελειωθέντος καὶ πάντη τὴν κακίαν ἀποθεμένου ἀπαλείφεται τὰ ἁμαρτήματα, τοῦ δὲ πάντη | ἀποστατήσαντος τῆς θεοσεβείας οὐ λογίζεται εἴ τι πρότερον χρηστὸν αὐτῷ πέπρακται. ἡμῖν δὲ τοῖς μεταξὺ τοῦ τελείου καὶ τοῦ ἀποστάτου παραστᾶσιν »ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ« δίδοται ἃ ἐπράξαμεν, »εἴτε ἀγαθὸν εἴτε φαῦλον«· οὔτε γὰρ τοσοῦτον ἐκαθαρεύσαμεν, ἵνα ἡμῖν μηδόλως ἐπιλογισθῇ τὰ φαῦλα, οὔτε ἐπὶ τοσοῦτον ἐκπεπτώκαμεν, ὥστε ἐπιλησθῆναι ἡμῶν τὰ κρείττονα.

31. Ἀμὴν λέγω ὑμῖν, ⟨ὅτι⟩ εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου (16, 28).

Ταῦτα ἀναφέρουσί τινες ἐπὶ τὴν »μεθ' ἡμέρας ἕξ« ἢ (ὡς ὁ

quoniam eius delentur peccata qui perfecte convertitur, et qui plenius *** ceciderint ***, eis praecedens iustitia non inputatur. 550

nobis autem, qui inter perfectos et inter apostatas medii sumus, reddetur »ante tribunal Christi« secundum quod gessimus »sive bonum sive malum«: quia nec sic plenius conversi sumus ad deum, ut nobis omnino mali actus non inputentur, nec sic aversi sumus, ut obliviscatur deus si qua fecimus opera bona.

31. *Amen dico vobis, quoniam sunt quidam hic stantes qui non gustabunt mortem,*

donec videant filium hominis venientem in regno suo [*et factum est post dies sex*].

1ff Vgl. Ez. 18, 21f. 24 — 12 Vgl. II. Kor. 5, 10 — 26—137, 9 Vgl. C[luc] Nr. 25 Or. (vgl. *Π* 189, 17—19) — 26—137, 17 Vgl. *B* (Matthaei) I, 148, 15—26 An. — 26ff Vgl. Harnack TU. 42, 4, 22 — 27 Vgl. Matth. 17, 1

20 μὴν H ⟨ὅτι⟩ Koe 22/23 γεύσονται M

7 *** Diehl, vgl. gr. 18 qua y quae L 24 suo + III. secundum matthm̄ L 24—25 et—sex y* str. Kl in illo tempore assumpsit Iesus Petrum et Iacobum et Iohannem fratrem eius in montem excelsum seorsum et transfiguratus est ante eos. omelia Origenis de eadem lectione L

Λουκᾶς φησιν) ὀκτὼ ἀνάβασιν τῶν
τριῶν ἀποστόλων εἰς τὸ »ὑψηλὸν«
μετὰ τοῦ Ἰησοῦ »κατ' ἰδίαν ὄρος«.
καί φασιν οἱ οὕτω διηγούμενοι ὅτι
5 οὐκ ἐγεύσαντο *θανάτου* Πέτρος
καὶ οἱ λοιποὶ δύο πρὸ τοῦ ἰδεῖν *τὸν
υἱὸν τοῦ ἀνθρώπου ἐλθόντα
ἐν τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐν
τῇ δόξῃ αὐτοῦ*. ἰδόντες γὰρ
10 »ἔμπροσθεν αὐτῶν« μεταμορφωθέντα τὸν Ἰησοῦν, ὡς λάμψαι »τὸ
πρόσωπον αὐτοῦ« καὶ τὰ ἑξῆς,

Quidam sic intellegunt, quoniam non gustaverunt *mortem* hi tres apostoli priusquam viderent *filium hominis venientem in regno suo et in gloria sua*. videntes enim »ante se« Iesum transfiguratum, ita ut fulgeret »facies eius tanquam sol et vestimenta« candescerent »sicut lumen«,

ἑωράκασι »τὴν βασιλείαν τοῦ θεοῦ
15 ἐληλυθυῖαν ἐν δυνάμει«. καὶ γὰρ
ὡς περιεστήκασι βασιλέα δορυφόροι
τινές, οὕτως »Μωσῆς καὶ Ἠλίας
ὤφθησαν« τοῖς ἀναβεβηκόσιν εἰς τὸ
ὄρος μετὰ τοῦ Ἰησοῦ λαλοῦντες.
20

viderunt »regnum dei veniens in virtute«. nam quemadmodum si consistant circa imperatorem quidam armati, sic »Moyses et Elias visi sunt« circa Christum eis, qui ascenderant super montem excelsum »apparentes in maiestate«, et loquentes cum Iesu »dicebant exitum eius quem impleturus erat in Hierusalem«.

ἄξιον δὲ ἐπιστῆσαι. εἰ ἐπὶ τούτους
25 ἀναφέρεται τὸ καθίσαι »ἐκ δεξιῶν
καὶ ἐξ εὐωνύμων« τοῦ σωτῆρος »ἐν
τῇ βασιλείᾳ« αὐτοῦ, ὡς τὸ »ἀλλ' οἷς
ἡτοίμασται« διὰ τούτους λελέχθαι.
αὕτη δὲ ἡ διήγησις περὶ τοῦ μὴ
30 γεύσασθαι *θανάτου* τοὺς τρεῖς
ἀποστόλους, ἕως ἂν ἴδωσι τὸν
Ἰησοῦν μεταμορφούμενον, ἁρμόζει
τοῖς (ὡς ὁ Πέτρος ὠνόμασε) γενομένοις »ὡς ἀρτιγέννητα βρέφη«, τὰ

haec autem expositio quam diximus convenit eis, qui tales sunt, quales nominat Petrus, facti »sicut modo generati infantes, desiderantes rationabile et sine dolo lac«. ad quos etiam Paulus loque-

1 Vgl. Luc. 9, 28 — 2 Vgl. Matth. 17, 1 — 9f Vgl. Matth. 17, 2 — 14 Marc. 9, 1 — 17 Vgl. Matth. 17, 3 — 20ff Luc. 9, 31 — 24—28 Vgl. C[luc] Nr. 26 Or. — 25ff Matth. 20, 21. 23 — 34f I. Petr. 2, 2

9 δόξῃ] + τῆς μεταμορφώσεως C[luc] Nr. 24 34 τὰ < M 14 venientem G 31 l. factis ? Kl

ἐπιποθοῦντα »τὸ λογικὸν ἄδολον γάλα«. πρὸς οὓς ὁ Παῦλος λέγει· »γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα« καὶ τὰ ἑξῆς.

5

καὶ πᾶσα δ' (οἶμαι) ἡ πρὸς τὸ ῥητὸν οἰκοδομεῖν δυναμένη τοὺς μὴ χωροῦντας μείζονα διήγησις γάλα ἂν εὐλόγως ὀνομάζοιτο. τὸ ῥέον ἀπὸ τῆς 10 ἁγίας τῶν γραφῶν γῆς, τῆς ῥεούσης »μέλι καὶ γάλα«. ἀλλ' ὁ ὡς ὁ Ἰσαὰκ ἀπογαλακ|τισθείς, ἄξιος εὐφροσύνης καὶ δοχῆς, ἣν ἐποίησεν ἐπὶ τῷ ἀπογαλακτισμῷ τοῦ υἱοῦ ὁ Ἀβραάμ, 15 ζητήσειεν ἂν τὴν ἐν τούτοις καὶ πάσῃ γραφῇ ⟨στερεωτέραν τροφήν⟩, ἑτέραν (οἶμαι) οὖσαν τοῦ βρώματος μὲν οὐ στερεᾶς δὲ τροφῆς καὶ τῶν ὀνομαζομένων τροπικῶς λα-20 χάνων, ἅτινα τῷ ἀπογαλακτισθέντι μὲν οὐκ ἰσχυρῷ δέ, ἀλλ' ἀσθενοῦντί ἐστι τροφὴ κατὰ τὸ »ὁ ἀσθενῶν λάχανα ἐσθίει«. ὁμοίως καὶ ὁ ὡς ὁ Σαμουὴλ ἀπογαλακτισθεὶς καὶ 25 ⟨προσαγόμενος ἀπὸ τῆς μητρὸς ἐνώπιον τοῦ θεοῦ καὶ⟩ ἀνατιθέμενος ἀπὸ τῆς μητρὸς τῷ θεῷ (αὕτη δὲ Ἄννα ἦν, ἥτις ἑρμηνεύεται ΧΑΡΙΣ)· καὶ εἴη ἂν 30 τῆς χάριτος υἱὸς ὁ ζητῶν, ὡς ἐν ναῷ τρεφόμενος θεοῦ, κρέατα, ἁγίαν τροφὴν τελείων ἅμα καὶ ἱερέων.

batur dicens: »lac vobis potum dedi non escam,

nondum enim poteratis; sed nec usque adhuc potestis«.
et omnem expositionem quae secundum textum exponitur et potest aedificare eos, qui expositionem non capiunt fortiorem, arbitror recte lac appellari, quod fluit de sancta scripturarum terra ***. qui autem ablactatus est, quem- 551 admodum Isaac, dignus laetitia et susceptione quam fecit in ablactatione filii Abraham, sine dubio quaeret et in istis et in omni scriptura fortiorem cibum, qui alter est ab eo cibo qui cibus quidem est, sed non fortis cibus, qui appellatur olera: qui ablactato quidem, non autem forti sed infirmo est cibus, secundum quod ait apostolus: »qui autem infirmatur olera manducet«. sic et Samuel ablactatus et transmutatus a matre ad deum et adpositus deo a matre (quae vocabatur Anna, interpretata Hebraice GRATIA), et si quis fuerit gratiae filius ut quaerat quasi in templo dei nutritus carnes, sanctam escam perfectorum simul et sacerdotum.

3 I. Kor. 3, 2 — **11** Vgl. Ex. 13, 5 — **11ff** Vgl. Gen. 21, 8 — **16ff** Vgl. Hebr. 5, 14 — **22** Röm. 14, 2 — **24** Vgl. I. Regn. 1, 23ff — **27** Vgl. Wutz, Onom. sacra 740

12 *ἄξιος* Kl, vgl. lat. *ἀξίως* M H **16/17** ⟨*στερεωτέραν τροφήν*⟩ *ἑτέραν* Kl mit Diehl Koe, vgl. lat. *στερεὰν* H *μῖ̄αν* M **23** *ὁ* < M **24** *ὁ* < H **25/26** ⟨*προσαγόμενος—καὶ*⟩ Kl nach Diehl Koe **31** *κρέα* H

8 eos < G **10** fluet G **11** *** Kl Koe, vgl. gr. **20** ablactato lactę G **24** manducat Gᵃ | et ⟨qui ut⟩ ? Kl **29** fuerit] est R | ut < RGᶜ

32. Τὰ οὖν εἰς τὸν προκείμενον τόπον βλεπόμενα ἐπὶ τοῦ παρόντος ἡμῖν τοιαῦτά ἐστιν. ἦσάν τινες ἑστῶτες ὅπου ὁ Ἰησοῦς καὶ ἐρηρεισμένας ἔχοντες τὰς τῆς ψυχῆς βάσεις παρὰ τῷ Ἰησοῦ,

32. Quae autem videntur mihi in loco *** praesenti, sunt ista. erant quidam stantes ubi stabat Iesus et fundatas habentes apud Iesum animae bases.

καὶ ἦν αὐτῶν ἡ τῶν ποδῶν στάσις συγγενὴς τῇ περὶ ἧς εἶπε Μωσῆς στάσει ἐν τῷ »κἀγὼ ἔστην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας«, ἀξιωθεὶς καὶ τοῦ »σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ«, λεγομένου πρὸς αὐτὸν ὑπὸ τοῦ θεοῦ ἀξιοῦντος αὐτὸν στῆναι παρ' αὐτῷ.

οὗτοι δὴ οἱ ἑστῶτες παρὰ τῷ Ἰησοῦ, τουτέστι παρὰ τῷ λόγῳ τοῦ θεοῦ, οὐ πάντες ἐπίσης ἑστήκασιν. ἔστι γὰρ καὶ ἐν τοῖς ἑστηκόσι παρὰ τῷ Ἰησοῦ πρὸς ἀλλήλους διαφορά· διὸ οὐ πάντες οἱ ἑστῶτες παρὰ τῷ σωτῆρι, ἀλλὰ τινὲς αὐτῶν ὡς βέλτιον ἑστηκότες οὐ γευ⟨σόμενοι λέγ⟩ονται θανάτου, ἕως ἂν ἴδωσι τὸν ἀνθρώποις ἐπιδημήσαντα λόγον καὶ διὰ τοῦτο υἱὸν ἀνθρώπου χρηματίζοντα, ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ· οὐ γὰρ ἀεί, ὅτε ἔρχεται ὁ λόγος, ἐν τῇ βασι-

hi ergo stabant quidem apud Iesum, id est apud verbum dei, sed non omnes aequaliter stabant. est enim et inter eos, qui stant apud Iesum, ad alterutrum differentia standi. propterea non omnes, qui stabant apud Iesum, sed *quidam* ex eis, quasi qui melius stabant, dicuntur non gustaturi *mortem, donec videant* verbum dei quod venit ad homines. ideo autem verbum illud quasi *filius hominis* refertur *venire in regno suo*, quia non semper, quando venit verbum, *in regno*

3—28 Vgl. *B* (Matthaei) I, 148, 27—149, 10 (?) An. — **3—12** Vgl. C[luc] Nr. 27 Or. — **3ff** Vgl. Orig. tom. XX, 43 in Joh. (IV, 387, 7ff) — **9** Deut. 10, 10 — **11ff** Vgl. Hier. in Marc. Anecd. Mareds. III, 2, 346ff — **12** Deut. 5, 31 — **19—140, 9** Vgl. C[luc] Nr. 27 Or.

11 ἀξιωθεὶς Kl nach C[luc] Nr. 27 (vgl. Hu) ἀξιωθέντι M H **13** αὐτῷ M **27f** ἐν τῇ ἑαυτοῦ βασιλείᾳ M **23** γευ⟨σόμενοι λέγ⟩ονται Koe, vgl. lat. **29** λόγος Koe, vgl. lat. Ἰησοῦς M H

2 *** Kl nach Diehl, vgl. gr. **5** Iesum G Pasch xpm L (B vac.) **16** quidem R G (B vac.) ibidem L **17** apud y* < L **19** stant] stabant L (B vac.) **24** gustare L (vgl. Pasch) **27. 28** venire in regno suo refertur L

λείᾳ αὐτοῦ ἔρχεται· ἐπεὶ τοῖς
εἰσαγομένοις τοιοῦ|τός ἐστιν, ὥστε
εἰπεῖν ἂν αὐτοὺς βλέποντας αὐ-
τόν, οὐκ ἔνδοξον οὐδὲ μέγαν, ἀλλ'
5 ὑποδεέστερον πολλῶν ἐν ἀνθρώποις
λόγων· »εἴδομεν αὐτόν, καὶ οὐκ
εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ
εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ
πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων«.
10 καὶ ταῦτα ἐροῦσιν οἱ ἰδόντες αὐτοῦ
τὴν δόξαν περὶ τῶν προτέρων ἑαυ-
τῶν χρόνων, ὅτε κατὰ τὰς ἀρχὰς
»οὐκ εἶχεν« αὐτοῖς »εἶδος οὐδὲ κάλλος«
ὁ ἐν εἰσαγωγῇ νοούμενος λόγος.
15 ἔστιν οὖν

20 τι βασιλικὸν ἐμφαινόμενον ἀξίωμα
τοῦ τὴν ἐπὶ πᾶσιν λόγοις ἀρχὴν φανε-
ρώτατα ἀνειληφότος λόγου, βλε-
πόμενόν τισι τῶν ἑστηκότων
παρὰ τῷ Ἰησοῦ, ἐπὰν δυνηθῶσιν
25 αὐτῷ ἀκολουθῆσαι προάγοντι αὐτοὺς
καὶ ἀναβαίνοντι εἰς τὸ ὑψηλὸν
τῆς ἑαυτοῦ φανερώσεως ὄρος. οὗ
τινες τῶν ἑστώτων παρὰ τῷ
Ἰησοῦ ἀξιοῦνται, ἐὰν ὦσιν ἤτοι
30 Πέτρος, οὗ »πύλαι ᾅδου οὐ κατι-
σχύουσιν«, ἢ τῆς »βροντῆς υἱοὶ« καὶ
γεννώμενοι ἀπὸ τῆς μεγαλοφωνίας
τοῦ θεοῦ βροντῶντος καὶ μεγάλα

suo venit. eis enim qui in primis
inducuntur ad fidem tale est, ut 552
dicant videntes eum non glorio-
sum neque magnum, sed inferius
multis hominum verbis: »vidimus
eum. et non habebat speciem ne-
que decorem, sed species eius sine
honore et abiecta prae filiis homi-
num«. haec dicent qui vident
gloriam eius de praeteritis tempo-
ribus suis, quando in primis non
videbatur eis verbum habere spe-
ciem gloriosam secundum quod in
primordio suo intellegebant.
ergo
extra istum vulgarem et mani-
festissimum intellectum, quem in
primordio suo intellegunt acce-
dentes ad fidem,
est aliquis dignior et quasi re-
galis intellectus in verbo, quem
non omnes stantes apud Iesum
vident, sed qui possunt eum sequi
praecedentem et ascendentem su-
per excelsum suae manifestationis
montem ***, qui sunt sicut Pe-
trus, quem supra descripsimus,
vel sicut filii tonitrui, qui nascun-
tur ex magniloquio dei tonantis
et magnifica caelitus clamantis ad
eos qui habent aures et sapiunt.
isti ergo, qui sunt sicut Petrus vel
sicut filii tonitrui Iacobus et Io-

1ff Vgl. Orig. c. Cels. VI, 77 (II, 147, 1ff) — **6. 13** Jes. 53, 2f — **15—141,3** Vgl. C[luc] Nr. 27 Or. — **30** Vgl. Matth. 16, 18 Par. — **31** Vgl. Marc. 3, 17

6 λόγον H **14** συναγωγῇ H
20 τι < H **21** πᾶσιν] πᾶσι τοῖς M
31 ἢ + οἱ H | καὶ] οἱ Koe, vgl. lat.

20 digniosior GL **26** *** Kl Koe, vgl. gr. **28. 33** tonitrus G[a]

οὐρανόθεν βοῶντος τοῖς ἔχουσιν „ὦτα“ καὶ σοφοῖς. οἱ τοιοῦτοι γοῦν οὐ γεύονται θανάτου.

5

Εἰ δὲ παρὰ τὰ εἰρημένα σαφέστερον ἐκθέσθαι δεῖ, τί δηλοῦται ἐν τῷ ἰδεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ (10) καὶ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τί σημαίνεται ἐν τῷ ἰδεῖν »τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει«, τὰ εἴτε ἐλλαμπόμενα ἐν ταῖς καρδίαις ἡμῶν εἴτε ζητοῦσιν (15) εὑρισκόμενα εἴτε ὑπεισιόντα τοὺς λογισμοὺς ἡμῶν (ἕκαστος δὲ ὡς βούλεται κρινέτω) ἐκθησόμεθα. ὁ δὲ ὁρῶν καὶ καταλαμβάνων τὴν τοῦ λόγου ὑπεροχήν, λύοντος καὶ διε- (20) λέγχοντος πάσας τὰς ὑπὸ τῶν ψευδῶν μὲν ἐπαγγελλομένων δὲ ἀλήθειαν πιθανότητας, βλέπει τὸν υἱὸν τοῦ ἀνθρώπου (κατὰ τὸν Ἰωάννου λόγον τὸν λόγον τοῦ (25) θεοῦ) ἐρχόμενον ἐν τῇ ἰδίᾳ βασιλείᾳ. εἰ δὲ βλέποι ὁ τοιοῦτος τὸν λόγον οὐ μόνον λύοντα *** πᾶσαν τὴν

hannes, *non gustabunt mortem, donec viderint filium hominis venientem in regno suo et in gloria sua* et »regnum dei veniens in virtute«.

Ut autem manifestius exponamus. quid sit videre verbum *veniens in regno suo et in gloria sua*, et quid significet videre »regnum dei veniens in virtute«, sive dum ex se splendet in cordibus nostris sive dum quaerentibus invenitur sive dum ingreditur in cogitationes nostras, unusquisque iudicet quod exponimus prout vult. tamen qui videt et conprehendit eminentiam verbi dei, quod solvit et convincit omnes persuasiones mendaciorum profitentium veritatem, videt *filium hominis*,

id est verbum dei, *venientem in regno suo*. et qui videt verbum dei, non solum solventem et convincentem adver-

2 Vgl. Matth. 11, 15 usw. — 4. 9 (lat.). 11 Vgl. Marc. 9, 1 — 8—142, 26 Vgl. C^{luc} Nr. 27 Or. — 24f Joh. 1, 1; Apoc. 19, 13

2 οὖν M 6—142, 26 hier Kl nach lat., hinter S. 150, 14 M H 10 καὶ Kl mit C^{luc} Nr. 27 lat. ἢ M H 13 ἐλλαμπόμενα ἐν ταῖς M λαμπόμενα ταῖς H^a, s. l. add. ἐλ H^c 18 δὲ ὁρῶν Kl, vgl. lat. θεωρῶν M H 20 ὑπὸ Kl mit C^{luc} Nr. 27 lat. ὑπὲρ M H 26 βλέπει C^{luc} Nr. 27, vgl. lat. 27 λύοντα ⟨καὶ διελέγχοντα⟩ Koe, vgl. lat.

2 videant B 15 l. exponemus? Kl 17 solvit G^c B Pasch solvet G^a L | convinceet L 24 dei < L 25f videt verbum dei] verbum dei filium videt L 27f ⟨omnes⟩ adversariorum Diehl, vgl. gr.

τῶν ἐναντίων πιθανότητα, ἀλλὰ καὶ τὰ ἴδια τρανότατα παριστάντα, βλέποι ἂν αὐτοῦ πρὸς τῇ βασιλείᾳ καὶ τὴν δόξαν. καὶ ὁ τοιοῦτός γε ἐν αὐτῷ βλέποι ἂν »τὴν τοῦ θεοῦ βασιλείαν ἐληλυθυῖαν ἐν δυνάμει«·

*καὶ τοῦτο βλέποι ἂν *** ὡς οὐδαμῶς ἔτι ὑπὸ ἁμαρτίας βασιλευόμενος, βασιλευούσης ἐν τῷ θνητῷ σώματι τῶν ἁμαρτανόντων, ἀλλ' ἀεὶ τεταγμένος ὑπὸ βασιλεῖ τῷ τῶν ὅλων θεῷ,*

οὗ ἡ βασιλεία δυνάμει μὲν »ἐντὸς ἡμῶν« ἐστιν, ἐνεργείᾳ δὲ καὶ (ὡς ὠνόμασεν ὁ Μᾶρκος) ἐν δυνάμει καὶ οὐδαμῶς ἐν ἀσθενείᾳ, »ἐντὸς« τῶν τελείων μόνων. ταῦτα μὲν οὖν ἑστῶσι τοῖς μαθηταῖς ὁ Ἰησοῦς οὐ περὶ πάντων αὐτῶν, ἀλλὰ περί τινων προφητεύων ἐπηγγείλατο.

sariorum persuasiones sed etiam suas evidentias declarantem, videt non solum regnum sed et gloriam verbi dei. et iste talis in seipso videt »regnum dei veniens in virtute«,

non in infirmitate. qui autem non est ita confidens in regno dei, ut omnia pati contentus sit propter illud, sed est dubius et timidus de spe regni, ille non videt in se »regnum dei veniens in virtute«. et hoc ille videt, in quo non regnat »peccatum« nec tenetur sub dominatione peccati quod regnat »in corpore mortali« peccantium, sed est sub rege omnium deo.

dicit enim apostolus: »et ego, fratres, non potui vobis loqui quasi spiritalibus sed quasi carnalibus, quasi parvulis in Christo. lac vobis potum dedi, non escam; nondum enim poteratis. sed nec usque adhuc potestis. nam cum sint inter vos aemulationes et contentiones, nonne carnales estis et

5. 12 Marc. 9, 1 — 19f Luc. 17, 21; Marc. 9, 1 — 27 I. Kor. 3, 1—3

5 *αὐτῷ* Kl *αὐτῶ* M H 13 *** Diehl Kl, vgl. lat. 25/26 *περί τινων*] *πε* H

7 non[1]] et non B 17 sed ⟨semper⟩ Diehl, vgl. gr.

secundum hominem ambulatis ? item alibi: sapientiam autem loquimur inter perfectos. si ergo qui adhuc carnales et parvuli sunt
5 in Christo et non sunt perfecti, non possunt intellegere sapientiam verbi nec capiunt spiritalem eius intellectum, quomodo videant mente sua eminentiam verbi, id
10 est regnum verbi et gloriam verbi, qui diversis sunt involuti peccatis ?

33. *Τί δὲ τὸ γεύεσθαι θανάτου καταvοητέον.*

33. Quid est autem *mortem* gustare, videamus.
duae res sunt sibi contrariae mors
15 et vita.

καὶ ἔστιν ἡ μὲν ζωὴ ὁ εἰπὼν »ἐγώ εἰμι ἡ ζωή«.

et vita quidem est ille qui dixit: »ego sum vita«,
de qua scriptum est: »quod autem factum est in eo, vita est«, id est
20 in verbo.

καὶ αὕτη γε »ἡ ζωὴ« »κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ«, καὶ »ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε σὺν αὐτῷ« φανερωθήσονται
25 *οἱ ἄξιοι τοῦ »σὺν αὐτῷ« φανερωθῆναι »ἐν τῇ δόξῃ«.*
ὁ δὲ ἐχθρὸς ταύτης τῆς ζωῆς, ὅς καὶ »ἔσχατος ἐχθρὸς καταργεῖται« πάντων τῶν ἐχθρῶν αὐτοῦ, »θάνα-
30 *τός« ἐστιν, ὃν ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθνήσκει,*
ἐναντίως διατιθεμένη τῷ γινομένῳ περὶ τὴν κατορθοῦσαν ψυχὴν καὶ ἐκ τοῦ κατορθοῦν ζῶσαν.

inimica autem vitae huius mors est, quae et novissima omnium inimicorum destruetur, quam pec-
30 cans anima moritur.

2 I. Kor. 2, 6 — **12—145, 28** Vgl. C[luc] Nr. 27 Or. — **16** Joh. 11, 25; 14, 6 — **18. 21 ff** Kol. 3, 3 f — **28 f** Vgl. I. Kor. 15, 26

10 verbi[2]] eius B **28. 29** inimicorum omnium GL **29** quam Kl qua x

καὶ ἐπὰν λέγηται ἐν τῷ νόμῳ· »δέδωκα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον«, »ἔκλεξαι τὴν ζωήν«,
5 *περὶ τοῦ εἰπόντος »ἐγώ εἰμι ἡ ζωή« ταῦτά φησιν ἡ γραφὴ καὶ περὶ τοῦ ἐχθροῦ αὐτοῦ* θανάτου, *ὧν τὸ ἕτερον ἕκαστος ἡμῶν δι' | ὧν πράττει ἀεὶ ἐκλέγεται.*

et si quando dicitur in lege: »dedi ante faciem tuam vitam et mortem«, »elige vitam«

ex quibus alterum unusquisque nostrum, per ea quae agit, eligit semper. 553

10

καὶ ἐπὰν »πρὸ προσώπου« ἡμῶν οὔσης τῆς ζωῆς ἁμαρτάνωμεν, πληροῦται ἐφ' ἡμᾶς ἡ λέγουσα ἀρά· »καὶ ἔσται ἡ ζωή σου κρεμαμένη σοι
15 *ἀπέναντι« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλμῶν σου ἃ ὄψει«.*

ὥσπερ οὖν ἡ ζωὴ καὶ ὁ ζῶν ἄρτος ἐστὶν »ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς
20 *καὶ ζωὴν δοὺς τῷ κόσμῳ«, οὕτως ὁ ἐχθρὸς αὐτῷ θάνατος ἄρτος ἐστὶ νεκρός. πᾶσα δὲ λογικὴ ψυχὴ ἤτοι ζῶντι τρέφεται ἄρτῳ ἢ νεκρῷ, δι' ὧν παραδέχεται ⟨ἔργων ἢ⟩ δογμά-*
25 *των ἀστείων ἢ φαύλων. εἶθ' ὥσπερ ἔστιν ἐπὶ τῶν κοινοτέρων τροφῶν ποτὲ μὲν αὐτῶν γεύσασθαι μόνον, ποτὲ δὲ ἐπὶ πλεῖον αὐτῶν ἐσθίειν, οὕτω καὶ ἐπὶ τούτων τῶν ἄρτων ὁ*
30 *μέν τις ἐνδεεστέρως ἐσθίει γενό-*

20 τῶν«, κακοποιούς τινας λέγοντες εἶναι τῶν ἀστέρων καὶ ἄλλους ἀγαθοποιούς, οὐδενὸς ἄστρου γενομένου ὑπὸ τοῦ θεοῦ τῶν ὅλων ἵνα κακοποιῇ, κατά γε τὸν Ἱερεμίαν ὡς ἐν Θρήνοις
25 γέγραπται· »ἐκ στόματος κυρίου ⟨οὐκ⟩ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν«.

Εἰκὸς δὲ ὅτι, ὥσπερ τοῦτο τὸ ἐνεργοῦν τὸν καλούμενον σεληνια-
30 σμὸν πνεῦμα ἀκάθαρτον ἐπιτηρεῖ τοὺς

observat enim quaedam schemata lunae et sic operatur, ut ab observatione quorundam schematum lunae pati homines mentiatur, et 578 per hoc culpabilem dei creaturam ostendit.

ut omnes (sicut diximus) »iniquitatem in excelso« loquantur, qui aestimant ex efficientia stellarum consistere omnem causam omnium infirmitatum (sive generalium sive specialium), criminantes opera dei et quasdam quidem stellas dicentes maleficas, quasdam autem benefieas, cum nulla stella a deo sit facta ut malefaciat, secundum Hieremiam enim, sicut in Lamentationibus dixit: »de ore domini non procedent mala et bona«.

Forsitan autem sicut iste inmundus spiritus *** observat quaedam lunae schemata, ut

1ff Vgl. *Π* 195, 1 An.: *ἀλλ' ὁ δαίμων ἐπιτηρεῖ τινας τῆς σελήνης συνόδους καὶ ἐπιτίθεται τῷ κάμνοντι, ἵνα βλασφημῆται ὁ ποιήσας αὐτήν* — 7 Vgl. Marc. 9, 25 — 10 Vgl. Gen. 1, 16 — 13 Vgl. Psal. 72, 8 — 19 Psal. 72, 9 — 25 Thren. 3, 38

23 *ἵνα κακοποιῇ* < M 24 *γε*] enim lat. 26 ⟨*οὐκ*⟩ Kl, vgl. lat. | *κακὰ* Kl, vgl. lat. *καλλὰ* M *καλὰ* H 28 *ὅτι* < M 28f *τοῦτο τὸ καλούμενον* M[a] *τοῦτο τὸ ἐνεργοῦν τὸν καλούμενον* M[c] (i. m. und s. l.)

1. 3. 30. schemata etc. *ϱ* scismata etc. x 1ff lat. übersetzt ungenau 13 sicut diximus] vgl. gr. 193, 32 14 l. excelsum Kl 16 omnem x < *μ* 19 et quosdam G[a] L 25 dicit G L 29 *** Kl Koe, vgl. gr.

τῆς σελήνης σχηματισμούς, ἵνα ἐνεργήσῃ εἰς τὸν διά τινας αἰτίας παραδιδόμενον αὐτῷ καὶ μὴ ποιήσαντα ἑαυτὸν ἄξιον φρουρᾶς ἀγγελικῆς, οὕ-
5 τως καὶ ἄλλα πνεύματα καὶ δαιμόνια πρός τινας σχηματισμοὺς τῶν ἄλλων ἀστέρων, ἵνα μὴ μόνον σελήνη ἀλλὰ καὶ οἱ λοιποὶ λοιδορηθῶσιν ἀστέρες ὑπὸ τῶν »ἀδικίαν εἰς τὸ
10 ὕψος« λαλούντων.

operetur in eo qui propter aliquas causas traditus est ⟨ei⟩, sic et alii daemones secundum aliqua ⟨aliarum⟩ stellarum schemata insidiantur eis, qui non praebuerunt se dignos custodia angelorum sanctorum, ut non sola luna, sed etiam stellae ceterae blasphementur ab hominibus, qui in »excelsum iniquitatem« loqui non dubitant
et ponere »in caelum os suum«.

ἔστι γοῦν ἀκοῦσαι τῶν γενεθλιαλόγων, τὴν αἰτίαν πάσης μανίας καὶ
15 παντὸς δαιμονιασμοῦ ἀναφερόντων ἐπὶ τοὺς τῆς σελήνης σχηματισμούς. ὅτι μὲν οὖν οἱ τὸν καλούμενον σεληνιασμὸν πάσχοντες ἐνίοτε εἰς τὸ ὕδωρ πίπτουσι, δῆλόν ἐστιν· ὅτι δὲ
20 καὶ εἰς τὸ πῦρ, σπανιώτερον μὲν πλὴν καὶ αὐτὸ συμβαῖνόν ἐστι. καὶ οὕτω δυσίατόν ἐστι τὸ νόσημα τοῦτο, ὡς καὶ τοὺς ἔχοντας χάριν θεραπεύειν δαιμονῶντας ὁτὲ μὲν ἀπαυδᾶν πρὸς
25 τοῦτο, ὁτὲ δὲ μετὰ νηστειῶν καὶ προσευχῶν καὶ πλειόνων καμάτων ἐπιτυγχάνειν. ζητήσεις δὲ εἰ, ὥσπερ ἐν τοῖς ἀνθρώποις, οὕτω καὶ ἐν τοῖς πνεύμασι τοιαῦτά ⟨ἐστι⟩ συμπτώ-
30 ματα, ὡς τινὰ μὲν αὐτῶν λαλεῖν τινὰ δὲ ἄλαλα εἶναι, καὶ τινὰ μὲν ἀκούειν

9 Vgl. Psal. 72, 8 — 25 Vgl. Matth. 17, 20 var. lect.

3f *καὶ—ἀγγελικῆς* tilgt Koe hier und schiebt dafür nach lat. hinter *ἀστέρων* Z. 7 ein *⟨ἐπιβουλεύουσι τῷ μὴ ποιήσαντι ἑαυτὸν ἄξιον φρουρᾶς ἀγγελικῆς⟩* | *μὴ* s. l. M[c] **22** *οὕτω* Kl *ὅτι* MH **29** ⟨*ἐστι*⟩ Diehl Kl Koe **31** *ἄλλαλα* H

2 ⟨ei⟩ Koe, vgl. gr. **3/4** ⟨aliarum⟩ Diehl, vgl. gr. **4** schemata ϱ scismata x **7** sol ac luna L **12** caelum ϱ (in notis) caelo x

ἕτερα δὲ κεκωφῶσθαι. εὑρεθήσεται γὰρ ὥσπερ ἐν αὐτοῖς ἡ αἰτία τοῦ εἶναι ἀκάθαρτα, οὕτως καὶ διὰ τὸ αὐτεξούσιον αὐτῶν καταδεδικάσθαι (5) αὐτὰ τὸ εἶναι ἄλαλα καὶ κωφά. καὶ γὰρ ἀνθρώπων τινὲς τὴν τοιαύτην καταδίκην πεί|σονται, εἴ γε ἡ τοῦ (579) προφήτου εὐχὴ ὡς πνεύματι ἁγίῳ εἰρημένη ἐπακουσθήσεται, ἐν ᾗ λέ- (10) λεκται ἐπί τινων ἁμαρτωλῶν· »ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια«. οὕτω δὲ τάχα καὶ οἱ κακῶς χρησάμενοι ταῖς ἀκοαῖς καὶ παραδεξάμενοι ἀκοὴν ματαίαν κωφωθήσονται ὑπὸ τοῦ εἰ- (15) πόντος· »τίς ἐποίησε δύσκωφον καὶ κωφόν;« ἵνα μὴ πλεῖον παραδέχωνται ἀκοὴν ματαίαν.

7.

7. Post haec videamus, quod loquens ad patrem lunatici dominus dixit: *o generatio incredula et perversa. quousque ero vobiscum? quousque patiar vos?* nam quoniam *non potuerunt eum sanare* neque ipsi discipuli Iesu quasi adhuc modicae fidei constituti, propterea dixit: *o generatio incredula.* et si illis dixit: *o generatio incredula*, nobis quid dicat?

(29) Ἐπεὶ δὲ εἶπεν ὁ σωτήρ· ὦ γε- (30) νεὰ ἄπιστε καὶ διεστραμμένη, ἐμφαίνει ὅτι ἐκ διαστροφῆς ἡ κακία παρεισελήλυθε. παρὰ φύσιν γενομένη καὶ διαστρόφους ἡμᾶς πεποιηκυῖα. (35) ὅλον δὲ (οἶμαι) τὸ τῶν ἐπὶ γῆς ἀν-

et quod ait *perversa* ostendit, quoniam ex perversitate malitia est introducta extra naturam facta.

puto autem propter perversitatem

10 Psal. 30, 19 — 15 Ex. 4, 11

6 τὴν] μὲν λ

18 quid B 22 quousque ϱ, vgl. S. 197, 5 usquequo x 35 autem + quod G[c. r.]

θρώπων γένος διὰ τὴν κακίαν βαρού-
μενος καὶ τὴν μετ' αὐτῶν διατριβὴν
ὁ σωτὴρ εἶπε τὸ ἕως πότε μεθ'
ὑμῶν ἔσομαι·
5
προείπομεν οὖν ἀπὸ μέρους εἰς τὸ
ἐὰν ἔχητε πίστιν ὡς κόκκον
σινάπεως, ἐρεῖτε τῷ ὄρει τού-
τῳ καὶ τὰ ἑξῆς. οὐδὲν δ' ἧττον κατὰ
10 τὸ φαινόμενον ἡμῖν τρανότερον καὶ
ταῦτα εἰς τὸν τόπον λελέξεται. ὄρη
ἐν τούτοις οἶμαι λέγεσθαι τὰς ἐν
κακίᾳ κεχυμένῃ καὶ μεγάλῃ γεγενη-
μένας ἀντικειμένας δυνάμεις. αἵτινες
15 ὡσπερεὶ ἐρηρεισμέναι εἰσὶν ἐν ταῖς
τῶν ἀνθρώπων ψυχαῖς. ἐπὰν οὖν ἔχῃ
τις »τὴν πᾶσαν πίστιν«, ὥστε μηκέτι
περί τινων ἐν τοῖς ἱεροῖς γράμμασι
κειμένων ἀπιστεῖν, καὶ τοιαύτην
20 αὐτὴν ἔχῃ, ὁποία ἦν ἡ πίστις τοῦ
Ἀβραὰμ πιστεύοντος τῷ θεῷ ἐπὶ
τοσοῦτον, ὥστε λογισθῆναι τὴν πίστιν
αὐτοῦ »εἰς δικαιοσύνην«, ἔχει »τὴν
πᾶσαν πίστιν« ὡς κόκκον σινάπεως.
25 εἶθ' ὁ τοιοῦτος ἐρεῖ τῷ ὄρει τούτῳ
(δείκνυμι δὲ »τὸ ἄλαλον καὶ κωφὸν«
ἐν τῷ λεγομένῳ σεληνιάζεσθαι πνεῦ-

totius humani generis quasi gra-
vatus malitia eorum et conversa-
tione cum eis dixit: *usquequo ero
vobiscum?*
quousque patiar vos?

6 Vgl. o. S. 192, 3ff — **7ff** Vgl. Hieron. in Matth. 134 C: *putant aliqui fidem grano sinapis comparatam parvam dici, quo regnum caelorum grano sinapis conferatur ... quid enim ait »dicetis monti huic: transi hinc et transibit«* — **11ff** Vgl. Orig. hom. XII, 12 in Jer. (III, 98, 14ff): ποῖα δὲ ὄρη σκοτεινά; ... ὁ διάβολος ὄρος σκοτεινόν ἐστιν, οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου οἱ καταργούμενοι ὄρη εἰσὶ σκοτεινά, καὶ τὸ δαιμόνιον ὁ σεληνιασμὸς ὄρος ἦν κτλ. — **17. 23** Vgl. I. Kor. 13, 2 — **21ff** Vgl. Gen. 15, 6 (Röm. 4, 3) — **26** Vgl. Marc. 9, 25

4 ὑμῶν] ἡμῶν M **9** δὲ M **11** λελέξεται] τοῦ λέξεται M **15/16** ταῖς τῶν] τισιν H **22** ὥστε] ὡς H **22 f** τὴν πίστιν αὐτοῦ] αὐτῷ M

2 malitiae x, corr. Koe **5** usquequo B

μα)· μετάβα ἔνθεν (δηλονότι ἀπὸ τοῦ πάσχοντος ἀνθρώπου) ⟨ἐκεῖ⟩ (ἐπὶ τάχα τὴν ἄβυσσον) καὶ μεταβήσεται. ὁ δὲ ἀπόστολος ἐντεῦ-
5 θεν (οἶμαι) τὴν ἀφορμὴν λαβὼν μετὰ ἀποστολικῆς εἶπεν ἐξουσίας τὸ »καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν«· οὐ γὰρ ἓν μόνον ὄρος ἀλλὰ καὶ τὰ ἀνάλογον αὐτῷ πλείονα
10 μεθίστησιν ὁ ἔχων »πᾶσαν τὴν πίστιν«, ἥτις ἐστὶν ὡς κόκκος σινάπεως· καὶ οὐδέν γε τούτῳ τῷ ἐπὶ τοσοῦτον πιστεύοντι ἔσται ἀδύνατον. πρόσχωμεν δὲ καὶ τῷ τοῦτο τὸ
15 γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ, ἵν' εἴ ποτε δέοι περὶ θερα|πείαν ἀσχολεῖσθαι ἡμᾶς τοιοῦτόν τι πεπονθότος τινός, μὴ ὁρκίζωμεν μηδὲ ἐπερω-
20 τῶμεν μηδὲ λαλῶμεν ὡς ἀκούοντι τῷ ἀκαθάρτῳ πνεύματι, ἀλλὰ »σχολάζοντες προσευχῇ καὶ νηστείᾳ« ἐπιτύχωμεν προσευχόμενοι περὶ τοῦ πεπονθότος ⟨σωτηρίας τῆς ἀπὸ
25 θεοῦ⟩ καὶ τῇ ἑαυτῶν νηστείᾳ ἀπώσωμεν ἀπ' αὐτοῦ τὸ ἀκάθαρτον πνεῦμα.

videamus etiam illud quod dicit: *hoc genus non eicitur nisi in ieiuniis et orationibus* ut, si aliquando oportuerit nos circa cura- 580 tionem tale aliquid patientium permanere, non adiuremus neque interrogemus neque loquamur quasi audienti spiritui inmundo, sed »permanentes orationibus et ieiuniis« impetremus patienti salutem a deo, et abigamus ieiuniis et orationibus nostris spiritus malignos.

8. Σ⟨υσ⟩τρεφομένων δὲ αὐτῶν εἰς τὴν Γαλιλαίαν εἶπεν
30 αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων (17, 22 [23]).

8. *Conversantibus autem ipsis in Galilaea dixit eis Iesus: futurum est ut filius hominis tradatur in manus hominum, et occident eum, et post tertium diem resurget. et contristati sunt vehementer.*

1ff Vgl. Orig. hom. XII, 12 in Jer. (III, 98, 23f): »ἔνθεν« ἀπὸ τοῦ ἀνθρώπου. »ἐκεῖ« ἐπὶ τὸν τόπον τὸν οἰκεῖον αὐτοῦ. — 4—12 Fast wörtlich = o. S. 192, 17—23 — 6. 10 I. Kor. 13, 2 — 21 Vgl. I. Kor. 7, 5

2 ⟨ἐκεῖ⟩ Kl, vgl. hom. XII, 12 in Jer. (s. oben) 24f ⟨σωτηρίας—θεοῦ⟩ Kl nach Diehl Koe. vgl. lat, 28 σ⟨υσ⟩τρεφομένων Hautsch TU. 34. 2ª, 58

16 et + in G L | ut Kl et x | quando B 22 permanentes + in B 24f ieiuniis et] anders gr. 28 illis L

Καὶ δόξει γε ἐκείνοις ταῦτα ἰσοδυναμεῖν ὅτι »ἤρξατο δεικνύειν τοῖς μαθηταῖς ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν 5 ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων«.

Et paulo superius dictum est: »exinde coepit Iesus ostendere discipulis suis, quoniam oportet eum ire in Hierosolyma et multa pati a senioribus et principibus sacerdotum et scribis populi et occidi et tertia die resurgere«. et videntur quidem haec illis similia esse, ut facile quis dicat dominum eadem 10 ipsa repetere.

τὸ δὲ οὐχ οὕτως ἔχει. οὐ γὰρ ταὐτόν ἐστι τὸ ὑποδείκνυσθαι »τοῖς μαθηταῖς ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα 15 ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων« καὶ μετὰ τὸ παθεῖν »ἀποκτανθῆναι καὶ« μετὰ τὸ ἀποκτανθῆναι »τῇ τρίτῃ ἡμέρᾳ ἐγερ- 20 θῆναι«,

quod non est ita. nec enim id ipsum est, ostendere discipulis »quoniam oportet eum ire in Hierosolyma et multa pati« et cetera,

τῷ λελέχθαι αὐτοῖς οὖσιν ἐν τῇ Γαλιλαίᾳ (ὅπερ ἀνωτέρω οὐ μεμαθήκαμεν), ὡς ἄρα μέλλοι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι· τὸ 25 γὰρ παραδίδοσθαι ἀνωτέρω μὲν οὐκ εἴρηται, νῦν δὲ καὶ ὅτι εἰς χεῖρας ἀνθρώπων. ἐφ' ᾧ ζητήσωμεν ὑπὸ τίνος μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ἢ τίνων. 30 ἐκεῖ μὲν γὰρ ὑφ' ὧν πείσεται διδασκόμεθα καὶ ἐν ᾧ τόπῳ πείσεται,

et dicere discipulis *in Galilaea* constitutis (quod non didicimus supra), quia *futurum est ut filius hominis tradatur. tradi* enim eum superius non est dictum, hic autem non solum tradendum, sed etiam *in manus hominum* tradendum audimus. in quo requiramus, a quo est tradendus *in manus hominum* aut in quorum. illic enim docemur, a quibus patietur et in

2 Matth. 16, 21 — **13 ff** Matth. 16, 21 — 28 — 205, 30 Vgl. C^{luc} Nr. 37 Or.

1 γε < M **2 ff. 26 ff** gr. kürzt **5/6** ἀρχιερέων] + καὶ γραμματέων λ **27** ᾧ] ἃ H

4 hierosolymam G^{c} (B) **15** hierosolimam B | pati + et occidi Pasch (vgl. gr.) **22** didicimus y Pasch dicimus L **23** quia] quoniam L **24** tradi enim eum Kl nach Koe, vgl. gr. tradendum x

ἐνταῦθα δὲ ἐπ᾽ ἐκείνοις μανθάνομεν
ὅτι τὸ »πολλὰ παθεῖν« αὐτὸν ὑπὸ τῶν
προειρημένων συμβαίνει, οὐκ ἐκεί-
νων πρώτων αἰτίων γινομένων τοῦ
5 »πολλὰ« αὐτὸν παθεῖν. ἀλλ᾽ ἢ τοῦ πα-
ραδιδόντος ἢ τῶν παραδιδόντων αὐ-
τὸν εἰς χεῖρας ἀνθρώπων. ὁ μὲν
οὖν φήσει ὅτι τοῦτο διηγούμενος ὁ
ἀπόστολός φησι περὶ τοῦ θεοῦ·
10 »ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο,
ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν
αὐτόν«,

quo loco patietur; hic autem discimus, quod »multa« passurus est a supradictis, non ipsis ⟨primam⟩ causam praebentibus ut multa patiatur, sed vel eo vel eis, qui tradiderunt eum *in manus hominum*.
traditum igitur filium apostolus narrans a deo patre traditum manifestat ita: »qui unico filio suo non pepercit, sed pro nobis omnibus tradidit illum«.

ἔδωκε δὲ καὶ ὁ υἱὸς »ὑπὲρ ἡμῶν ἑαυ-
τὸν« εἰς θάνατον. ὥστε οὐ μόνον ὑπὸ
15 τοῦ πατρός. ἀλλὰ καὶ ὑφ᾽ ἑαυτοῦ
παρεδόθη.

ἕτερος δὲ οὐ μόνον ἐκεῖνο ἀλλὰ καὶ
τὰ ἐκκείμενα ἐπὶ τὸ αὐτὸ συναγα-
γὼν φήσει παραδεδόσθαι πρῶτον
20 ὑπὸ τοῦ θεοῦ τὸν υἱὸν

alius autem non solum illud, sed etiam consequentia congregans in idipsum. dicet primum quidem a deo traditum filium

εἶτα πειρασθησόμενον, εἶτα ἀγω-
νιούμενον, εἶτα | ὑπὲρ ἀνθρώπων
πεισόμενον ἢ καὶ »ὅλου τοῦ κόσμου«,
ἵνα αὐτοῦ ἄρῃ »τὴν ἁμαρτίαν«,
25 τῷ ἄρχοντι »τοῦ αἰῶνος τούτου« καὶ
τοῖς ἄλλοις ἄρχουσιν αὐτοῦ, εἶτα
ὑπὸ τούτων εἰς χεῖρας ἀνθρώ-
πων αὐτὸν παραδίδοσθαι τῶν
ἀποκτενούντων αὐτόν. παράδειγμα
30 δὲ παραληφθήσεται τὰ τοῦ Ἰώβ.

581

principi »saeculi huius« ceterisque principibus eius, deinde ab istis traditum *in manus hominum* qui occiderunt eum. et exempli causa accipiet illud, quod est scriptum de Iob,
qui primum traditus est a deo in manum diaboli, sicut dicit:

2 f Vgl. Matth. 16, 21 — 5 Vgl. Matth. 16, 21 — 7—12 Vgl. C[luc] Nr. 38 Or. — 10 Röm. 8. 32 — 13 Vgl. Gal. 1. 4 — 23 Vgl. I. Joh. 2, 2 — 24 Vgl. Joh. 1, 29 — 25 Vgl. Joh. 14, 30 — Vgl. I. Kor. 2. 8

5 ἀλλ᾽ ἢ Kl, vgl. lat. ἀλλὰ M H 9 θεοῦ] θεοῦ *** Koe, vgl. lat. 13—16 ἔδωκε—παρεδόθη < M, vgl. lat. 19 παραδιδόσθαι M 21 εἶτα[1]] l. ⟨γεννηθησόμενον, εἶτα⟩? Kl | πειρα-θησόμενον H

3 ⟨primam⟩ Diehl, vgl. gr. 19 dicet Kl dicit x | primum] ipsum L 29 accipiet] accipe et G L 31 a deo est L 32 manum μ manus Koe manu x

»ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου·

ἀλλὰ αὐτοῦ μὴ ἅψῃ«. εἶτα ὡσπερεὶ 5 παραδοθέντος ὑπὸ τοῦ διαβόλου τοῖς ἄρχουσιν αὐτοῦ τοῖς αἰχμαλωτεύουσι, τοῖς ἱππεῦσι,

τῷ καταβαίνοντι ὡς ἐξ οὐρανοῦ πυρί, 10 τῷ ἐκ τῆς ἐρημίας ἐλθόντι μεγάλῳ πνεύματι καὶ τὴν οἰκίαν χαλάσαντι. ἐπιστήσεις δὲ εἰ, ὥσπερ τοῖς αἰχμαλωτεύουσι παραδέδωκε τὰ τοῦ Ἰὼβ καὶ τοῖς ἱππεῦσιν, *** οὕτως καί τινι 15 ἐνεργείᾳ ⟨τῶν⟩ ὑπὸ »τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ ἐνεργοῦντος νῦν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας«.
ἵνα τὸ ἐκεῖθεν καταβαῖνον πῦρ ἐπὶ τὰ 20 πρόβατα τοῦ Ἰὼβ ἐξ οὐρανοῦ ὀφθῇ καταβαῖνον τῷ ἀπαγγέλλοντι τῷ Ἰὼβ ὅτι »πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσε τὰ πρόβατα αὐτοῦ, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοί- 25 ως«. παραπλησίως δὲ τούτοις ζητήσεις, εἰ καὶ τὸ »ἐξαίφνης μέγα πνεῦμα ἀπὸ τῆς ἐρήμου« ἐλθὸν καὶ ἁψάμενον »τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας« ἕν τι τῶν ὑπὸ τὸν διάβολον 30 ἦν, ᾧ παρέδωκεν ὁ διάβολος τὸ »τῶν υἱῶν« »καὶ τῶν θυγατέρων« τοῦ Ἰὼβ συμπόσιον, ἵνα συμπέσῃ »ἡ οἰκία ἐπὶ τὰ παιδία« τοῦ δικαίου καὶ τελευτήσωσιν.

»ecce trado tibi omnia quae possidet«
et iterum: »ecce trado tibi eum, tantum animam eius serva«. accipiens autem diabolus bona eius in potestatem tradidit praedonibus et equitibus, qui fecerunt cornua tria«.

vide ergo ne forte, sicut bona Iob diabolus tradidit in manus praedonum ⟨et equitum⟩ accepta prius potestate a deo, sic et aliqua operatione princeps »potestatis aëris, qui operatur in filiis diffidentiae«.

1 Job 1, 12 — 3 Job 2, 6 — 6. 13f Vgl. Job 1, 15—19 — 15 Eph. 2, 2 — 22 Job 1, 16 — 27 Job 1, 19 — 30ff Vgl. Job 1, 18f

4 εἶτα ὡσπερεὶ] εἴπομεν περεὶ M 14 *** Diehl Kl Koe, vgl. lat. 15 ⟨τῶν⟩ Kl, vgl. Z. 29 20 τὸν ἰὼβ M 29 τὸν] τῶν H 30 παραδέδωκεν M 31 τοῦ Ἰὼβ] αὐτοῦ M

3 et iterum R G iterum B L 6 potestatem μ potestate x 14 ⟨et equitum⟩ Diehl, vgl. gr.

Ἔστω οὖν (ὡς ἐπὶ τοῦ Ἰὼβ)
πρῶτον παραδιδοὺς ὁ πατὴρ τὸν υἱὸν
ταῖς ἀντικειμέναις ἐνεργείαις. εἶθ'
αὗται
5 παραδιδότωσαν αὐτὸν εἰς χεῖρας
ἀνθρώπων, ἐν οἷς ἀνθρώποις καὶ
Ἰούδας ἦν, εἰς ὃν »μετὰ τὸ ψωμίον
εἰσῆλθεν ὁ σατανᾶς«,
ἀρχικώτερον τοῦ Ἰούδα παραδιδοὺς
10 αὐτόν.
ἀλλ' ὅρα, μήποτε τὸ παραδίδοσθαι
ταῖς ἀντικειμέναις ἐνεργείαις ὑπὸ
τοῦ πατρὸς τὸν υἱὸν
συνεξετάζων τῷ παραδίδοσθαι ὑπ'
15 ἐκείνων εἰς χεῖρας ἀνθρώπων
τὸν σωτῆρα, νομίσῃς ἴσον εἶναι τὸ
ἐπ' ἀμφοτέρων | λεγόμενον παρα-
δίδοσθαι. κατανόει γὰρ ὅτι ὁ μὲν
πατὴρ
20 ⟨οὐχ ἁπλῶς, ἀλλ'⟩
»ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐ-
τὸν« ἀπὸ φιλανθρωπίας· αἱ δὲ ἀντι-
κείμεναι δυνάμεις παραδοῦσαι τὸν
σωτῆρα εἰς χεῖρας ἀνθρώπων
25 οὐκ ἐσκόπουν τὸ ὑπέρ τινων σωτη-
ρίας παραδιδόναι αὐτόν, ἀλλὰ (τὸ
ὅσον ἐπ' αὐταῖς, ἐπεὶ οὐδεὶς αὐτῶν
ἐγίνωσκε τὴν τοῦ »θεοῦ σοφίαν τὴν
ἐν μυστηρίῳ ἀποκεκρυμμένην«) παρε-
30 δίδουν αὐτὸν ἀποθανούμενον, ἵνα ὁ
»ἐχθρὸς« αὐτοῦ »θάνατος« ὑποχείριον
αὐτὸν λάβῃ ὁμοίως τοῖς »ἐν τῷ
Ἀδὰμ« ἀποθνήσκουσι. καὶ οἱ ἀπο-

tradidit eum in manus hominum,
in quibus hominibus erat et Iudas,
in quem »post panem ingressus
est satanas«.

considera tamen quoniam pater
tradens filium contrariis potesta-
tibus

582

non simpliciter tradidit eum, sed
propter misericordiam suam, ut
salvaret genus humanum; con-
trariae autem potestates traden-
tes dominum in manus ho-
minum non pro salute aliquorum
tradiderunt eum, sed (quantum
ad se, quia nemo eorum sciebat
»sapientiam dei absconditam in
mysterio«) tradiderunt eum ⟨mo-
riturum⟩, ut »inimica« eius »mors«
subiciat eum sibi, sicut omnes
homines qui moriebantur »in
Adam«. sed et homines, qui oc-

7 Vgl. Joh. 13, 27 — 21 Röm. 8, 32 — 28 Vgl. I. Kor. 2, 7f — 31 Vgl. I. Kor. 15, 26 — 32 Vgl. I. Kor. 15, 22

3/4 εἶτ' αὐταὶ H 14 συνεξετάζοντες παρ. M 20 ⟨οὐχ ἁπλῶς, ἀλλ'⟩ Koe, vgl. lat. 27 αὐτὸν H 33 ἀποκτίναντες H

29/30 ⟨moriturum⟩ Koe, vgl. gr.

κτείναντες δὲ αὐτὸν ἄνθρωποι ⟨οὐχὶ θελήματι τοῦ θεοῦ ἤδη καθεστηκότι, ἀλλὰ δυνάμεων⟩ θελήματι τυπούμενοι τῶν βουλομένων τὸν Ἰησοῦν ὑποχείριον γενέσθαι θανάτῳ τοῦτο ἐποίουν.

οἶμαι δὲ ἀναγκαίως ἐξητάσθαι καὶ ταῦτα διὰ τὸ τὸν παραδιδόμενον εἰς χεῖρας ἀνθρώπων Ἰησοῦν μὴ ὑπὸ ἀνθρώπων εἰς χεῖρας ἀνθρώπων παραδίδοσθαι, ἀλλ' ὑπὸ δυνάμεων αἷς »ὑπὲρ ἡμῶν πάντων παρέδωκεν« ὁ πατὴρ τὸν υἱόν, ἐν αὐτῷ τῷ παραδεδόσθαι καὶ γίνεσθαι ὑπὸ τοὺς οἷς παρεδόθη καταλύοντα »τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου«· »διὰ« γὰρ »τοῦ θανάτου« κατήργησε »τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου (τουτέστι τὸν διάβολον) καὶ« ἀπήλλαξε »τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας«.

9. »Κράτος« δὲ »θανάτου« νομιστέον ἔχειν τὸν διάβολον οὐ τοῦ μέσου καὶ ⟨ἀ⟩διαφόρου, καθ' ὃν ἀποθνήσκουσιν οἱ σύνθετοι ἐκ ψυχῆς καὶ σώματος χωριζομένης αὐτῶν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἀλλὰ τοῦ ἐναντίου καὶ ἐχθροῦ τοῦ εἰπόντος· »ἐγώ εἰμι ἡ ζωή«, καθ' ὃν »ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται«. ἐμφαίνει δὲ ὅτι οὐχ ὁ θεὸς εἰς χεῖρας ἀνθρώπων παρέδωκεν αὐτόν, ὁ σωτὴρ λέγων· »εἰ ἦν ἐκ τοῦ

ciderunt eum, [voluntatem habebant] non secundum voluntatem dei iam ordinatam id fecerunt, sed secundum voluntatem potestatum, quae filium dei volebant fieri subditum morti.

non ergo ab hominibus in manus hominum traditus est, sed a potestatibus, quibus eum pro nobis omnibus tradidit pater. ut in eo, quod traditur et fit sub eo cui traditur, »destruat eum, qui mortis habebat imperium«.

9. Imperium« autem »mortis« intellegendum est habere diabolum, non istius mortis communis, secundum quam moriuntur omnes qui compositi sunt ex anima et corpore, anima eorum a corpore recedente, sed mortis illius quae contraria est et inimica ei, qui dixit: »ego sum vita«, secundum quam »anima quae peccaverit, ipsa morietur«. ostenditur autem quoniam non

12 Röm. 8, 32 — 16ff Hebr. 2, 14f — 30 Joh. 11, 25; 14, 6 Ez. 18, 4 — 34 Joh. 18, 36

1ff ⟨οὐχὶ—δυνάμεων⟩ Kl Koe vgl. lat. 5 γενέσθαι] ποιεῖσθαι M 25 ⟨ἀ⟩διαφόρου Hu

1 eum Pasch vgl. gr. eum + voluntatem habebant x 3 id fecerunt Pasch (vgl. gr.) < x 5 quae Kl qua x qui Pasch

κόσμου τούτου ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις«. παραδιδό|μενος γὰρ Ἰουδαίοις εἰς χεῖρας (5) ἀνθρώπων παρεδόθη. οὐχ ὑπὸ τῶν ἰδίων ὑπηρετῶν,

(10)

ἀλλ' ὑπὸ τοῦ ἄρχοντος »τοῦ αἰῶνος τούτου«

εἰπόντος περὶ τῶν ἐν ἀοράτοις δυνάμεσι κατὰ ἀνθρώπων ἱσταμένων βα- (15) σιλειῶν· »ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι«. διὸ καὶ περὶ ἐκείνων λελέχθαι νομιστέον τὸ »παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ (20) κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ«. κἀκεῖνοι μὲν »οἱ βασιλεῖς« καὶ »οἱ ἄρχοντες« »παρέστησαν«

καὶ »συνήχθησαν κατὰ τοῦ κυρίου καὶ (25) κατὰ τοῦ Χριστοῦ αὐτοῦ«·

ἡμεῖς δὲ ἐκ τοῦ παραδεδόσθαι αὐτὸν ὑπ' ἐκείνων εἰς χεῖρας ἀνθρώπων καὶ ἀπεκτάνθαι ὠφεληθέντες, φαμὲν τὸ »διαρρήξωμεν τοὺς δεσμοὺς (30) αὐτῶν. καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν« ***.

deus dominum *in manus hominum* tradidit, ex eo quod ipse dicit: »si de hoc mundo esset regnum meum, ministri utique mei re- (583) sisterent ne traderer Iudaeis«. traditus autem Iudaeis in manus hominum traditus est, non a suis ministris

nec ab aliquo eorum qui erant in regno ipsius,

sed a principe »saeculi huius«

vel a principibus, de quibus est dictum: »adstiterunt reges terrae, et principes convenerunt in unum adversus dominum et adversus Christum eius«. et isti quidem corporales reges adstiterunt, sicut apostoli in Actibus docuerunt.

nos autem, ex eo quod traditus est a principibus *in manus hominum* prodificati, dicimus hoc quod ait: »disrumpamus vincula eorum, et proiciamus a nobis iugum ipsorum«.

11 Vgl. Joh. 14, 30 — 15 Matth. 4, 9 — 18ff Psal. 2, 2 — 23 Vgl. Act. 4, 26f — 29 Psal. 2, 3

2 οἱ < M 13 14 δυνάμεων H 16 προσκυνήσεις H 21—25 κἀκεῖνοι —αὐτοῦ] hier ist bald gr., bald lat. vollständiger 31 *** Kl Koe, vgl. lat.

6 autem] γὰρ gr. 10 in regno γ* < L 27 hominum ⟨et occisus⟩ Koe, vgl. gr.

etiam de invisibilibus regibus et principibus saeculi huius intellegi posse.

ὅτε γὰρ »σύμμορφοι« γινόμεθα τῷ θανάτῳ τοῦ Χριστοῦ, οὐκέτι ἐσμὲν ὑπὸ τοὺς δεσμοὺς τῶν (ὡς ἀποδεδώκαμεν) βασιλέων »τῆς γῆς«. οὐδ' ὑπὸ τὸν ζυγὸν τῶν κατὰ τοῦ κυρίου συναχθέντων ἀρχόντων »τοῦ αἰῶνος τούτου«· καὶ διὰ τοῦτο ὁ πατὴρ »τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν«, ἵν' οἱ ⟨ἄρχοντες οἱ⟩ παραλαβόντες αὐτὸν καὶ παραδόντες αὐτὸν εἰς χεῖρας ἀνθρώπων, ὑπὸ τοῦ κατοικήσαντος »ἐν τοῖς οὐρανοῖς« ἐγγελασθῶσιν καὶ ὑπὸ τοῦ κυρίου ἐκμυκτηρισθῶσιν, εἰς κατάλυσιν τῆς ἰδίας βασιλείας καὶ ἀρχῆς παρὰ προσδοκίαν παραλαβόντες ἀπὸ τοῦ πατρὸς τὸν υἱόν, ὅστις τῇ τρίτῃ ἡμέρᾳ ἠγέρθη τῷ τὸν ἐχθρὸν αὐτοῦ θάνατον κατηργηκέναι καὶ ἡμᾶς πεποιηκέναι »συμμόρφους«. οὐ μόνον »τοῦ θανάτου αὐτοῦ« ἀλλὰ καὶ »τῆς ἀναστάσεως«.

nam cum facti fuerimus »conformes« mortis Christi, iam non sumus sub vinculis regum »terrae« neque sub iugo principum »saeculi huius«, qui adversus dominum convenerunt in unum. propterea et pater »unico filio non pepercit, sed pro nobis omnibus tradidit eum«, ut suscipientes eum principes et tradentes *in manus hominum*, ab eo qui habitat »in caelis« inrideantur, et a domino subsannentur, quoniam in dissolutionem proprii regni et principatus sui omnia ea agebant, tradentes eum *in manus hominum*, qui *tertia die* resurgens et inimicam suam destruens mortem non solum »mortis suae conformes« nos fecit, sed etiam »resurrectionis«.

δι' ὃν »ἐν καινότητι ζωῆς« περιπατοῦμεν, οὐκέτι καθεζόμενοι »ἐν χώρᾳ καὶ σκιᾷ θανάτου«, διὰ τὸ ἀνατεῖλαι ἐφ' ἡμᾶς »φῶς« τοῦ θεοῦ.

εἰπόντος δὲ τοῦ σωτῆρος τὸ μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παρα-

praedicente autem domino quoniam *futurum est ut filius ho-*

4 Vgl. Röm. 6, 5 (8, 29) — 7 Psal. 2, 2 — 9 Vgl. I. Kor. 2, 8 — 10 Röm. 8, 32 — 16ff Vgl. Psal. 2, 3 — 22f Vgl. I. Kor. 15, 26 — 24f Vgl. Röm. 8, 29 (6, 5) — 27 Vgl. Röm. 6, 4 — 28 Vgl. Matth. 4, 16

4 γινώμεθα M 8 χυ M 13 ⟨ἄρχοντες οἱ⟩ Kl nach Koe, vgl. lat. 16 17 ἐγγελασθῶσι H ἐκγελῶνται C[luc] Nr. 37?

18 ea γ* < L

δίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται, οἱ μαθηταὶ σφόδρα 5 ἐλυπήθησαν, τῷ μὲν παραδίδοσθαι μέλλειν αὐτὸν εἰς χεῖρας ἀνθρώπων καὶ τῷ ἀποκτίννυσθαι αὐτόν, ὡς σκυθρωποῖς καὶ ἀξίοις λύπης ἐπιστήσαντες, μὴ προσχόντες δὲ τῷ 10 τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεσθαι αὐτὸν δεηθέντα οὐδὲ χρόνου πλείονος, »ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου«. |

minis tradatur in manus hominum, et occident eum et tertia die resurget, tristati sunt discipuli vehementer, tradendum quidem *in manus hominum* et occidendum

intellegentes, non autem adtendentes ad illud quod ait: *et tertia die resurget*, nec considerantes quis esset, cui ad destruendam mortem trium dierum tempus 584 sufficiebat.

15 10. Ἐλθόντων δὲ εἰς Καπερναοὺμ προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ (17, 24[–27]).

10. *Cum venissent autem in Capharnaum, accesserunt qui didrachma exigebant ad Petrum et dixerunt: magister vester non solvit didrachma? ait: etiam. et* 20 *cum intrasset in domum, praevenit eum Iesus dicens: quid tibi videtur Simon? reges terrae a quibus accipiunt tributum vel censum, a filiis suis aut ab extraneis? Dicit* 25 *ei Petrus: ab alienis. dicit ei Iesus: ergo liberi sunt filii. ut autem non scandalizemus eos, vadens ad mare mitte hamum et eum qui prius ascenderit piscem tolle, et aperiens* 30 *os eius invenies staterem. Illum accipiens da eis pro me et te.*

Εἰσί τινες βασιλεῖς τῆς γῆς καὶ τούτων υἱοί, μὴ διδόντες τέλη

Sunt ergo aliqui *reges terrae* et eorum filii, qui non dant *tri-*

12 Hebr. 2, 14

4 οἱ μαθηταὶ < H 15 Ἐλθόντων] vorher: *Περὶ τῶν αἰτούντων τὰ δίδραχμα* H 15/16 *Καπερναοὺμ*] diese Form nur hier, sonst *Καφαρναούμ* M H 17 *δίδραγμα* durchweg M, H meist *δίδραχμα*

15 venisset ϱ 16 usw. didrachma usw. ϱ didragma usw. x 24 aut] an L

ἢ *κῆνσους*, καὶ ἕτεροι παρὰ τοὺς υἱοὺς αὐτῶν ἀλλότριοι τῶν βασιλέων *τῆς γῆς*, ἀφ' ὧν *λαμβάνουσιν οἱ βασιλεῖς τῆς γῆς τέλη ἢ κῆνσον*. καί εἰσιν οἱ *μὲν υἱοὶ* αὐτῶν *ἐλεύθεροι* παρὰ τοῖς βασιλεῦσι *τῆς γῆς* ὡς παρὰ πατράσιν ⟨υἱοί⟩· οἱ δὲ ἀλλότριοι αὐτῶν ὡς μὲν πρὸς τὰ ἔξω γῆς *ἐλεύθεροι*, ὡς δὲ κατὰ τοὺς δυναστεύοντας αὐτῶν καὶ καταδουλουμένους (ὡς »κατεδυνάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραήλ, καὶ κατωδύνων αὐτῶν τὴν ζωήν«, καὶ »κατεδουλοῦντο αὐτοὺς μετὰ βίας«) δοῦλοι. δι' οὓς δουλεύοντας ἀνάλογον τῇ δουλείᾳ τῶν Ἑβραίων μόνον »μορφὴν« τοῦ »δούλου« ἀνείληφεν ὁ υἱὸς τοῦ θεοῦ, οὐδὲν ἔργον ποιῶν πήλινον καὶ δοῦλον. ὡς οὖν ἔχων τὴν τοῦ »δούλου« ἐκείνου »μορφήν«, τέλος καὶ κῆνσον δίδωσιν οὐχ ἕτερον παρὰ τὸν διδόμενον ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ· ὁ γὰρ αὐτὸς ἤρκει στατὴρ καὶ τὸ ἓν νόμισμα διδόμενον ὑπὲρ τοῦ Ἰησοῦ καὶ τοῦ μαθητοῦ αὐτοῦ. τοῦτο δὲ τὸ νόμισμα ἐν μὲν τῇ οἰκίᾳ τοῦ Ἰησοῦ οὐκ ἦν, ἐν δὲ τῇ θαλάσσῃ ἐτύγχανεν, καὶ ἦν ἐν τῷ στόματι τοῦ θαλασσίου ἰχθύος, ὃν καὶ αὐτὸν οἶμαι εὐεργετούμενον ἀναβεβηκέναι ἐν τῷ Πέτρου ἀγκίστρῳ συνειλημμένον, γενομένου ἁλιέως »ἀνθρώπων«, ἐν οἷς ἦν ὁ τροπικῶς λεγόμε-

butum vel censum, et alii praeter filios eorum extranei a regibus *terrae*, ex quibus *accipiunt reges terrae tributum vel censum*. et sunt *filii quidem* eorum *liberi* apud reges *terrae* sicut apud patres filii; extranei autem extra terram quidem *liberi* sunt, propter eos autem, qui dominantur eorum et deprimunt eos, sicut »Aegyptii filios Israel«.

servi. propter quos servientes

formam servi suscepit filius dei, qui nullum opus fecit luteum et servile. quasi ergo habens formam servi illius tributum et censum dedit non aliud ab eo, quod dedit discipulus eius: ipse enim stater sufficiebat et unum nomisma, quod dabatur pro Iesu et pro discipulo eius. hoc autem nomisma in domo quidem Iesu non erat, in mari autem erat et erat in ore piscis marini, quem ipsum piscem arbitror adiuvatum ascendisse ad hamum Petri et conprehensum ab eo, qui hominum piscator fuerat factus, in quibus erat qui nunc moraliter

11 Ex. 1, 13f — 17. 20 Vgl. Phil. 2, 7 — 18f Vgl. Ex. 1, 14 — 32 Vgl. Marc. 1, 17 Parr.

7 ⟨υἱοί⟩ Kl, vgl. lat. 15 δουλεύοντες M 20 τέλος] ὡς δοῦλος M 25 τοῦ < M 27 τοῦ < H 28 ἐτύγχανε H 33 οἷς Hu, vgl. lat. ᾧ M H

21 alium G L Pasch 29 adiuvatum R G L adiutum B salvatum Koe, vgl. S. 211, 34

νος ἰχθύς, ἵνα καὶ ἀπαρθῇ ἀπ' αὐτοῦ ⟨τὸ⟩ ἔχον τὴν εἰκόνα »Καίσαρος« νόμισμα, καὶ γένηται ἐν οἷς οἱ ἁλιευόμενοι ὑπὸ τῶν μεμαθηκότων ἀνθρώπους ἁλιεύειν.

dicitur piscis, ut tollatur ab eo nomisma, quod habebat imaginem »Caesaris«, et fiat inter eos qui piscati sunt eum.

ὁ μὲν οὖν ἔχων »τὰ Καίσαρος« ἀποδιδότω αὐτὰ τῷ »Καίσαρι«, ἵνα μετὰ τοῦτο ἀποδιδόναι δυνηθῇ »τὰ τοῦ θεοῦ τῷ θεῷ«. ἐπεὶ δὲ Ἰησοῦς, εἰκὼν ὢν »τοῦ θεοῦ τοῦ ἀοράτου«, οὐκ εἶχε τὴν εἰκόνα τοῦ »Καίσαρος« (ὁ γὰρ »ἄρχων τοῦ αἰῶνος τούτου οὐδὲν« εἶχεν ἐν αὐτῷ), διὰ τοῦτο ⟨οὐκ ἀπὸ ἰδίου, ἀλλ'⟩ ἀπὸ οἰκείου τόπου | τῆς θαλάσσης τὴν εἰκόνα »Καίσαρος« λαμβάνει, ἵνα δῷ τοῖς τῆς γῆς βασιλεῦσιν ἀντὶ αὐτοῦ καὶ τοῦ μαθητοῦ αὐτοῦ, ἵνα μηδὲ ὑπολαμβάνωσιν οἱ τὰ δίδραχμα λαμβάνοντες ὀφειλέτην αὐτῶν εἶναι καὶ τῶν βασιλέων τῆς γῆς τὸν Ἰησοῦν· ἀπέδωκε γὰρ τὴν ὀφειλήν, οὐκ ἀναλαβὼν αὐτὴν οὐδὲ κεκτημένος οὐδὲ πορίσας οὐδὲ ἴδιόν ποτε ποιήσας αὐτὴν κτῆμα, ἵνα μηδέποτε ἡ »Καίσαρος« εἰκὼν ᾖ παρὰ τῇ εἰκόνι »τοῦ θεοῦ τοῦ ἀοράτου«.

qui ergo habet quae sunt »Caesaris« »Caesari« ea reddat, ut post hoc valeat reddere »deo quae dei sunt«. quoniam ⟨autem⟩ Iesus non habuit imaginem »Caesaris« (princeps enim »saeculi huius nihil« habebat in eo) propterea non ex proprio, sed ex convenienti loco maris imaginem »Caesaris« accepit eam, ut det regibus *terrae pro* se et pro discipulo suo, ut nec arbitrentur *qui didrachma accipiebant*, esse eum debitorem ⟨eorum et⟩ regum *terrae*; reddit enim debitum non suscipiens eum neque possidens neque adquirens neque faciens eum sibi possessionem, ut ne sit aliquando imago »Caesaris« apud imaginem »invisibilis dei«.

11.

11. Ista diximus secundum unum modum, quoniam duplicem sensum habet hic sermo.

2—27 Vgl. Matth. 22, 19—21 Parr. — **11ff** Vgl. Orig. hom. XIII, 2 in Ez. (VIII, 445, 19ff): *quia non habebat eam »imaginem«, quam petebatur, . . . docet, ubi valeat repperiri »imago«, quae quaeritur: »vade« inquit »ad mare«* etc. — **11. 27f** Vgl. Kol. 1, 15 — **13f** Vgl. Joh. 14, 30

2 ⟨τὸ⟩ Koe **7. 8** ἀποδότω M **14f** ⟨οὐκ ἀπὸ ἰδίου, ἀλλ'⟩ Kl Koe, vgl. lat.

10 sunt dei L ¦ ⟨autem⟩ Koe, vgl. gr. **21** ⟨eorum et⟩ Diehl Koe, vgl. gr. **22** debitum x* Pasch debitam ϱ **26f** imaginem—dei] invisibilem deum L

Καὶ κατ' ἄλλον δὲ τρόπον λεχθείη ἄν · εἰσί τινὲς
τῶν βασιλέων τῆς γῆς υἱοὶ
καὶ ⟨τινὲς⟩ οὐχ υἱοὶ αὐτῶν. πλὴν
5 *υἱοὶ καὶ ἀπολελυμένως υἱοί,*
ἕτεροι δὲ διὰ τὸ εἶναι ἀλλότριοι τῶν υἱῶν τῶν βασιλέων τῆς γῆς, οὐδενὸς μὲν τῶν ἐπὶ γῆς υἱοί, αὐτὸ δὲ τοῦτο υἱοί. ἤτοι δὲ τοῦ θεοῦ ἢ τοῦ
10 *υἱοῦ αὐτοῦ ἤ τινος τῶν τοῦ θεοῦ. ἐὰν οὖν ὁ σωτὴρ πυνθάνηται τοῦ Πέτρου λέγων· οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν ἰδίων υἱῶν*
15 *ἢ ἀπὸ τῶν ἀλλοτρίων αὐτῶν; εἰπόντος δὲ τοῦ Πέτρου ὅτι οὐκ ἀπὸ τῶν ἰδίων υἱῶν, ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων αὐτῶν, φησὶν ὁ Ἰησοῦς περὶ τούτων, οἵτινες ἀλλό-*
20 *τριοί εἰσιν τῶν βασιλέων τῆς γῆς καὶ διὰ τὸ εἶναι ἐλεύθεροι υἱοὶ τυγχάνουσι,*
τὸ ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί.
25

οὐκ ἐλεύθεροι γὰρ οἱ υἱοὶ τῶν βασιλέων τῆς γῆς, ἐπεὶ »πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλος τῆς ἁμαρ-
30 *τίας ἐστίν«, ἐλεύθεροι δὲ οἱ μείναντες ⟨ἐν⟩ τῇ ἀληθείᾳ τοῦ λόγου τοῦ θεοῦ καὶ διὰ τοῦτο γνόντες τὴν ἀλή-*

secundum alterum autem talia dici possunt: filiorum sunt quidam *filii* regum *terrae*.

alii autem propter hoc ipsum, quod alieni sunt a filiis regum *terrae*, nullius quidem eorum qui sunt super terram *filii* sunt, sed ⟨id ipsum filii⟩ aut dei aut filii dei aut alicuius filiorum dei. quando ergo salvator interrogat Petrum, dicens: *reges terrae a quibus accipiunt tributum vel censum? a filiis suis aut ab extraneis? dicente* Petro: non a suis filiis, sed *ab extraneis*, quod dominus dicit de illis qui extranei sunt a regibus *terrae:*

ergo filii liberi sunt.

tale aliquid aestima dictum. quoniam *liberi* sunt qui *filii* sunt dei, *filii* autem regum *terrae liberi* non sunt, quoniam omnis, qui facit peccatum, servus est peccati. liberi autem sunt, qui manent in ⟨veritate⟩ verbi[s] Iesu et propter hoc cognoverunt veritatem. et

28 Joh. 8, 34 — 30 ff Vgl. Joh. 8, 31 f

2 ⟨ἂν⟩ Kl + ⟨τῶν υἱῶν⟩ Koe, vgl. lat. 3 υἱοὶ < M 4 ⟨τινὲς⟩ Kl 15 ἀπὸ < M 17 ἀλλὰ M 18 φησὶ ις H 20 εἰσὶ H 31 ⟨ἐν⟩ Kl

10 ⟨id ipsum filii⟩ Kl nach Diehl Koe, vgl. gr. 15 aut] an L 17 quod y* tale aliquid existima dictum L 25 tale aliquid aestima dictum y* < L 27 autem] l. enim? Kl, vgl. gr. 31 ⟨veritate⟩ verbi[s] Diehl, vgl. gr.

θειαν, ἵνα καὶ ἐλευθερωθῶσιν ἀπ' αὐτῆς.

εἴ τις οὖν ἐστιν υἱὸς ἁπλῶς καὶ μὴ τοῦτο ὅλον υἱὸς τῶν βασιλέων τῆς (15) γῆς, ἐκεῖνός ἐστιν ἐλεύθερος. καὶ ὅμως, ὢν ἐλεύθερος, πεφρόντικε τοῦ μὴ σκανδαλίζειν καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τοὺς τὰ δίδραχμα λαμβάνοντας· (20) διό φησι· μὴ σκανδαλίσωμεν αὐτούς, ἀλλὰ πορευθεὶς βάλε τὸ ἄγκιστρόν σου, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον καὶ τὰ ἑξῆς. πυθοίμην δ' ἂν τῶν (25) χαιρόντων τῇ περὶ φύσεων μυθοποιίᾳ, ποίας φύσεως ἦσαν εἴτε οἱ τῆς | γῆς βασιλεῖς εἴτε οἱ υἱοὶ αὐτῶν εἴτε οἱ τὰ δίδραχμα λαμβάνοντες, οὓς μὴ βούλεται σκαν- (30) δαλίζειν ὁ σωτήρ.

φαίνεται δὴ (ὡς κατὰ τὴν ὑπόθεσιν) ὅτι οὐκ ἐπαινετῆς εἰσι φύσεως, καὶ ὅμως πεφρόντικε τοῦ μὴ σκανδαλισθῆναι αὐτούς, καὶ ὅμως κωλύει (35) σκάνδαλόν τι αὐτοῖς γενέσθαι, ἵν'

veritas liberabit« eos a servitute peccati.

si ergo in mysterio quodam *reges* (5) *terrae* a filiis dei liberis constitutis exigunt *didrachma* »Caesaris« habentia imaginem, consequens est intellegere quoniam et quotienscumque exsurgunt quidam, qui per iniustitiam tollant (10) nostra terrena, *reges* huius *terrae* eos transmittunt ut exigant a nobis quae sunt ipsorum.

quicumque ergo filius est simpliciter et non filius regum *terrae*, ille est liber. tamen cum sit liber, sollicite agit ut ne scandalizet vel ipsos reges *terrae* vel filios eorum vel eos, qui accipiunt *didrachma*; ideo sic dicit: *sed ne scandalizemus eos, vadens ad mare mitte hamum*

et cetera.

586

et quamvis essent iniqui, tamen sollicite egit Christus, ut ne scandalizaret eos, et suo exemplo prohibet aliquod scandalum fieri etiam huiusmodi hominibus, sive

13 ἐστιν + ὁ H **17f** καὶ . . . καὶ . . . καὶ] l. ἢ . . . ἢ . . . ἢ? Kl, vgl. lat. **24** ἑξῆς] ἐν αὐτῷ M **32** φύσεως] φρενῶς M

1 liberabit Kl liberavit x **5f** didragma Caes. habentia μ didragmas Caes. habentes x **35** huiusmodi] lat. las τοιούτοις für τι αὐτοῖς (Koe)

ἤτοι μὴ χεῖρον ἁμαρτάνοιεν, ἢ
πρὸς τὸ (εἰ βούλονται) σωθῆ-
ναι ἥκοιεν ἐκ τοῦ ἀποδέξασθαι τὸν
φεισάμενον αὐτῶν ἵνα μὴ σκανδα-
5 λισθῶσι. καὶ ὡς ἐν *ΧΩΡΙΩΙ* γε
ΠΑΡΑΚΛΗΣΕΩΣ (οὕτω γὰρ ἑρμη-
νεύεται ἡ Καφαρναούμ) παρακαλῶν
⟨ἕκασ⟩τον μαθητὴν καὶ ἐλεύθερον
αὐτὸν εἶναι καὶ υἱὸν ⟨ἀπαγγέλλων⟩,
10 δίδωσιν αὐτῷ δύναμιν τοῦ ἁλιεῦσαι
ἰχθὺν πρῶτον, ἵνα ἀναβάντος
αὐτοῦ παρακληθῇ ὁ Πέτρος ἐπὶ τῷ
ἀναβάντι καὶ ἁλιευθέντι, καὶ ἀπὸ
τοῦ ⟨ἐξ ἀνοιχθέντος αὐτοῦ τοῦ⟩
15 στόματος εἰλῆφθαι τὸν στατῆρα
ἀποδοθησόμενον τοῖς οἰκείοις τοῦ
στατῆρος καὶ ἀπαιτοῦσιν ὡς ἴδιον
τὸ τοιοῦτον νόμισμα.

12. Χαριέντως δ' ἂν ποτε χρή-
20 σαιο τῷ ῥητῷ ἐπὶ φιλαργύρῳ, μηδὲν
ἀνὰ στόμα ἔχοντι ἢ τὰ περὶ τοῦ ἀρ-
γυρίου, ἐπὰν ἴδῃς αὐτὸν ὑπό τινος
Πέτρου τεθεραπευμένον, ἀφελόντος
αὐτοῦ οὐ μόνον ἐκ τοῦ στόματος καὶ
25 τῶν λόγων, ἀλλὰ καὶ ἀπὸ ὅλης δια-
θέσεως τὸν στατῆρα, σύμβολον
ὄντα πάσης αὐτοῦ φιλαργυρίας. ἐρεῖς
γὰρ τὸν τοιοῦτον ἐν θαλάσσῃ μὲν γε-
γονέναι καὶ τοῖς ἁλμυροῖς τοῦ βίου
30 πράγμασι καὶ τοῖς κύμασι τῶν τῆς
φιλαργυρίας φροντίδων καὶ μερι-
μνῶν, ἔχοντα ἐν τῷ στόματι τὸν
στατῆρα ὅτε ἄπιστος ἦν καὶ φι-
λάργυρος, ἀναβεβηκέναι δὲ ἀπὸ τῆς

ut ne amplius peccent scandalizati, sive ut salventur suscipientes eum, qui pepercit eis quominus scandalizentur. et sicut in AGRO CONSOLATIONIS (sic enim interpretatur Capharnaum) consolatur omnem discipulum et liberum eum et filium esse pronuntiat et dat ei virtutem piscandi *piscem primum*, ut ascendente eo consolationem accipiat Petrus super eum quem piscatus est, [12.] et propter hoc quod ablatus est stater de ore ipsius aperto, dandus eis quorum proprius est stater, et ⟨qui⟩ exigunt huiusmodi nomisma quasi suum.

⟨12.⟩ Convenienter poteris uti hoc textu adversus avaros, qui nullam habent in ore suo loquelam nisi pecuniae. cum autem videris huiusmodi hominem ab aliquo Petro correptum, qui abstulit non solum de ore eius verbum pecuniae sed et de toto adfectu concupiscentiam pecuniae, dices eiusmodi hominem in mari fuisse et in salsis rebus huius vitae et in fluctibus sollicitudinum avaritiae, et habuisse in ore suo *staterem* quamdiu infidelis extitit et avarus, ascendisse autem de mari ad hamum rationabilem

5 Vgl. Wutz, Onom. sacra 40

1 ἁμαρτάνοιεν υ ἁμαρτάνειν M H | ἢ Kl, vgl. lat. καὶ M H 3 ἥκοιεν Koe, vgl. lat. καὶ M H 8 ⟨ἕκασ⟩τον Diehl Koe, vgl. lat. 9 ⟨ἀπαγγέλλων⟩ Kl, vgl. lat. 14 ⟨ἐξ—τοῦ⟩ Kl mit Diehl Koe, vgl. lat.

4 sicut x* sic ϱ 16 ⟨qui⟩ Koe

θαλάσσης ἐν τῷ λογικῷ ἀγκίστρῳ
συνειλημμένον καὶ εὐεργετούμενον
(ὑπό τινος αὐτὸν διδάξαντος Πέτρου
τὴν ἀλήθειαν) μηκέτι ἔχειν ἐν τῷ
5 στόματι τὸν στατῆρα ἀλλὰ ἀντ'
ἐκείνου τὰ ἔχοντα τὴν εἰκόνα λόγια
τοῦ θεοῦ.

13. Ἔτι εἰς τὸ προσῆλθον
οἱ τὰ δίδραχμα λαμβάνοντες
10 τῷ Πέτρῳ
παραθήσῃ ἀπὸ τῶν Ἀριθμῶν ὅτι
ὑπὲρ μὲν τῶν ἁγίων κατὰ τὸν τοῦ
θεοῦ νόμον οὐχ ἁπλῶς δίδραχμον δί-
δοται, ἀλλὰ δίδραχμον ἅγιον. γέ-
15 γραπται γάρ· »καὶ λήψῃ πέντε σί-
κλους κατὰ κεφαλήν, κατὰ τὸ δίδρα-
χμον τὸ ἅγιον«. ἀλλὰ καὶ ὑπὲρ »πάν-
των τῶν υἱῶν Ἰσραὴλ« κατὰ κεφα-
λὴν δίδοται δίδραχμον ἅγιον. ἐπεὶ
20 οὖν οὐχ οἷόν τε μετὰ τῶν ἁγίων δι-
δράχμων ἔχειν καὶ δίδραχμα (ἵν' οὕ-
τως ὀνομάσω) βέβηλα τὸν ἅγιον τοῦ
θεοῦ, διὰ τοῦτο τοῖς λαμβάνουσι τὰ
οὐχ ἅγια δίδραχμα καὶ ἐρωτήσασι
25 τὸν Πέτρον καὶ εἰποῦσιν· ὁ διδά-
σκαλος ὑμῶν οὐ τελεῖ τὰ δί-
δραχμα; προστάσσει δοθῆναι στα-
τῆρα (ἐν ᾧ ἦν ⟨δύο⟩ δίδραχμα) ὁ
σωτὴρ εὑρισκόμενον ἐν τῷ στόματι
30 τοῦ | πρώτου ἀναβάντος ἰχθύος.
ἵνα δοθῇ ἀντὶ τοῦ διδασκάλου καὶ
τοῦ μαθητοῦ.

et conprehensum atque salvatum (ab aliquo Petro. qui eum docuit veritatem), ut ne habeat aliquando in ore suo *staterem*. sed pro eo habeat imaginem dei. eloquia dei.

587

13. Et

signa tibi ex Numeris, quoniam pro sanctis secundum legem dei non simpliciter didrachmum datur. sed didrachmum sanctum. scriptum est enim: »et accipies quinque siclos secundum ⟨caput, secundum⟩ didrachmum sanctum«. sed et pro omnibus filiis Israel secundum caput datur didrachmum sanctum. quoniam ergo non licet sanctis dei cum sanctis didrachmis habere didrachmum inquinatum, ideo accipientibus non sancta *didrachma* et interrogantibus Petrum et dicentibus: *magister vester non solvit didrachmum ?* praecepit salvator dari *staterem* (in quo erant duo didrachma), qui inveniebatur in ore piscis ascendentis primum; 588 quod dedit magister et dant semper discipuli eius pro sua salute et gloria Christi. ut longe

15 Num. 3, 47 — 17 Vgl. Num. 3, 45? — 32ff Vgl. Hieron. in Matth. 137 A: *quod saepe monui, etiam nunc observandum est: causae quaerendae sunt singulorum domini dictorum atque factorum* etc.

6 τὰ λόγια H 21 ἵνα M 28 ⟨δύο⟩ Kl, vgl. lat.

17 ⟨caput. secundum⟩ Kl Koe, vgl. gr. 26 solvet G L 28 29 (duae) digragmae G^c L (duo) didragmata Pasch

faciant a se omnia quae imaginem Caesaris habent.

14. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ 5 Ἰησοῦ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (18, 1 [–6]);

14. *In illa hora accesserunt ad Iesum discipuli eius dicentes: quis putas maior est in regno caelorum?*
et accipiens puerum statuit eum in medio eorum et dixit: amen dico vobis, nisi conversi fueritis 10 *et facti quemadmodum pueri, non intrabitis in regnum caelorum. si quis ergo humiliaverit se sicut puer iste, ipse est maior in regno caelorum. et qui acceperit puerum* 15 *talem in nomine meo, me recipit.*

Δυνάμενος ὁ Ματθαῖος ὑπὲρ τοῦ διδαχθῆναι ἡμᾶς, τί τε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ ἠξίουν παρ' αὐτοῦ μαθεῖν πῶς τε 20 ἀπεκρίνατο πρὸς τὸ πύσμα αὐτῶν, αὐτὸ τοῦτο μόνον διηγήσασθαι, ὁ δὲ προσέθηκε κατὰ μέν τινα τῶν ἀντιγράφων· ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, 25 κατὰ δὲ ἄλλα· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ἀναγκαῖον μὴ ἀνεξέταστον ἐᾶσαι τὸ βούλημα τοῦ εὐαγγελιστοῦ. διόπερ ἐπιστήσαντες τοῖς πρὸ τοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἢ ὥρᾳ,

Cum posset Matthaeus nostrae eruditionis causa hoc solum exponere, quid accedentes *discipuli Iesu* interrogaverunt eum et quomodo ad interrogationem eorum respondit, addidit secundum quaedam quidem exemplaria *in illa hora accedentes discipuli Iesu*, secundum alia autem *in illa die*. et necesse est, ut non indiscussam voluntatem relinquamus evangelistae. propter quod exponentes in primis quod ait, *in illa die* vel *in illa hora*, videamus si

29ff Vgl. Hieron. in Matth. 137 A: *quia viderant pro Petro et domino idem tributum redditum, ex aequalitate pretii arbitrati sunt omnibus apostolis Petrum esse praelatum qui in redditione tributi domino fuerat comparatus, ideo interrogant, quis maior sit in regno caelorum* — 29ff Vgl. Hautsch, TU. 34, 2ᵃ, 58

3 Ἐν] vorher: Περὶ τῶν λεγόντων »τίς μείζων« καὶ περὶ τοῦ προσκληθέντος παιδίου ὑπὸ τοῦ Ἰησοῦ H 5/6 μεῖζον H 24 τῷ Mᶜ H αὐτῷ Mᵃ

3 in illa hora] V secundum mathm. In illo tempore L 7 eum < B 15 recipit — Omelia Origenis de eadem lectione L 16 posset ϱ possit x 18 quod Gᶜ B 23 hora x* 29 hora vel in illa die L

σκοπήσωμεν εἰ οἷόν τέ ἐστιν ἀπ' ἐκείνων ὁδὸν λαβεῖν πρὸς τὸ θεωρῆσαι ὡς ἀναγκαίαν τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἢ ὥρᾳ προσθήκην.
5 ἐληλύθεισαν τοίνυν εἰς τὴν »Καφαρναοὺμ« ὁ Ἰησοῦς ἅμα τοῖς μαθηταῖς ἔνθα »οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ προσῆλθον καὶ« ἐρωτῶντες »εἶπον« τὸ »ὁ διδάσκαλος ὑμῶν
10 οὐ τελεῖ τὰ δίδραχμα;« εἶτα ἀποκριναμένου πρὸς αὐτοὺς τοῦ Πέτρου καὶ εἰπόντος »ναί«, ὁ »Ἰησοῦς« προαπολογησάμενος περὶ τῆς δόσεως τῶν διδράχμων πέμπει τὸν Πέτρον τῷ
15 ἀγκίστρῳ ἀνασπάσοντα »ἰχθύν«, οὗ ἐν τῷ στόματι ἔφασκεν εὑρεθήσεσθαι »στατῆρα« τὸν δοθησόμενον ὑπὲρ ἑαυτοῦ καὶ Πέτρου. δοκεῖ οὖν μοι ὅτι μεγίστην νομίσαντες ταύτην εἶναι
20 ὑπὸ τοῦ Ἰησοῦ πρὸς τὸν Πέτρον τιμὴν *(**κρίναντος αὐτὸν μείζονα τῶν λοιπῶν γνωρίμων) ἐβούλοντο, ὅπερ ὑπενόουν, ἀκριβῶσαι
διὰ τοῦ πυθόμενοι τοῦ Ἰησοῦ ἀκοῦ-
25 σαι παρ' αὐτοῦ εἰ (ὡς ὑπελάμβανον) μείζονα κέκρικε τὸν Πέτρον αὐτῶν. ἅμα δὲ ἤλπιζον καὶ τὴν αἰτίαν εἴ-|σεσθαι τοῦ προκεκρίσθαι τὸν Πέτρον τῶν λοιπῶν μαθητῶν. ταῦτ'
30 οὖν (οἶμαι) δηλῶσαι ὁ Ματθαῖος βουλόμενος ἐπήγαγε τῷ »ἐκεῖνον λα-

necessaria est adiectio ista diei vel horae.

venerunt enim in »Capharnaum« Iesus cum discipulis suis, ubi et »didrachma exigentes accesserunt ad Petrum et« interrogantes »dixerunt: magister vester non solvit didrachma?« ita respondente Petro ad eos et ⟨dicente⟩ »etiam«, faciens verbum de didrachmis Iesus mittit Petrum cum hamo conprehendere »piscem«, in cuius ore dicebat inveniendum esse »staterem«, ut daretur pro se et Petro. arbitror ergo, quoniam maximum hunc aestimantes honorem in Petrum a Christo conlatum (quasi per hoc iudicasset eum ceteris discipulis meliorem) cupiebant quod suspicabantur caute cognoscere.

simul autem sperabant, quod et 589 causam ipsam Petri elationis interrogantes discerent. hoc ergo ostendere volens Matthaeus addidit propter illud, quod ait:

5—18 Vgl. Matth. 17, 24—27 — 31 Matth. 17, 27

1 εἰ < H 5 ἐληλύθεσαν M[c] 10 τελεῖ] δίδω M 12/13 [illegible] ἀπολογησάμενος M 16 εὑρήσεσθαι M 21 *** Kl Koe, vgl. lat. 29 ταῦτα M

5 l. venerant? Koe, vgl. gr. 10 respondente Petro ∼ L 11 et ⟨dicente⟩ etiam Diehl Kl Koe, vgl. gr. etiam et x 16 se] iħu G L 16/17 ego arbitror L 28 Petri elationis Koe, vgl. gr., revelationis x 29 discerent Diehl indicerent y indicarent L 30/31 adicit L

βὼν (δηλονότι τὸν »στατῆρα«) δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ« τὸ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ⟨ἢ ὥρᾳ⟩ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; τάχα δὲ καὶ ἀμφέβαλλον διὰ τὸ τρεῖς προκεκρίσθαι κατὰ τὴν μεταμόρφωσιν, ἀμφέβαλλον δὲ περὶ τοῦ τίς τῶν τριῶν μείζων εἶναι κέκριται παρὰ τῷ κυρίῳ.

»hunc accipiens da propter me et te«, *in illa die* vel *hora accesserunt discipuli ad Iesum dicentes: quis putas maior est in regno caelorum?* forsitan autem et dubitabant etiam propter illud, quod superius tres discipuli magis erant dignificati, adsumpti in montem cum ipso ut viderent transfigurationem gloriae eius, dubitabant autem quis de tribus illis melior iudicatus esset a Christo.

distrahebatur autem aestimatio sensus eorum per varias causas.

ὁ μὲν γὰρ Ἰωάννης ἀνέπεσεν »ἐπὶ τὸ στῆθος« αὐτοῦ δι' ἀγάπην, καὶ ἀκόλουθον πρὸ τοῦ δείπνου τιμῆς ἐξαιρέτου σύμβολα πολλὰ αὐτοὺς ἑωρακέναι πρὸς τὸν Ἰωάννην ἀπὸ τοῦ Ἰησοῦ.

interdum quidem Iohannem forsitan meliorem putabant esse, eo quod recubuerat super pectus salvatoris in cena et secreta consilia ei prae ceteris fuerant declarata.

interdum autem arbitrabantur Petrum maiorem *in regno caelorum*, vel propter »staterem« hunc, qui datus est pro Christo et Petro,

ὁ δὲ Πέτρος ἐν τῇ ὁμολογίᾳ ἤκουσε μακάριος διὰ τὸ »σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος«·

vel propter illud, quod Petrus dixit ad Iesum prae ceteris: »tu es Christus filius dei vivi« et Christus ad eum: »beatus es, Simon Bariona, quia caro et sanguis non revelavit tibi, sed pater meus qui est in caelis; et ego tibi dico quia tu es Petrus,

15 Vgl. Joh. 13, 25 — 23 Vgl. Matth. 17, 27 — 27 Matth. 16, 16 (—18)

3 ⟨ἢ ὥρᾳ⟩ Kl, vgl. lat. 8 *κατὰ τὴν μεταμόρφωσιν*] gekürzter Ausdruck gegenüber lat. 9 *δὲ* < M 15—216, 10 gr. voller Kürzungen

4 putas < G 18 in cena] unrichtige Wiedergabe von *δι' ἀγάπην* (Koe) 18/19 secreta consilia aus *ἐξαιρέτου* u. *σύμβολα* mißverstanden? Elt 33 dico tibi L quia < y

5 πάλιν δὲ

διὰ τὸ

10

»ὕπαγε ὀπίσω μου, σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων« περιεσπῶντο μήποτε οὐχ οὗτος εἴη ὁ 15 *μείζων*, ἅτερος δὲ τῶν Ζεβεδαίου υἱῶν. τοσαῦτα μὲν διὰ τὸ *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἢ ὥρᾳ*, ἐν ᾗ γεγόνει τὰ περὶ τὸν »στατῆρα«.

15. Ἑξῆς δὲ κατανοητέον τὸ 20 *προσῆλθον αὐτῷ οἱ μαθηταί*, ὡς μαθηταὶ διδασκάλῳ προβλήματα προτείνοντες καὶ ἐξετάζοντες, *τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*. 25 καὶ μιμητέον γε ἐν τούτοις τοὺς τοῦ Ἰησοῦ μαθητάς· εἴ ποτε ζητούμενόν τι ἐν ἡμῖν μὴ εὑρίσκοιτο, μετὰ πάσης ὁμονοίας περὶ τοῦ ζητουμένου προσέλθωμεν *τῷ Ἰησοῦ*, παρόντι 30 ὅπου »δύο ἢ τρεῖς συνηγμένοι« ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ ἑτοίμῳ ἐν τῇ κατὰ δύναμιν παρουσίᾳ φωτίζειν τὰς καρδίας τῶν γνησίως αὐτῷ μαθη-

et super hanc petram aedificabo ecclesiam meam, et portae inferorum non praevalebunt ei« et cetera.
iterum autem
forsitan eorum revocabatur opinio,
propter quod
dixerat Christus ad Petrum, quod aliis non dixerat discipulis:
»vade post me, satana, scandalum mihi es, quia non sapis quae dei sunt, sed quae hominum«, ne forte non esset *maior* Petrus, sed unus ex filiis Zebedaei. haec diximus propter quod ait *in illa die* vel *hora*, quando de »statere« sermo fuerat factus.

15. Post hoc autem videamus quod ait: *et accesserunt discipuli ad Iesum*, quasi discipuli ad magistrum, proponentes interrogationem, *quis esset maior*.

in his autem imitatores discipulorum Christi esse debemus, si quando aliquid in nobis quasi dubium quaeritur et non invenitur, ut cum omni consensu accedamus *ad Iesum* semper praesentem, ubicumque »duo vel tres« in nomine eius fuerint »congregati«, qui potens est inluminare

11 Matth. 16, 23 — 18 Vgl. Matth. 17, 27 — 30 Vgl. Matth. 18, 20 — 31f Vgl. I. Kor. 4, 5?

17 ἐγεγόνει M^c H, lat. las ἐγεγόνει (Diehl) 21 διδασκάλῳ] τοῦ σος M 30 ὅπου ⟨εἰσίν⟩ Koe | ἢ Kl. vgl. lat. καὶ M H

8 propterea ϱ 11 post] retro y Pasch 16 propterea L

τενέσθαι θελόντων πρὸς κατάληψιν
τῶν ζητουμένων.

οὐκ ἄτοπον δὲ
5
καί τινι τῶν ὑπὸ τοῦ θεοῦ τεταγμένων ἐν τῇ ἐκκλησίᾳ διδασκάλων προσελθόντας ἡμᾶς
προτείνειν ἀνάλογόν τι πρόβλημα τῷ
10 τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
τί μὲν οὖν ἤδη ἔγνωστο τοῖς μαθηταῖς τῶν κατὰ τὸ πύσμα τοῦτο; τί δὲ ἐζητεῖτο; ὅτι μὲν γὰρ οὐκ ἔστιν
15 ἰσότης τῶν ἀξιουμένων τῆς βασιλείας τῶν οὐρανῶν, κατειλήφεισαν. καὶ ὅτι (μὴ οὔσης ἰσότητος) ἔστι τις ὁ μείζων καὶ οὕτω καθε|ξῆς μέχρι τοῦ ἐλαχίστου. ὁποδαπὸς δὲ ὁ μεί-
20 ζων, καὶ ὅπως βιώσας ὁ ἐλάχιστος καὶ τίνες οἱ μεταξύ, ἔτι ἐζήτουν. εἰ μὴ ἄρα ἀκριβέστερον ἔστιν εἰπεῖν ὅτι, τίς μὲν ὁ ἐλάχιστος ᾔδεισαν ἐκ τοῦ »ὃς ἐὰν λύσῃ μίαν τῶν ἐντολῶν τού-
25 των τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν«,
τίς δὲ ὁ πάντων μείζων οὐκ ἐγίνω-
30 σκον, εἰ καὶ κατελάμβανον τὸ »ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν«· μεγάλων γὰρ ὄντων πλειόνων, τίς ὁ τῶν μεγάλων μείζων (ὡς

corda omnium, qui ex toto corde discere volunt ab eo, ad intellegendam solutionem omnium quaestionum. non est autem absurdum ut secundum Christi exemplum interrogemus aliquem eorum doctorum qui praepositi habentur ecclesiis.

quid ergo iam sciebant discipuli secundum hanc interrogationem, quid autem adhuc ignorabant, videamus. nam quia non est aequalitas sanctorum in regno caelesti, sciebant, et quia (cum non sit aequalitas) est aliquis *maior* et minor; sed quomodo maior et qualiter vivens minimus, hoc discere cupiebant. nisi forte cautius est dicendum, quoniam quis esset quidem minimus sciebant ex eo, quod alibi docuerat ipse: »si quis solverit unum ex mandatis istis minimis et docuerit sic homines, minimus vocabitur in regno caelorum«.
et quis esset maior sciebant ex eo quod ait: »si quis fecerit et sic docuerit, hic magnus vocabitur«. sed ex multis magnis quis esset maior, hoc eis non erat manifestum. 590

6ff Vgl. Harnack TU. 42, 4, 135 — **24** Matth. 5, 19 — **30** Matth. 5, 19

9 τι < M **18—21** gr. vollständiger als lat. vgl. S. 219, 7 **19** ὁποταπὸς Hu, **22** ἔστιν < M

3 omnium] hominum G **6/7** doctorum x* doctorem ϱ **20** minimus *** Diehl, vgl. gr. **23** qui G L **29—34** et quis—manifestum] lat. kürzt

ἐν ἀνθρώποις) οὐκ ἦν αὐτοῖς σαφές.
καὶ ὅτι μεγάλοι μὲν πλείους, οὐκ
ἐπίσης δὲ μεγάλοι οἱ μεγάλοι, δη-
λώσει τὸ μέγας ὄνομα κείμενον ἐπὶ
5 τοῦ Ἰσαάκ, »ὃς προβαίνων μείζων
ἐγίνετο ⟨ἕως οὗ μέγας ἐγένετο⟩ σφό-
δρα σφόδρα«, εἰρημένον δὲ καὶ ἐπὶ
Μωσέως καὶ ἐπὶ τοῦ βαπτιστοῦ
Ἰωάννου καὶ ἐπὶ τοῦ σωτῆρος. καὶ
10 πᾶς γε ὁμολογήσει ὅτι ⟨εἰ⟩ καὶ πάν-
τες οὗτοι μεγάλοι ἦσαν κατὰ τὴν
γραφήν, ἀλλὰ μείζων αὐτῶν ἦν ὁ
σωτήρ.

et quoniam multi quidem sunt magni, non autem aequaliter magni, indicat nomen magni positum in persona Isaac, »qui proficiens magnus fiebat, donec efficeretur magnus valde valde«. scriptum est autem id ipsum etiam in Moyse et in Iohanne baptista et in ipso etiam salvatore. et omnibus constat, quoniam etsi omnes hi magni fuerunt secundum scripturas, tamen maior eis erat salvator.

15 εἰ δὲ καὶ Ἰωάννης τοῦ Ἰσαὰκ καὶ
τοῦ Μωσέως μείζων ἦν, οὗ »μείζων
οὐδεὶς ἐν γεννητοῖς γυναικῶν« ἦν, ἢ
οὐ μείζων μὲν ἴσος δὲ ἀμφοτέροις
ἤ τινι αὐτῶν, οὐκ ἀκίνδυνον ἀπο-
20 φήνασθαι.

καὶ ἐκ τοῦ Ἰσαὰκ δὲ »προβαίνων
μείζων ἐγίνετο, ἕως οὗ μέγας ἐγέ-
νετο«, οὐχ ἁπλῶς ἀλλὰ μετὰ προ-
σθήκης τῆς »σφόδρα« δὶς κατειλεγμέ-
25 νης, ἔστι μαθεῖν ὅτι διαφορά ἐστι
μεγάλων, τινὸς μὲν ὄντος μεγάλου,
ἑτέρου δὲ σφόδρα μεγάλου καὶ ἄλλου
σφόδρα σφόδρα μεγάλου. ἐζήτουν
τοίνυν οἱ μαθηταὶ προσελθόντες
30 τῷ Ἰησοῦ μαθεῖν. τίς ἄρα μεί-
ζων

ex eo ergo, quod est positum in Isaac »⟨proficiens magnus fiebat⟩, donec fieret magnus valde valde« (non simpliciter, sed cum additamento duplici »valde valde«), cognoscere possumus quoniam differentia est magnorum, et alius quidem est magnus alius autem ⟨valde magnus et alius⟩ magnus valde valde. ergo *discipuli* quidem quaesierunt *quis esset maior*,

5 Gen. 26, 13 — 7 f Vgl. Ex. 2, 11 (Hebr. 11, 24) — 9 Vgl. Luc. 1, 15 — 16 Luc. 7, 28 — 21 Gen. 26, 13

6 ⟨ἕως — ἐγένετο⟩ Kl, vgl. lat. 7 ἐπὶ] + τοῦ H 10 ⟨εἰ⟩ Kl, vgl. lat. | πάντες] οἱ ἄνδρες M 27 καὶ < M

2 quoniam x* quod μ 4 magni[1] ⟨sunt magni⟩ Diehl, vgl. gr. 4/5 inpositum R G 21 positum x* propositum μ 22 ⟨proficiens magnus fiebat⟩ Kl Koe 23 valde[2] < G 27 differentiae sunt L 29 ⟨valde —alius⟩ Kl. vgl. gr.

melius est enim ut residuum corpus intret *in vitam* sine membro scandalizante, quam totum corpus ecclesiae, morbo scandali per omnes currente, *mittatur in gehennam*.

οὕτω δὲ καλὸν μὲν τὸν δυνηθέντα γενέσθαι ὀφθαλμὸν τοῦ ὅλου σώματος ἄξιον εἶναι ⟨τῆς κεφαλῆς⟩ Χριστοῦ καὶ τοῦ ὅλου σώματος. εἰ μέντοι μεταβάλοι ποτὲ ὁ τοιοῦτος ὀφθαλμὸς εἰς τὸ γενέσθαι αὐτὸν σκάνδαλον τοῦ ὅλου σώματος, καλὸν αὐτὸν ἐξελόντα ἔξω βαλεῖν τοῦ σώματος ὅλου καὶ χωρὶς ἐκείνου τοῦ ὀφθαλμοῦ σωθῆναι τὸ λοιπὸν σῶμα, ἢ (μετ᾽ αὐτοῦ ὅλου βεβλαμμένου τοῦ σώματος) βληθῆναι ὅλον βεβλαμμένον τὸ σῶμα εἰς τὴν γέενναν τοῦ πυρός.

sic bonum quidem erat ut et ille qui factus est *oculus*, dignus esset capite Christo et toto ecclesiastico corpore. *si* autem conversus *oculus* ille factus fuerit scandalum corpori universo, eiciatur *oculus* scandalizans et extra omne corpus expellatur, ut sine illo oculo residuum corpus salvetur, quam cum illo oculo debilitato totam ecclesiam *mitti in gehennam*,

intenebricatam videlicet per oculum malum. Christum autem ecclesiae caput esse, non ego, sed apostolus intellexit. sacerdotes autem rationabiliter possunt dici ecclesiae oculus, quoniam et speculatores habentur; diaconi autem ceterique ministri manus, quoniam per eos opera spiritalia uni-

13f. 25f Vgl. Eph. 1, 22 u. ö.

3 *ἐλθεῖν* H 7 ⟨*ὅλον τὸ σῶμα*⟩ Diehl Kl, vgl. lat. 13 ⟨*τῆς κεφαλῆς*⟩ Kl Koe, vgl. lat. 21 *βεβλαμένου* H 22 *βεβλαμμένον* <H 23 *πυρός*] danach in MH der Absatz *δύναται — σωθῶμεν* S. 248, 22 — 249, 32, umgestellt nach lat. von Kl

5 scandalizante Pasch scandalizanti x 11 et x < ϱ 13 capiti x | toti B 14 corpori x 20 oculo illo B 21 mitti y* mittat L 24 intenebricatam ϱ intenebricatum x 28 dici] + éé L

versa geruntur; populum autem esse pedes ecclesiae. quibus omnibus parcere non oportet, si scandalum ecclesiae fuerint facti.

5 25. Δυνατὸν δὲ τοῖς ῥητοῖς τούτοις χρήσασθαι καὶ ἐπὶ τῶν οἰκειοτάτων καὶ ὡσπερεὶ μελῶν ἡμῶν, διὰ τὴν πολλὴν οἰκειότητα εἴτε συγγενικὴν εἴτε ἔκ τινος συνηθείας (ἵν' οὕτως
10 ὀνομάσω) φιλικῆς μελῶν ἡμῶν νενομισμένων, ὧν οὐ χρὴ φείσασθαι τὴν ψυχὴν ἡμῶν βλαπτόντων. ἐκκόψωμεν γὰρ ἀφ' ἑαυτῶν, ὡς χεῖρα ἢ πόδα ἢ ὀφθαλμόν, πατέρα ἢ μητέρα
15 τὰ ἐναντία τῇ θεοσεβείᾳ ἡμᾶς πράττειν θέλοντας καὶ υἱὸν ἢ θυγατέρα (τὸ ὅσον ἐφ' ἑαυτοῖς) ἀφιστάντας ἡμᾶς τῆς ἐκκλησίας τοῦ Χριστοῦ καὶ τῆς ἀγάπης αὐτοῦ. ἀλλὰ
20 κἂν »γυνὴ ἡ ἐν κόλπῳ ἢ φίλος ὁ ἴσος τῆς ψυχῆς« σκάνδαλα ἡμῶν γίνονται,
μὴ φεισώμεθα,
ἀλλὰ ἐκκόψαντες αὐτοὺς ἀφ' ἑαυ-
25 τῶν βάλωμεν ἔξω τῆς ψυχῆς ἡμῶν ὡς οὐκ οἰκείους, ἀλλὰ πολεμίους

25. Possumus autem hoc textu uti etiam de domesticis nostris et quasi membris ita nobis dilectione coniunctis, sive parentibus sive amicis quadam familiaritate dilectis, quibus parcere non oportet animae nostrae nocentibus. praecidamus ergo a nobis, quasi manum vel pedem vel oculum, patrem aut matrem volentes nos agere contraria pietati, aut filium vel filiam, qui (quantum ad se) faciunt nos recedere ab ecclesia dei et a Christi dilectione. sed et si uxor gremii nostri vel amici unanimes facti fuerint *scandala* nobis,

praecidamus ⟨et expellamus⟩ eos ab anima nostra quasi non amicos, sed adversarios nostrae

5—12 Vgl. C[1] Nr. 207 Or. (?): *οὐ τὰ μέλη ἐκκόπτειν διδασκόμεθα, ἀλλὰ τὰ πάθη τῶν μελῶν καὶ τοὺς εἰς τόπον μελῶν φίλους, εἰ καὶ ἐπιχειροῦσι τῷ* (l. τοῦ ?) *σκανδαλίζειν.* — Vgl. *Π* 203, 1—3 An.: *τινὲς δὲ ὑπερβολικῷ φασιν ἐχρήσατο ῥήματι, διδάσκων ὅτι εἰ καλέσοι καιρὸς δεῖ καὶ σώματος ἀφειδῆσαι, ἵνα μὴ τὴν ψυχὴν βλάψωμεν, μήτι γε φίλων καὶ οἰκείων κτλ.* — Vgl. Hieron. in Matth. 139 C: *itaque non frater, non uxor, non filii, non amici, non omnis affectus qui nos excludere potest a regno caelorum, amori domini praeponatur.* — Vgl. Hieron. hom. in Matth. 17, 7ff (Anecdota Maredsolana III, 2, 375, 3ff): *sciendum quoniam possit et aliter interpretari . . . si te carorum nomina, pater, mater, frater . . . scandalizant* etc. — 18 Vgl. Röm. 8, 35? — 20f Vgl. Deut. 13, 6

12/13 *ἐκκόψωμεν* v *ἐκκόψομεν* MH **17** *ἑαυτῆς* H | *ἐφιστάντας* H

24 ⟨et expellamus⟩ Diehl, vgl. gr.

ἡμῶν τῇ σωτηρίᾳ. ὅστις γὰρ »οὐ μισεῖ τὸν πατέρα καὶ τὴν μητέρα« καὶ τὰ ἐπιφερόμενα, ὅτε καιρός ἐστιν αὐτὰ μισεῖν ὡς πολέμια καὶ ἐπί-
5 βουλα, ἵνα δυνηθῇ κερδῆσαι Χριστόν, οὗτος οὐκ ἔστιν ἄξιος τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ ἐπὶ τούτων γε ἔστιν εἰπεῖν ὅτι ἐκ περιστάσεως οἱονεὶ χωλός τις σώζεται ἀπολέσας πόδα
10 (φέρε εἰπεῖν τὸν ἀδελφὸν) καὶ μόνος κληρονομῶν τὴν βασιλείαν τοῦ θεοῦ, καὶ κυλλός ⟨τις⟩ σώζεται (μὴ σωζομένου αὐτῷ τοῦ πατρὸς ⟨ἢ τῆς μητρός⟩, ἀλλ᾽ ἐκείνων μὲν ἀπολλυμένων
15 αὐτοῦ δὲ χωριζομένου ἐκείνων), ἵνα μόνος τύχῃ τῶν μακαρισμῶν. οὕτω δὲ καὶ μονόμματός τις σώζεται (τὸν ὀφθαλμὸν τῆς ἑαυτοῦ οἰκίας ἐκκόψας, τὴν γαμετὴν πορνεύσασαν).
20 ἵνα μὴ ⟨μετὰ τοιούτου ὀφθαλμοῦ⟩ δύο ὀφθαλμοὺς ἔχων ἀπέλθῃ εἰς τὴν γέενναν τοῦ πυρός. δύναται γὰρ καὶ τὸ ἁμαρτητικῶς μὲν (ἵν᾽ οὕτως ὀνομάσω) ⟨πρακτικὸν καὶ⟩
25 πορευτικὸν τῆς ψυχῆς, ἁμαρτητικῶς δὲ διορατικὸν ἡ σκανδαλίζουσα εἶναι χεὶρ καὶ ὁ σκανδαλίζων ποὺς καὶ ὁ σκανδαλίζων ὀφθαλμός·

salutis. qui enim non »oderit patrem et matrem« et cetera, quando tempus fuerit eos odire quasi adversarios et insidiatores, ut Christum lucremur, hic non est dignus filio dei.

et in istis est dicere, quoniam claudus ⟨quis⟩ salvatur, qui perdiderit pedem, id est fratrem, et solus hereditans regnum dei salvatur, et sine manu quis salvatur perdens patrem vel matrem, ut illis pereuntibus

solus salvetur,
sic et sine oculo quis salvatur praecidens oculum suum a se, id est coniugem fornicantem, ut ne cum tali oculo duos oculos habens intret in ignem.
potest autem et sic intellegi, ut actus animae peccans, *manus* intellegatur et incessus animae peccans *pes* et visus animae peccans *oculus*: quos oportet praecidere si scandalum faciunt.

30 frequenter enim ipsa opera membrorum pro membris in scriptura ponuntur, quale est illud: »et tuli manus meas ad mandata tua«, non ipsas manus, sed opera manuum

1 Vgl. Luc. 14, 26 — 5 Vgl. Phil. 3, 8 — 31 Psal. 118, 48

2 καί[1]] ἢ H 7 γε Kl τε M H 12 ⟨τις⟩ Koe, vgl. lat. 13 ⟨ἢ τῆς μητρός⟩ Kl, vgl. lat. 15 ἵνα] + μὴ M 17 μονόματος H 20 ⟨μετὰ—ὀφθαλμοῦ⟩ Diehl Kl Koe. vgl. lat. 23. 25 ἁμαρτηκῶς M 24 ⟨πρακτικὸν καὶ⟩ Kl, vgl. lat. und Hu

2 et[1] x aut ϱ 8 in < L 9 ⟨quis⟩ Diehl, vgl. gr. 12 sine] sicut sine L 17 quis x* qui ϱ

5

10 *ἄτινα*

*κρεῖττον ἀποβαλεῖν ⟨κακὰ ὄντα⟩ καὶ ἀποθέμενον αὐτὰ χωρὶς αὐτῶν εἰσελθεῖν εἰς τὴν ζωὴν *** οἱονεὶ*
15 *χωλὸν ἢ κυλλὸν ἢ μονόμματον. ἢ μετ' ἐκείνων τὴν ὅλην ἀπολέσαι ψυχήν. ὁμοίως καὶ ἐπὶ τῆς ψυχῆς καλὸν καὶ μακάριον*
ἐπὶ τοῖς βελτίστοις χρῆσθαι τῇ
20 *δυνάμει | αὐτῆς·*

25 *εἰ δὲ μέλλομεν διά τινα μίαν *** ἀπολέσθαι,*

αἱρετώτερον ἀποβαλεῖν τὴν χρῆσιν αὐτῆς ⟨σκανδαλιζούσης⟩,
30
ἵνα μετὰ τῶν ἄλλων δυνάμεων σωθῶμεν.

26. |*῾Ορᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων.*
35

tollimus ad mandata dei. quando facimus opera digna deo. et »ad te levavi oculos meos«. non oculos istos, sed mentem quae per oculos videt. item: »converti pedes meos in testimonia tua«, non pedes, sed motus animae convertuntur ad testimonia dei, quando coeperimus velle conversari secundum deum. quos omnes, id est vel visum vel actum vel incessum, oportet abscidere si fuerint mali, ut sine illis *intremus in vitam*. non facientes quod volumus, quam ut intremus in ignem facientes proprias voluntates. et primum quidem beata est res ab omni scandalo abstinere, ut nulla virtus animae conprehendatur in malo, sed omnibus utamur in bonis. 604
sic enim *cum duobus pedibus* et *duabus manibus* et *duobus oculis* animae corporisque intrabimus *in vitam* aeternam.
si autem futurum est male utentes quadam virtute animae perire propter illam,
melius est praecidere, id est repellere, usum virtutis illius scandalizantis,
quam ut cum reliquis virtutibus pereamus in toto.

26. *Videte ne contemnatis unum de pusillis istis.* 605
dico enim vobis, quoniam angeli eorum in caelis semper vident fa-

2 Psal. 122, 1 5 Psal. 118, 59

12 ⟨*κακὰ ὄντα*⟩ Diehl Koe, vgl. lat. 14 *** Koe, vgl. lat. 15 *μονόματον* H 25 *** Diehl Kl Koe, vgl. lat. 29 ⟨*σκανδαλιζούσης*⟩ Diehl Koe, vgl. lat.

12 abscindere *μ* 20 in y* < L 25 est + ut G 31 f lat. versteht anders 36 in caelis < B

δοκεῖ μοι ὅτι ὥσπερ ἐν τοῖς ἀνθρω-
5 *πίνοις σώμασίν ἐστι μεγέθη διάφορα,*
ὡς τινὰς μὲν αὐτῶν εἶναι μικροὺς
ἑτέρους δὲ μεγάλους καὶ ἄλλους
⟨τοὺς⟩ μεταξύ.
καὶ πάλιν εἶναι μικρῶν διαφορὰς ἐπὶ
10 *πλεῖον ἢ ἔλαττον ὄντων μικρῶν,*
ὁμοίως καὶ μεγάλων, καὶ τῶν μετα-
ξύ,
οὕτως καὶ ἐν ταῖς τῶν ἀνθρώπων
ψυχαῖς ἐστί τινα χαρακτηρίζοντα
15 *τὴν μικρότητα αὐτῶν καὶ ἄλλα τὴν*
(ἵν' οὕτως εἴπω) μεγαλότητα.

καὶ ἁπαξαπλῶς ⟨ἄλλα⟩ ἀνάλογον τοῖς
σωματικοῖς τὴν μεταξύτητα.
20 *ἀλλ' ἐπὶ μὲν τῶν σωμάτων οὐ παρὰ*
τὴν αἰτίαν τοῦ ἀνθρώπου, ἀλλὰ παρὰ
τοὺς σπερματικοὺς λόγους ὁ μέν τίς
ἐστι βραχὺς καὶ μικρός, ὁ δὲ μέγας,
ὁ δὲ μεταξύ. ἐπὶ δὲ τῶν ψυχῶν καὶ
25 *τὸ ἐφ' ἡμῖν καὶ αἱ τοιαίδε πράξεις*
καὶ τὸ τοιοῦτον ἦθος τὴν αἰτίαν ἔχει
τοῦ μέγαν τινὰ εἶναι ἢ μικρὸν ἢ ἐν
τοῖς μεταξὺ τυγχάνειν· καὶ ἔστιν ἐκ
τοῦ ἐφ' ἡμῖν ἤτοι προκόπτειν τῇ

ciem patris mei qui in caelis est.

Primum videamus, qui sunt pusilli quos contemnere non oportet. arbitror autem, quoniam sicut in corporibus ⟨hominum⟩ differentia est, ut quidam eorum sint pusilli alii autem magni alii vero mediocres.

sic in animabus sunt quaedam pusillae, aliae autem magnae secundum spiritalem mensuram, secundum quam videt solus deus et iudicat.

sed in corporibus non culpa hominis, sed propter rationes aliquas seminis est alius brevis, alter autem magnus, alius vero mediocris. in animabus autem ex nobis est esse aliquem vel parvum vel magnum ⟨vel mediocrem⟩ aut secundum opera aut secundum fidem aut secundum aliquos motus, et arbitrii nostri est, si proficere volumus in

20ff Vgl. Orig. tom. XX, 2 in Joh. (IV, 327, 19ff): *καὶ σαφές γε ὅτι τὸ μὲν σπέρμα τινὸς ἔχει τοὺς λόγους τοῦ σπείραντος ἐν ἑαυτῷ ἔτι ἡσυχάζοντας καὶ ἀποκειμένους . . . ἐπεὶ δὲ ἀπὸ ἤθους κρίνεται καὶ ἔργων τὰ τέκνα τοῦ Ἀβραάμ, μήποτε ἀπό τινων σπερματικῶν λόγων, συγκαταβαλλομένων τισὶν ὡς οἶμαι ψυχαῖς, δεῖ χαρακτηρίζειν τοὺς ὄντας σπέρμα τοῦ Ἀβραάμ.* — **29** Vgl. Luc. 2, 52

6 *αὐτῶν* < H **8** ⟨*τοὺς*⟩ Koe **10** *ὄντων*] *τῶν* M **15f** *τὴν (ἵν' οὕτως εἴπω)*] *τὴν οὕτως* H **16** *μεγαλότητα*] vgl. S. 259, 9 *μεγαλειότητα* M **18** ⟨*ἄλλα*⟩ Diehl **29** *τοῦ* Kl, vgl. Z. 25 *τῶν* MH

3 non oportet contempnere L **5** ⟨hominum⟩ Diehl Koe, vgl. gr. **22** alter autem] alius autem L **24** esse < B **26** ⟨vel mediocrem⟩ Kl nach Diehl Koe, vgl. gr.

ἡλικίᾳ ἐπιδιδόντα εἰς μέγεθος ἢ μὴ
προκόπτοντα εἶναι βραχύν. καὶ οὕτω
γε ἀκούω περὶ τοῦ σωτῆρος ἀναλα-
βόντος καὶ ἀνθρωπίνην ψυχὴν
5

τὸ »ὁ Ἰησοῦς προέκοπτεν«.

ὡς γὰρ ἐκ τοῦ ἐφ' ἡμῖν τῆς ψυχῆς
10 αὐτοῦ ἦν ἡ »ἐν σοφίᾳ« προκοπὴ »καὶ
χάριτι«, οὕτως καὶ ἐν »ἡλικίᾳ«·
καὶ ὁ ἀπόστολος· »μέχρι καταντή-
σωμεν πάντες εἰς ἄνδρα τέλειον, εἰς
μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ
15 Χριστοῦ«. καταντᾶν γὰρ εἰς ἄνδρα
καὶ τοῦτο[ν] τέλειον, »κατὰ τὸν ἔσω
ἄνθρωπον« νομιστέον, τὸν διαβάντα
τὰ τοῦ νηπίου καὶ φθάσαντα ἐπὶ
τὸν ἄνδρα καὶ καταργήσαντα »τὰ τοῦ
20 νηπίου«

καὶ ἁπαξαπλῶς τελειώσαντα τὰ τοῦ
ἀνδρός.
οὕτω δ' ὑποληπτέον εἶναί τι καὶ μέ-
25 τρον πνευματικῆς ἡλικίας,

ἐφ' ὃ ἡ τελειοτάτη δύναται φθάσαι
ψυχὴ ἐκ τοῦ μεγαλύνειν τὸν κύριον
καὶ μεγάλη γίνεσθαι.
30 Οὕτως οὖν καὶ μεγάλοι μὲν περὶ
ὧν τοῦτ' ἀναγέγραπται γεγόνασιν,
Ἰσαὰκ καὶ Μωσῆς καὶ Ἰωάννης |
καὶ αὐτὸς ἐπὶ πᾶσιν ὁ σωτήρ· καὶ

statu animae et fieri magni, aut
non proficere et parvuli remanere.
sic audio et in Christo suscipienti
naturam humanam
et secundum naturalia incremen-
ta crescenti
quod scribitur: »Iesus autem cres-
cebat sapientia et aetate et gratia
coram deo et hominibus«.

unde consequenter apostolus ait:
»donec occurramus omnes in vi-
rum perfectum, in mensuram
aetatis plenitudinis Christi«. oc-
currere enim in virum et hoc per-
fectum, »secundum interiorem ho-
minem« intellegendus est ille, qui
transcenderit »quae parvuli sunt«
et evacuans ea pervenerit »in vi-
rum perfectum«.

hoc modo intellegenda est esse
mensura spiritalis aetatis
in singulis animabus,
per quam proficit anima una-
quaeque, et ex eo, quod magnifi-
cat deum, magnificatur a deo.
Secundum hanc magnitudinem
spiritalis aetatis et spiritalium in-
crementorum et ⟨Isaac et⟩ Moy- 606
ses fuisse dicitur magnus et Io-

7 Luc. 2, 52 — 10 Vgl. Luc. 2, 52 — 12. 27 Eph. 4, 13 — 16 Vgl. Röm. 7, 22 — 19 I. Kor. 13, 11 — 28 Vgl. Luc. 1, 46

16 τοῦτο[ν] Diehl, vgl. lat. 27 ἐφ' ᾧ M 28 ψυχὴ + *et* lat. 29 μεγάλη γίνεσθαι] *magnificatur a deo* lat. 30 οὕτως οὖν] kürzt gegen lat.

1 statura G^{c. r.} 3 in x* < μ 3—6 suscipiente . . . crescente B 27 proficit ⟨perfecta⟩ Diehl, vgl gr. 32 ⟨Isaac et⟩ Kl Koe

γὰρ περὶ αὐτοῦ ὁ Γαβριὴλ εἶπε τὸ »ἔσται μέγας«.

μικροὶ δὲ τὰ »ἀρτιγέννητα βρέφη« 5 ⟨ἐν Χριστῷ ***

ὡς »ἀρτιγέννητα βρέφη«⟩, »λογικὸν ἄδολον γάλα« ἐπιποθοῦντα,

10

οἵτινες καὶ τῶν παρὰ τῷ Ἡσαΐᾳ λεγομένων τιθηνῶν δέονται καὶ τροφῶν, λέγοντι περὶ τῆς ἀπὸ τῶν ἐθ-15 νῶν κλήσεως· »καὶ ἄξουσι τοὺς υἱοὺς ἐν κόλπῳ, τὰς δὲ θυγατέρας ἐπὶ τῶν ὤμων ἀροῦσι, καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου«. ἐπιστήσεις οὖν διὰ ταῦ-20 τα καὶ τῷ μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν, μήποτε οἱ ἄγγελοι αὐτῶν οἱ ἄγοντες αὐτούς εἰσιν »ἐν κόλπῳ«, ἐπὰν ὦσιν υἱοί, ἀλλὰ καὶ ἐπὶ τῶν »ὤμων« αἴροντες 25 τὰς λεγομένας »θυγατέρας«, καὶ ἀπὸ τούτων εἰσὶ »τιθηνοὶ« μὲν οἱ λεγόμενοι »βασιλεῖς«, »τροφοὶ« δὲ αἱ ὀνομαζόμεναι »ἄρχουσαι«. καὶ ἐπεὶ οἱ δεικνύμενοι ὑπὸ τοῦ σωτῆρος ἡμῶν 30 μικροὶ ὡς ὑπὸ τροφῶν καὶ τιθηνῶν οἰκονομοῦνται, διὰ τοῦτ᾽ οἶμαι καὶ Μωσέα, πιστεύοντα ἐν τῇ τῶν μεγάλων ἤδη τετάχθαι χώρᾳ, εἰρηκέναι πρὸς τὸ »ὁ ἄγγελός μου προπορεύ-

hannes et ipse dominus Iesus, de quo Gabriel protestatur: »et erit magnus«.
pusilli autem sunt, qui nuper in Christo sunt nati, aut tales permanent sine profectu quasi nuper nati, quibus rationabile lac necessarium est, qui adhuc carnales sunt (sicut ait apostolus) et parvuli sunt in Christo nec capere possunt escam virilem.

2 Vgl. Luc. 1, 32 — 4. 7 I. Petr. 2, 2 — 8ff (lat.) Vgl. I. Kor. 3, 1—3 — 15 Jes. 49, 22f — 22ff Vgl. Jes. 49, 22f — 34 Ex. 32. 34 vgl. 33, 14

1 Γαβριὴλ Hu, vgl. lat. σηρ M H 5—7 ⟨ἐν—βρέφη⟩ Kl nach Diehl, vgl. lat. 20 καταφρονήσετε H 21 μικρῶν + ⟨τούτων⟩ λ 29 ὑπὸ] ἐπὶ M

σεται ὑμῶν« τὸ »εἰ μὴ αὐτὸς συμπορεύῃ μετ' ἐμοῦ, μή με ἀναγάγῃς ἐντεῦθεν«·

εἴπερ γὰρ ὁ μικρὸς μὲν καὶ »κληρονόμος« — ᾗ »νήπιος« δὲ ὡς μηδὲν διαφέρων »δούλου« (ὅτε ἐστὶ νήπιος) καὶ ᾗ μικρός ἐστι — τὸ τῆς »δουλείας εἰς φόβον« ἔχει πνεῦμα, ὁ δὲ μηδαμῶς ἔτι τοιοῦτος,

10

οὐκέτι μὲν τὸ τῆς »δουλείας«,

ἤδη δὲ τὸ τῆς »υἱοθεσίας«, ὅτε »ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον«,

15 *δῆλον ἔσται σοι, ὅτι κατὰ ταῦτα παρεμβάλλειν λέγεται ὁ »ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν« καὶ ῥύεσθαι »αὐτούς«. ἐπιστήσεις δὲ κατὰ ταῦτα καὶ εἰ μικρῶν μέν εἰσιν*

20 *ἄγγελοι ⟨τῶν⟩ πνεύματι »δουλείας [τῶν] εἰς φόβον« ἀγομένων (ἐπεὶ »παρεμβάλλει ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύεται αὐτούς«), μεγάλων δὲ ὁ τῶν ἀγγέλων*

25 *μείζων κύριος (ὅστις λέγοι ἂν περὶ ἑνὸς ἑκάστου αὐτῶν τὸ »μετ' | αὐτοῦ εἰμι ἐν θλίψει«). καὶ ὅσον μέν ἐσμεν ἀτελεῖς καὶ δεόμενοι τοῦ βοηθοῦντος ἡμῖν πρὸς τὸ ῥυσθῆναι ἀπὸ κακῶν,*

30 *ἀγγέλου δεόμεθα περὶ οὗ ἔλεγεν ὁ Ἰακὼβ τὸ »ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ*

607

pusilli enim quamvis sint heredes, tamen quia pusilli sunt quasi nihil differentes a servis (quamdiu pusilli sunt) »servitutis« habent »spiritum in timore«. qui autem per dilectionem dei perfectam miserit »foras timorem«,

iam non habet »servitutis spiritum in timore, sed

spiritum adoptionis filiorum« in dilectione dei.

1 Ex. 33, 15 — 4 f Vgl. Gal. 4, 1 — 7 ff. 20 Vgl. Röm. 8, 15 — 13 I. Joh. 4, 18. — 16. 21 Psal. 33, 8 — 18—27 Vgl. C[v] Nr. 19 Or.: . . . *οὗτοι οἱ μικροὶ ὡς ἂν ἔτι φοβούμενοι θεὸν καὶ οὔπω ἀγαπῶντες ὑπὸ φρουροῖς ἀγγέλοις εἰσί (παρεμβαλεῖ γὰρ »ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν«), οἱ δὲ μεγάλοι ὑπ' αὐτῷ τῷ κυρίῳ (περὶ γὰρ τοῦ τελείου ἐν τῷ ἐνενηκοστῷ Ψαλμῷ λέγει· »μετὰ σοῦ εἰμι ἐν θλίψει«)* — 26 Psal. 90, 15 — 31 Gen. 48, 16

1 *τῷ* M 5 *ᾗ* Koe *ἡ* M H 15 *κατὰ ταῦτα*] *καὶ τὰ τοιαῦτα* M 20 f ⟨*τῶν*⟩ . . . [*τῶν*] Diehl Koe 26 *τὸ* < M 27 *μὲν* < H

8. 12 l. timorem? Kl 12 timorem G

πάντων τῶν κακῶν«· τελειωθέντες δὲ καὶ διελθόντες τὸ ὑπὸ »τιθηνοὺς« εἶναι καὶ »τροφοὺς« καὶ »οἰκονόμους« καὶ »ἐπιτρόπους«, χωροῦμεν ἤδη ὑπ' 5 αὐτῷ οἰκονομεῖσθαι τῷ κυρίῳ.

27. *Εἶτα πάλιν ζητήσαι ἄν τις, πότε τῶν δεικνυμένων ὑπὸ τοῦ σωτῆρος μικρῶν οἱ λεγόμενοι αὐτῶν ἄγγελοι προΐστανται, πότερον ἀρξάμενοι 10 τὴν οἰκονομίαν περὶ αὐτοὺς διοικεῖν, ἀφ' οὗ »διὰ λουτροῦ παλιγγενεσίας« (ᾧ ἐγεννήθησαν) »ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν καὶ ἄδολον γάλα« ἐπιπο-15 θοῦσι, καὶ μηκέτι ὑποκείμενοι πονηρᾷ τινι δυνάμει· ἢ ἀπὸ γενέσεως*

κατὰ τὴν τοῦ θεοῦ πρόγνωσιν καὶ 20 τὸν προορισμὸν αὐτοῦ ἐπιταχθέντες τούτοις »οὓς καὶ προέγνω καὶ προώρισεν« ἐσομένους »συμμόρφους« »τῆς δόξης« τοῦ Χριστοῦ ὁ θεός.

25

30

καὶ πρὸς μὲν τὸ ἀπὸ γενέσεως ἔχειν ἀγγέλους εἴποι ⟨ἂν⟩ τις ταῦτα,

27. Item requires *pusillorum* istorum *angeli*, qui praesunt eis, quando incipiunt curam eorum habere, utrum

ex quo per lavacrum regenerationis geniti sunt in Christo, »quasi tunc nascentes infantes«

et ultra non subiecti cuidam adversariae potestati; aut ex tempore nativitatis eorum carnalis secundum praescientiam dei et praeordinationem ipsius *** »quos praescivit et praedestinavit ut sint conformes gloriae« Christi. vides quoniam qui caute utrumque discusserit, illius est adfirmare, utrum eorum sit verum, et ad testimonium proferre scripturam uni ex duobus consentientem; in utraque enim parte multus quidem sermo fieri potest, tamen ex multo parum aliquid proferamus.

qui enim volunt, mox ut quis fuerit natus (eorum qui praecogniti sunt

2 Vgl. Jes. 49, 22f und Gal. 4, 2 — **6ff** Vgl. Harnack TU. 42, 4, 134 A. 2 — **11** Vgl. Tit. 3, 5 — **13** I. Petr. 2, 2 — **21** Röm. 8, 29 — **22** Vgl. Phil. 3, 21

6 *ζητήσαιεν* H **7/8** *μικρῶν ὑπὸ τοῦ σωτῆρος* M **11** *λουτροῦ* + *τῆς* M **12** *ᾧ*] ⟨*ἐν χ*⟩*ῷ* Koe, vgl. lat. **20** *ἐπιταχθέντες τούτοις* Kl *ἐπιταχθέντας τούτους* M H **33** ⟨*ἂν*⟩ Diehl Koe

20 *** Diehl, vgl. gr. **23** vide B **32** qui] aliqui y | ut < y | quis x* qui ϱ

τὸ »⟨ὃ⟩ ἀφορίσας με ἐκ κοιλίας μητρός μου«

καὶ τὸ »ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής« καὶ »ἀντελάβου μου ἐκ κοιλίας μητρός μου« καὶ »ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας«
καὶ ἐν τῇ Ἰούδα ἐπιστολῇ »τοῖς ἐν θεῷ πατρὶ ἠγαπημένοις καὶ Ἰησοῦ Χριστοῦ τετηρημένοις κλητοῖς«, πάντως ὑπὸ τῶν τηρούντων ἀγγέλων.

28. *Πρὸς δὲ τὸ*

a deo) accipere ⟨eum⟩ angelum praepositum sibi, utentur apostoli voce dicentis: »qui me segregavit ab utero matris meae
ut revelaret filium suum in me«, quasi ex eo necessarium habeat angelum se regentem, qui segregatus est secundum praescientiam dei.

item in epistola Iudae scriptum est ita: »in deo patre dilectis et Iesu Christo conservatis vocatis«. a quo conservatis, nisi ab angelis quibus traditi fuerant, ut conserventur et eruantur ab omni malo, qui praecogniti et praeordinati habebantur? item proferet et illud quod in Psalmis est dictum: »de ventre matris meae tu es meus protector«, ut sit protector praecognitorum deus per angelos ad hoc ipsum ministerium deputatos. sic et illud accipiet: »suscepisti me de utero matris meae«, item: »ad te proiectus sum ex utero« et alia mille huiusmodi habentia sensum.

28. Qui autem vult ex eo hominibus dari angelum adiutorem,

3 Gal. 1, 15 — 10 Psal. 70, 6 — 11 Psal. 138, 13 — 12 Psal. 21, 11 — 14 Jud. 1 — 31ff Vgl. Orig. hom. I, 7 in Ez. (VIII, 331, 30ff): *veni, angele, suscipe senem conversum . . . tribue ei »baptisma secundae generationis«* etc.

3 ⟨ὃ⟩ λ, vgl. lat. | *ἀφορίσας* v *ἀφώρισάς* M H 10—17 gr. kürzt und stellt um 11 *ἀντελάβου* Kl, vgl. LXX und lat., *ἀντελάβετο* M H 31ff Lücke nach lat. schon Hu

1 ⟨eum⟩ Elt 15 et] + in ϱ 21 proferet ϱ profert x 23f protector meus B

ὅτε »διὰ λουτροῦ« γεγόνα⟨σιν⟩ »ἐν Χριστῷ« νήπιοι	ex quo »per lavacrum regenerationis« facti sunt tunc nati »infantes in Christo«, dicet non esse credibile, insensatis et incredulis et errantibus et servientibus desideriis variis et inmundis, in malitia et invidia degentibus, odibilibus et odientibus invicem, fornicariis et adulteris, interdum autem et masculorum concubitoribus, latronibus et ebriosis atque rapacibus
*μὴ παρεῖναι ἅγιον ἄγγελον τοῖς ἔτι κακίᾳ ****	praeesse angelum sanctum, ut maculetur in huiusmodi actibus hominis, cui datus est custos. sed est homo
⟨ἀλλὰ κατὰ μὲν⟩ τὸν καιρὸν τῆς ἀπιστίας ὑπὸ τοῖς ἀγγέλοις εἶναι τοῦ σατανᾶ·	in tempore quidem infidelitatis suae et peccatorum suorum ex infidelitate nascentium sub angelis satanae et spiritibus malignis et inmundis daemoniis.
μετὰ δὲ τὴν ἀναγέννησιν ὁ τοῦ ἰδίου αἵματος ἐξαγοράσας ἡμᾶς	cum autem susceperit fidem, tunc Christus, qui est redemptor qui pretio sui sanguinis eum redemit a malignis dominis, credentem in deum
παραδίδωσιν ἁγίῳ ἀγγέλῳ καὶ διὰ τὴν καθαρότητα βλέποντι τὸ πρόσωπον τοῦ | θεοῦ.	tradit eum angelo sancto et propter munditiam semper videnti *faciem patris*. 608
Καὶ τρίτος δ' ἂν τις τοιοῦτος εἴη κατὰ τὸν τόπον λόγος φάσκων	

1 Vgl. Tit. 3, 5 — 3f Vgl. I. Kor. 3, 1 — 4ff Vgl. Tit. 3, 3 — 8ff Vgl. I. Kor. 6, 9f — 30ff Vgl. Orig. hom. XXXV in Luc. (IX, 208, 26ff): *secundum meritum enim eorum, quorum angeli sunt, aut semper aut nunquam, vel parum vel plus faciem dei angeli contemplabuntur* etc.

1 *γεγόνα⟨σιν⟩* Kl, vgl. lat. *γέγονε* H 3 *νήπιοι* Kl, vgl. lat. *νήπιος* M H 14 *** Hu. vgl. lat. 17 *⟨ἀλλὰ κατὰ μὲν⟩* Kl nach Diehl Koe, vgl. lat. 27 *παραδίδωσι* H

26f dm credentem in ihm B

ὅτι δυνατόν, ὥσπερ μεταβαλεῖν ἄν-
θρωπον ἀπὸ ἀπιστίας εἰς πίστιν
καὶ ἀπὸ ἀκολασίας εἰς σωφροσύνην
καὶ ἁπαξαπλῶς ἀπὸ κακίας εἰς
5 ἀρετήν, οὕτω καὶ τὸν ἐγκεχειρισμέ-
νον ἅμα γενέσει ψυχήν τινα κατὰ
μὲν τὰς ἀρχὰς φαῦλον εἶναι δύνα-
σθαι, ὕστερον δέ ποτε ἀνάλογον τῷ
πιστεύοντι πιστεύειν καὶ ἐπὶ το-
10 σοῦτον προκόπτειν, ὡς γενέσθαι
αὐτὸν ἄγγελον ἕνα τῶν διὰ παντὸς
βλεπόντων τὸ πρόσωπον τοῦ
ἐν οὐρανοῖς πατρός. ἀρξάμενος
ἀπὸ τοῦδε τοῦ χρόνου τῷ προγνω-
15 σθέντι κατὰ τόνδε τὸν χρόνον πιστεύ-
ειν καὶ προορισθέντι συζεύγνυται,
τῶν ἀρρήτων κριμάτων τοῦ θεοῦ
καὶ ἀνεξερευνήτων καὶ ἀβύσσοις
ἐοικότων εἰκότως πᾶσαν τὴν τοιαύ-
20 την ἁρμονίαν συναγαγόντων ἀγγέλων
πρὸς ἀνθρώπους. δυνατὸν δὲ καὶ
ὥσπερ ἀνδρὸς καὶ γυναικὸς ἀμφοτέ-
ρων ἀπίστων, ὁτὲ μὲν ὁ ἀνὴρ
πρότερον πιστεύσας τῷ χρόνῳ σώζει
25 τὴν γυναῖκα, ὁτὲ δὲ ἡ γυνὴ ἀρξα-
μένη ὕστερόν ποτε πείθει τὸν ἄνδρα,
οὕτω γίνεσθαι καὶ ἐπὶ τῶν ἀγγέλων
καὶ τῶν ἀνθρώπων. εἰ μὲν οὖν καὶ ἐπ'
ἄλλων γίνεται ἀγγέλων τὸ τοιοῦτον
30 ἢ μή, καὶ αὐτὸς ἐξετάσεις. μήποτε
δὲ οὐχ ἁρμόζει περὶ τοῦ ἑκάστου
ἀγγέλου τὸ τοιοῦτο λέγειν, τοσοῦ-
τον τετιμημένον κατὰ τὸν τοῦ
σωτῆρος ἡμῶν λόγον, ὥστε διὰ

10—13 Vgl. C[1] Nr. 208 Or.: *αἱ διάνοιαι τῶν ἁγίων δίκην ἀγγέλων βλέπουσι τὸ πρόσωπον τοῦ πατρὸς τὸν θεὸν φανταζόμενοι κτλ.* — **17 ff** Vgl. Röm. 8, 33 — **25 f** Vgl. I. Kor. 7, 16 ?

8 *ποτε* < H   11 *αὐτὸν*] *αὐτῷ* Koe   20 *ἀγγέλων* Kl *ἀγγέλους* M H   28 *καὶ*² < H   34 *λόγου* H

παντὸς αὐτὸν βλέπειν λέγεσθαι
τὸ πρόσωπον τοῦ πατρὸς τοῦ
ἐν οὐρανοῖς. ἐπεὶ δὲ ἐν τοῖς
ἀνωτέρω ἐλέγομεν τῶν μὲν μικρῶν
5 εἶναι τοὺς ἀγγέλους, διεληλυθέναι δὲ
τὴν τοιαύτην τάξιν τοὺς μεγάλους,
ἀντερεῖ τις ἡμῖν ἐκ τῶν Πράξεων
τῶν ἀποστόλων, ἔνθα γέγραπται
ὅτι Ῥόδη παιδίσκη τις τοῦ Πέτρου
10 »κρούσαντος τὴν θύραν« προσῆλθεν
ὑπακοῦσαι, »καὶ ἐπιγνοῦσα τὴν φω-
νὴν τοῦ Πέτρου«, εἰσδραμοῦσα
»ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον
πρὸ τοῦ πυλῶνος«· θαυμάσαντες δὲ
15 οἱ ἐν τῷ οἴκῳ συνηθροισμένοι καὶ
ὡσπερεὶ ἀδύνατον εἶναι νομίσαντες
τὸν Πέτρον ἀληθῶς ἑστηκέναι »ἔλε-
γον ὅτι ὁ ἄγγελος αὐτοῦ ἐστι«.
φήσει γὰρ ὅτι ἅπαξ μαθόντες ἐκεῖνοι
20 ἕκαστον τῶν πιστευόντων ἔχειν
ἄγγελον τόνδε τινά, ᾔδεισαν καὶ
Πέτρου τινὰ εἶναι ἄγγελον. ὁ δὲ | 609
παριστάμενος οἷς προειρήκαμεν φή-
σει ὅτι οὐκ ἀναγκαῖον εἶναι δόγμα
25 τὸν τῆς Ῥόδης λόγον, τάχα δὲ καὶ
οὐκ ἠκριβωκότων πότε μὲν ὑπ'
ἀγγέλων τῳ ὡς μικρός τις καὶ φο-
βούμενος τὸν θεὸν οἰκονομεῖται,
πότε δὲ ἤδη ὑπ' αὐτῷ τῷ κυρίῳ.
30 μετὰ ταῦτα εἰς κατασκευὴν τοῦ ὡς
ἐξειλήφαμεν νοεῖσθαι τὸν μικρὸν
λεχθήσεται ὅτι οὐ δεόμεθα μὲν

secundum ea quae sumus inter-
pretati de pusillis discipulis con-
veniens est dicere, quoniam non

3 ff Vgl. S. 251, 30 ff — 8 ff Act. 12, 13—15

2/3 τοῦ ἐν οὐνοις πρς M 5 τοὺς < H 17 Πέτρον] + πρὸ τοῦ πυλῶνος λ 25 καὶ < M 26—29 ὑπ'—πότε δὲ < H 26 ⟨ἡμῶν⟩ πότε? Diehl 27 τῳ Kl τῶ M τῷ ὡς υ [τῷ] ὡς Hu τις Lo 32 λεχθή-σεται Hu, vgl. lat. λεχθήσεσθαι M H

ἐντολῆς τῆς περὶ τοῦ μὴ καταφρονεῖν ἐπὶ τῶν μεγάλων ***, χρήζομεν δὲ αὐτῆς ἐπὶ τῶν μικρῶν. διὸ οὐχ ἁπλῶς εἴρηται· μὴ καταφρονήσητε ἑνὸς τούτων. δεικνυμένων πάντων τῶν μαθητῶν, ἀλλ' ἑνὸς τούτων τῶν μικρῶν, ⟨μικρῶν⟩ δεικνυμένων ὑπὸ τοῦ βλέποντος μικρότητα καὶ μεγαλότητα

ψυχῆς.

habuit necessarium Christus mandare de magnis et perfectioribus fidelibus non contemnendis sed *de pusillis.* propterea non simpliciter dictum est: *ne contemnatis unum de istis* omnibus discipulis quos videtis, sed ita: *unum de pusillis istis,* quos cognoscebat esse pusillos qui videre poterat modicitatem et magnitudinem invisibilium animarum.

talia et superius diximus: »si quis scandalizaverit unum de pusillis istis credentibus in me«.

29. Ἄλλος δ' ἂν λέγοι μικρὸν ἐν τούτοις λέγεσθαι τὸν τέλειον συγχρώμενος τῷ »ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας«. καὶ φήσει ὅτι ὁ ταπεινῶν ἑαυτὸν καὶ ⟨γινόμενος μιμητὴς τοῦ ἑαυτὸν ταπεινώσαντος ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας καὶ⟩ γινόμενος νήπιος ἐν μέσῳ πάντων ⟨τῶν⟩ πιστευόντων (κἂν ἀπόστολος, κἂν ἐπίσκοπος ᾖ) καὶ γινόμενος τοιοῦτος »ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα«.

οὗτός ἐστιν ὁ δεικνύμενος ὑπὸ τοῦ Ἰησοῦ μικρός.

καὶ ἄξιόν γε τοῦ τοιούτου ἄγγελον εἶναι βλέποντα τὸ πρόσωπον τοῦ θεοῦ. τὸ γὰρ μικροὺς λέγειν ἐνταῦθα τοὺς τελείους κατὰ τὸ »ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας«

29. Alius autem forsitan dicet pusillum hic dici perfectum secundum illud, quod alibi ait: »qui autem minor fuerit in omnibus vobis, hic erit maior«. qui enim humiliaverit se, imitator existens illius, qui semetipsum humiliavit pro salute humana, in medio omnium credentium (sive ille apostolus fuerit sive episcopus),

ipse est pusillus, quem Christus ostendit.

12 ff Vgl. S. 230, 8 ff — 17. 32 Luc. 9, 48 — 25 I. Thess. 2, 7

2 *** Diehl Kl, vgl. lat. 7/8 ⟨μικρῶν⟩ Diehl, vgl. lat. 17 γὰρ] δὲ Koe, vgl. lat. 19 ἑαυτῶν H[a] 20—22 ⟨γινόμενος—καὶ⟩ Diehl Kl Koe, vgl. lat. 23 ⟨τῶν⟩ Kl 31 γὰρ] l. γοῦν Elt

5 ne] nec G non Pasch 15 dicet Kl, vgl. gr. dicit x

καὶ ὡς ὁ Παῦλος εἶπεν τὸ »ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη« δόξει μὴ συνᾴδειν τῷ »ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν 5 *μικρῶν τούτων« καὶ τῷ οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. ὁ γὰρ ὡς ἀποδέδοται νῦν* 10 *μικρὸς*	talem se pusillum etiam Paulus ostendit dicens: »mihi minimo omnium sanctorum data est gratia haec«. sed huiusmodi expositioni illud quod dicitur: »si quis scandalizaverit unum de pusillis istis« et cetera non videtur convenire. vel illud quod dicitur: *sic non est voluntas patris mei qui in caelis est, ut pereat unus de pusillis istis,* quoniam talis pusillus, qui vere perfectus est,
οὐ σκανδαλισθείη οὐδ' ἀπόλοιτο ἄν· »εἰρήνη γὰρ πολλὴ τοῖς ἀγα- 15 *πῶσι τὸ ὄνομα τοῦ θεοῦ, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον«.*	non scandalizatur nec perit: »pax enim multa diligentibus legem dei. et non est illis scandalum«.
καὶ οὐκ ἂν ἀπόλοιτο ὁ πάντων μικρότερος ἐν πᾶσι τοῖς μαθηταῖς Χριστοῦ ὑπάρχων καὶ διὰ τοῦτο 20 *γινόμενος μέγας·*	
καὶ ἐπεὶ οὐκ ἂν ἀπόλοιτο.	et quoniam non perit pusillus huiusmodi,
λέγοι ἂν τὸ »τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς | *ἀγάπης« καὶ τὰ ἑξῆς.* 25	dicere potest: »quis nos separabit a caritate dei, quae est in Christo 610 Iesu?« et cetera et »credo quod neque mors neque vita« et cetera.
ἀλλ' ὁ βουλόμενος τὴν τελευταίαν ταύτην κρατεῖν διήγησιν φήσει, ὅτι 30 *μεταπτωτή ἐστι καὶ ἡ τοῦ δικαίου ψυχή,*	sed qui hanc expositionem aestimat veram, dicet quoniam et iusti hominis anima vertibilis est

1 Eph. 3, 8 — 4 Matth. 18, 6 — 9ff Vgl. Orig. comm. III in Cant. (VIII, 241, 11ff): *»scandalizari« non potest grandis et perfecta, sed »pusilla« et rudis anima, sicut in Psalmo dicit: »pax multa diligentibus nomen tuum«* etc. — 14 Psal. 118, 165 — 23 Röm. 8, 35 — 26 Röm. 8, 38

1 *καὶ ὡς*] *καθὼς* Koe | *εἶπε* H 15 *τὸ ὄνομα*] *τὸν νόμον* λ, vgl. zu S. 120, 16 App. I 23 *χωρίσῃ* H 30 *μεταπτωτική* Koe 26/27 et—cetera < L 29 dicet Kl, vgl. gr. dicit x

et scandalizatur aliquando, etsi non facile,

ὡς μαρτυρεῖ καὶ ὁ Ἰεζεκιὴλ λέγων τὸν δίκαιον ἀφίστασθαι δύνασθαι τῶν ἐντολῶν τοῦ θεοῦ. ὡς μὴ λογισθῆναι αὐτῷ τὴν προτέραν δικαιοσύνην. διὰ τοῦτο λέγεται· »ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων« καὶ τὸ οὐκ ἔστι θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων.

sicut testatur Ezechiel dicens etiam iustum a mandatis dei posse recedere, ita ut non inputetur ei iustitia prior. propterea dicit: »si quis scandalizaverit unum de pusillis istis«, et quia *non est voluntas patris mei*

ut pereat unus de pusillis istis.

qualis autem expositio sit verior, et tu sicut potueris iudicabis. post hanc parabolam sequitur

τὰ δὲ περὶ τῶν ἑκατὸν προβάτων

ἔχεις εἰς τὰς κατὰ Λουκᾶν ὁμιλίας.

de ovibus centum et una ex eis errata pariter et inventa. hanc sicut potuimus tractavimus, exponentes evangelium quod est secundum Lucam, quoniam et ille memor fuit parabolae huius. ne ergo repetere videamur, hic praetermittentes transmittimus ad expositionem evangelii secundum Lucam omnem volentem cognoscere, quid senserimus in ista parabola.

30. *Ἐὰν ⟨δὲ⟩ ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου* (18. 15[—18]).

30. *Si autem peccaverit frater tuus, vade et corripe eum inter te et ipsum solum.*

3ff Vgl. Ez. 33, 13 — **7** Matth. 18, 6 — **16** Vgl. Matth. 18, 12f

16—24 *τὰ—ὁμιλίας*] „mageres und dazu falsches Exzerpt des Originals“ Koe **16** *δὲ* < M **28** ⟨*δὲ*⟩ Koe. vgl. lat.

18/19 exponentes] lat. denkt nach Koe mit Recht an den Lukaskommentar, während gr. dafür die ihm allein bekannten Homilien zum Lukas setze **28** si autem] VI. secundum matheum. In illo tempore dixit ihs petro: si L | peccaverit] + in te L

si te audierit, lucratus es fratrem tuum. si autem non audierit, adhibe tecum adhuc unum vel duos. ut in ore duorum vel 5 *trium testium stet omne verbum. quodsi non audierit eos, dic ecclesiae. si autem ecclesiam non audierit. sit tibi sicut ethnicus et publicanus.*

10 Videamus ne forte sententia haec non de quocumque peccato posita sit. quodsi aliquis qui nominatur frater, peccaverit aliquid eorum peccatorum quae sunt ad mor- 15 tem, utputa masculorum concubitor est factus aut est adulter aut homicida aut mollis, numquid et istum talem sicut aliquem modica peccantem rationis est arguere so- 20 lus ad solum, et siquidem audierit qui talia illa peccavit, statim eum dicere lucrifactum, et si non audierit, non prius eum expelli de ecclesia, nisi postquam et coram 25 testibus argutus et ab ecclesia perstiterit in actu priori?

Ὁ μὲν ἐπερεισάμενος τῇ λέξει ⟨καὶ τὴν⟩ ὑπερβάλλουσαν τοῦ Ἰησοῦ φιλ- 30 ανθρωπίαν παριστὰς φήσει ὅτι, τῶν ῥητῶν διαφορὰν ἁμαρτημάτων οὐχ ὑποβαλλόντων, περισσὸν ποιήσουσι καὶ παρὰ τὴν χρηστότητα τοῦ Ἰησοῦ

non autem ignoramus, quoniam sequens alius verba et aspiciens ad inmensam misericordiam Christi dicere potest, quoniam cum verba ipsa Christi nullam differentiam faciant peccatorum. superfluum faciunt et contra Christi miseri-

12f Vgl. I. Kor. 5, 11 — 14f Vgl. I. Joh. 5, 16 — 15ff Vgl. I. Kor. 6, 9

28/29 ⟨καὶ τὴν⟩ Kl, vgl. lat. 29/30 φιλανθρωπίαν τοῦ Ἰησοῦ H 31 ῥητῶν ⟨αὐτῶν τοῦ Ἰησοῦ⟩ Koe, vgl. lat.

8/9 publicanus + Omelia Origenis de eadem lectione L 15/16 concubitor—est[2]] concubitores · factus autem G L 19/20 solus] l. ⟨ut dicat aliquis⟩ solus Koe 24 postquam] priusquam L

οἱ προσυπακούοντες ἐπὶ τῶν ἐλαττόνων ⟨μόνων⟩ ἁμαρτημάτων ταῦτα χώραν ἔχειν λέγεσθαι.

ἄλλος δέ τις καὶ τῇ λέξει ἐπερειδόμενος καὶ μὴ ἔξωθεν προσυπακούειν θέλων ταῦτα μὴ περὶ παντὸς ἁμαρτήματος λέγεσθαι φήσει, ὅτι ὁ τὰ μεγάλα ἐκεῖνα ἁμαρτάνων οὐδὲ ἀδελφός ἐστιν, ἀλλ' (εἰ ἄρα) ἀδελφὸς ὀνομαζόμενος.

ὥς φησιν ὁ ἀπόστολος· »ἐὰν [δέ] τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης (καὶ τὰ ἑξῆς) τῷ τοιούτῳ μηδὲ συνεσθίειν«. οὐδεὶς γὰρ εἰδωλολάτρης ἀδελφὸς οὐδὲ πόρνος οὐδὲ πλεονέκτης· εἰ γὰρ ἔχει τι τούτων, δοκῶν φορεῖν τὸ Χριστοῦ ὄνομα »ἀδελφὸς ὀνομαζόμενος« ἀλλ' οὐκ ἀδελφὸς ἐνδίκως ἂν λέγοιτο. ὥσπερ οὖν φαντασίᾳ τῆς εἰς ὑπερβολὴν ⟨χρηστότητος⟩ Χριστοῦ ἐπιτριβῆς ἀφορμὰς παρεῖχεν ὁ ἐπὶ παντὸς ἁμαρτήματος

cordiam, qui haec ad minima tantum peccata pertinere distinguunt.
sed eum qui taliter sentit, non arbitror ad utilitatem communem ista sentire.
alius autem ipsa verba caute considerans et nihil extrinsecus subaudire volens, non de omni peccato haec dicta defendet, quoniam qui grandia illa peccat, nec est frater, nisi forte nominetur frater.

differentia enim est inter fratrem et eum qui nominatur frater. et quoniam distant a se.
propterea dicit apostolus: »si quis frater nominatur in vobis, sit autem fornicarius aut avarus aut idolorum cultor (et cetera) cum talibus nec cibum sumere«. nemo enim idolorum cultor aut fornicator aut avarus frater est, et *** quamvis nomen baiulet Christi et frater nominetur, non autem et proprie frater est. sicut ergo aestimatione eminentis misericordiae Christi neglegentibus peccandi occasionem dat, qui ad omne pecca-

17. 24 I. Kor. 5, 11

2 ⟨μόνων⟩ Kl, vgl. lat. 9 μὴ Elt μήτε M H 11 ὁ < H 12 ἐστι H 17 [δὲ] Koe, vgl. lat. 18 ᾖ λ, vgl. lat. ἢ M H 21 οὐδεὶς γὰρ] οὐδὲ M 23 ἔχειν τι τούτων ὁ δοκῶν φορεῖ Koe 27/28 τῆς und ⟨χρηστότητος⟩ Kl, vgl. lat. τοῦ M H 28 ἐπιτριβῆς ist nicht zu ändern (gegen Hu), vgl. Orig. c. Cels. IV, 70 (I, 339, 23) 29 παρεῖχεν] + neglegentibus lat.

2 peccata y* < L 10 defendit B L 12 nominatur G 16 a] inter B 23 *** Diehl Kl Koe, vgl. gr. 24 et] tamen G L 25 nominatur R G 26 ergo < G[a] igitur G[c]

λέγων τὰ τοιαῦτα | εἰρῆσθαι,	tum generaliter haec pertinere exponit. 611
κἂν φόνος ᾖ τὸ ἁμάρτημα ἢ φαρμα- κία ἢ παιδοφθορία ἤ τι τῶν τηλι- 5 κούτων,	
οὕτως ἐκ τοῦ ἐναντίου ὁ τὸν ἀδελφὸν διαστειλάμενος ἀπὸ τοῦ ὀνομαζο- μένου ἀδελφοῦ	sic econtra qui ⟨fratrem distin- guens a nominato fratre⟩
διδάξαι ἂν τὸν ἐπ' ἐλάττοσι τῶν 10 ἀνθρωπίνων ἁμαρτημάτων μὴ ἐπι- στρέφοντα μετὰ τὸν ἔλεγχον	docet in minimis ex humanis peccatis peccantem etiam post arguitionem
	testium vel ecclesiae
ὡς ἐθνικὸν καὶ τελώνην λογισθῆναι ἐπὶ ἁμαρτήμασι τοῖς »μὴ πρὸς θάνα- 15 τον« ἢ (ὡς ὠνόμασεν ἐν Ἀριθμοῖς ὁ νόμος) τοῖς μὴ θανατηφόροις·. ὅπερ δόξαι ἂν ὠμότερον τυγχάνειν. οὐ γὰρ οἶμαι ταχέως εὑρεθήσεσθαί τινα	fieri oportere sicut publicanum et ethnicum in peccatis, quae non sunt »ad mortem«, aut (sicut lex appellat in Numeris) non morti- feris, aliquid crudelitatis videtur inducere. nec enim aestimo cito aliquem inveniri in ecclesia,
20 τὸν μὴ τρὶς ἐπὶ τῷ αὐτῷ εἴδει τῆς ἁμαρτίας ἐλεγχθέντα, φέρ' εἰπεῖν λοιδορίᾳ (καθ' ἣν οἱ λοιδοροῦντες δυσφημοῦσι τοὺς πέλας) ἤτοι φυ- σιώσει ἢ πολυποσίᾳ ἢ λόγῳ ψευδεῖ 25 καὶ ἀργῷ, ἤ τινι	qui non iam ter in eadem culpa ar- guitus sit, utputa in detractione (qua invicem homines detrahunt proximis suis) aut in inflatione aut in epulatione aut in verbo mendaci vel otioso aut in tali ali- qua culpa levi,
	quae etiam in illis, qui videntur proficere in ecclesia,
τῶν ἐν τοῖς πολλοῖς.	frequenter inveniuntur.
30 Ζητήσεις οὖν, μήποτε λανθά- νει τις κατὰ τὸν τόπον τήρησις καὶ	Considera ergo, ne forte et illos, qui aestimatione inmensae

14 I. Joh. 5, 16 — 15 Vgl. Num. 18, 22

3/4 φθαρμακεία M^{a} 9 τὸν < H | ἐπὶ H 10/11 ἐπιστρέψαντα H 15 ἐπ' ἀριθμοῖς M 18 τινα + *in ecclesia* lat., vgl. auch Z. 28 20 μὴ + *iam* lat. 23/24 ἤτοι φυσιώσει Kl nach Koe, vgl. lat. und II. Kor. 12, 20 οἵ τε θυμούμενοι M H

6—7 ⟨fratrem—fratre⟩ Kl, vgl. gr. 9 ex Diehl, vgl. gr. et x 10 etiam] et G L 20/21 argutus G L Pasch 21 utputa + et B 23 in < ϱ 25 mendaci Elt mendacii x 27—29 quae—inveniuntur] Hinweis auf die Erfahrungen des Origenes in Alexandria Koe

τοὺς φαντασίᾳ τῆς τοῦ λόγου χρη-
στότητος καὶ πρὸς τοὺς τὰ μέγιστα
ἡμαρτηκότας τὸ συγγνωμονικὸν δι-
δόντας, καὶ τοὺς ἐπὶ τοῖς ἐλαχίστοις
5 διδάσκοντας λογίζεσθαι ⟨καὶ διὰ τοῦ-
το εὐθέως⟩ ὡς ἐθνικὸν καὶ τελώνην
τὸν μετὰ ⟨τὸ ἐλεγχθῆναι δὶς ἢ⟩ τρὶς
τὰ βραχύτερα ἡμαρτηκότα

10 ἀλλότριον ποιοῦντας τῆς ἐκκλησίας.
τὸ δὲ λανθάνον ἑκατέρους τοιοῦτόν
μοι φαίνεται· τὸ ἐκέρδησας τὸν
ἀδελφόν σου ἐπὶ τοῦ μόνου ἀκού-
σαντος τάξας ὁ λόγος, οὐκέτι αὐτὸ
15 ἔθηκεν ἐπὶ τοῦ δεύτερον ἢ τρίτον
πταίσαντος καὶ ἐλεγχθέντος. ἀλλ'
ὡσπερεὶ μετέωρον εἴασε τὸ ἀνά-
λογον τῷ ἐκέρδησας τὸν ἀδελ-
φόν σου λεχθησόμενον περὶ τοῦ
20 δεύτερον ἢ τρίτον ἐλεγχθέντος. οὐ
πάντως οὖν κερδαίνεται οὐδὲ πάντως
ἀπολεῖται ἢ πληγὰς λήψεται. καὶ
πρόσχες ἐπιμελῶς τῷ πρώτῳ μὲν
λέγοντι· ἐάν σου ἀκούσῃ, ἐκέρ-
25 δησας τὸν ἀδελφόν σου· τῷ δὲ
δευτέρῳ κατὰ τὴν λέξιν τόπῳ φάσ-
κοντι· ἐὰν δὲ μὴ ἀκούσῃ, πα-
ράλαβε μετὰ σεαυτοῦ ἕνα ἢ
δύο, ἵνα ἐπὶ στόματος δύο ἢ
30 τριῶν μαρτύρων σταθήσεται
πᾶν ῥῆμα.
τί οὖν μετὰ τὸ σταθῆναι πᾶν
ῥῆμα ἐπὶ δύο ἢ τριῶν μαρτύ-
ρων ἔσται τῷ τὸ δεύτερον νουθε-
35 τηθέντι, ἡμῖν ἐννοεῖν καταλέλοιπε.
καὶ πάλιν ἐὰν παρακούσῃ αὐ-

misericordiae Christi etiam ad
peccata maiora haec pertinere
interpretantur, praeterit intellec-
tus loci, et istos, qui haec ad mini-
ma peccata adserunt pertinere et
propterea peccatorem minimo-
rum peccatorum (nisi bis vel ter
arguitus emendaverit se) statim
sicut ethnicum et publicanum
fieri arbitrantur.

quid ergo?

1 λόγου + *inmensae* lat., vgl. S. 262, 29f 5 ⟨καὶ—εὐθέως⟩ Kl, vgl. lat. 7 ⟨τὸ—ἢ⟩ Kl, vgl. lat. 28 σεαυτοῦ + ⟨ἔτι⟩ λ 34 τῷ < H

3/4 praeterit—loci < B 5 pertinere] + praetereat intellectus loci huius B 7 vel] aut G 8 argutus B L

τῶν, δῆλον δ' ὅτι τῶν παραληφθέντων μαρτύρων, εἰπὸν (φησὶ) τῇ ἐκκλησίᾳ· καὶ οὐκ εἶπε τί πείσεται, ἐὰν μὴ ἀκούσῃ τῆς ἐκκλησίας, 5 ἀλλ' ἐδίδαξεν ὅτι ἐὰν τῆς ἐκκλησίας παρακούσῃ,

δεῖ αὐτὸν εἶναι τῷ τρὶς νουθετήσαντι καὶ μὴ ἀκουσθέντι πρὸς | τὸ λοιπὸν ὡς τὸν ἐθνικὸν καὶ τὸν τελώνην. οὐ πάν- 10 τως οὖν κερδαίνεται οὐδὲ πάντως ἀπολεῖται. ἀλλ' ὅ τί ποτε πείσεται ὁ τὸ πρότερον μὲν μὴ ἀκούσας μαρτύρων δὲ δεηθείς, ἢ καὶ ὁ τούτων παρακούσας ἐπὶ τὴν ἐκκλησίαν 15 δὲ ἀχθείς, ὁ θεὸς ἂν εἰδείη. ἡμεῖς γὰρ οὐκ ἀποφαινόμεθα κατὰ τὸ »μὴ κρίνετε, ἵνα μὴ κριθῆτε« ⟨καὶ τὸ »μὴ πρὸ καιροῦ τι κρίνετε⟩, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ 20 κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν«.

Πρὸς δὲ τὸ δοκοῦν σκληρὸν πρὸς τοὺς τὰ ἐλάττονα ἡμαρτηκότας εἴποι τις ἂν ὅτι οὐκ ἔξεστι, δὶς ἑξῆς μὴ 25 ἀκούσαντα τὸ τρίτον ἀκοῦσαι,

ὡς διὰ τοῦτο μηκέτι εἶναι ὡς ἐθνικὸν καὶ τελώνην καὶ μηκέτι δεηθῆναι τοῦ ἐπὶ πάσης τῆς ἐκκλησίας ἐλέγχου· δεῖ γὰρ μεμνῆσθαι τοῦ »οὕτως οὐκ 30 ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων«. καὶ

is qui ter arguitus quasi *ethnicus et publicanus* factus fuerit arguenti, (612) utrum omnino ⟨lucrifaciat aut omnino⟩ pereat aut aliquid patiatur,

deus scit. nos autem pronuntiare non possumus secundum quod scriptum est: »nolite iudicare, ut non iudicemini«. item: »nolite ante tempus quid iudicare, donec veniat dominus, qui inluminabit occulta tenebrarum et manifestabit consilia cordium«.

Primum quidem, quoniam licet ei, qui ter arguitus non obaudivit, in quarto audire,

ut iam non sit *sicut ethnicus et publicanus*.

memores enim esse debemus eius quod dictum est: »sic non est voluntas patris mei, ut unus ex minimis istis pereat«: si enim »oportet

17 Matth. 7, 1 — 18 I. Kor. 4, 5 — 32 Matth. 18, 14

11 ἀπολεῖτε H 17/18 ⟨καὶ—κρίνετε⟩ Kl nach Hu, vgl. lat. 25 Diehl vermutet eine Lücke, vgl. lat. *in quarto audire* 27 καὶ Koe ἢ MH 29 δεῖ] χρὴ H

7, 24 argutus B L 9—10 ⟨lucrifaciat aut omnino⟩ Diehl, vgl. gr. 23—25 lat. entspricht schlecht gr. 22—25; ist *ter* und *in quarto* ungenau übersetzt (so Koe)?

γὰρ εἶπεν δεῖ »τοὺς πάντας ἡμᾶς
παραστῆναι »ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται
ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς
5 ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον«,
χρὴ ὅση δύναμις τὰ παρ' αὐτὸν ποιεῖν, ἵνα μὴ περὶ πλειόνων κομίσηται
φαύλων διὰ τοῦ σώματος πεπραγμένων. κἂν μέλλῃ περὶ πάντων ὧν
10 ἐποίησε χειρόνων ἀπολαμβάνειν· φιλοτιμητέον δὲ περὶ πλειόνων εὐποιιῶν μισθὸν κομίσασθαι,

nos omnes praesentari ante tribunal Christi, ut reportet unusquisque propria corporis prout gessit, sive bonum sive malum«,

ἐπεὶ »ᾧ μέτρῳ« μετροῦμεν, »ἀντιμετρηθήσεται« ἡμῖν καὶ
15 »κατὰ τὰ ἔργα τῶν χειρῶν ἡμῶν συμβήσεται« ἡμῖν. καὶ οὐκ ἀπειροπλάσια μέν, ἤτοι δὲ διπλάσια ἢ ἑπταπλάσια λήψονται οἱ ἡμαρτηκότες ἐκ
χειρὸς κυρίου τὰ ἁμαρτήματα. ⟨ἔστι
20 δὲ⟩ ὅταν μὴ [καὶ] »κατὰ τὰ ἔργα τῶν χειρῶν« τινι ἀποδιδῶται, ἀλλὰ πλείονα
ὧν πεποίηκεν· Ἱερουσαλὴμ μὲν γάρ,
ὡς ὁ Ἡσαΐας ἐδίδαξεν, »ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα
25 αὐτῆς«, οἱ δὲ γείτονες τοῦ Ἰσραὴλ (οἵτινές ποτ' ἂν ὦσιν) ἑπταπλάσια
λήψονται κατὰ τὸ ἐν Ψαλμοῖς οὕτως εἰρημένον· »ἀπόδος τοῖς γείτοσιν
ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον
30 αὐτῶν,
τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε, κύριε«.

deinde quia scriptum est: »secundum opera manuum vestrarum continget vobis«. et non multipliciter, ⟨sed⟩ aut dupliciter aut septempliciter recipient de manu domini ⟨peccata⟩ peccatores. aliquando autem non »secundum opera manuum« hominis redditur ei, sed amplius quam peccavit: »Hierusalem« enim (sicut docuit Esaias) »duplicia recepit de manu domini sua peccata«, vicini autem Israel (quicumque sunt illi) septuplum recipient, secundum quod ait in Psalmo: »redde vicinis nostris septuplum in sinibus eorum«.

καὶ ἄλλοι ἂν εὑρεθεῖεν τρόποι τῆς ἀνταποδόσεως, οὓς ἐὰν νοῶμεν, εἰ-
35 σόμεθα ὅτι λυσιτελεῖ

et alii inveniuntur redditionis modi, quos si intellegamus, sciemus quoniam expedit

1 ff II. Kor. 5, 10; vgl. o. S. 135, 20 ff — 13 Vgl. Matth. 7, 2 — 15 Jes. 3, 11 — 23 Jes. 40, 2 — 28 Psal. 78, 12

6 αὐτῶν M 11 εὐποριῶν M 19/20 ⟨ἔστι δὲ⟩ ὅταν μὴ [καὶ] Kl, vgl. lat. 21 ἀποδίδωται M H

17 ⟨sed⟩ Koe, vgl. gr. 19 ⟨peccata⟩ Diehl Kl Koe, vgl. gr. 27 recipient Koe, vgl. Z. 18 und gr. recipiunt x

μεθ' ὁποσαοῦν ἁμαρτήματα μετανοεῖν, ἵνα πρὸς | τῷ μὴ περὶ πλειόνων κολάζεσθαι ἡμᾶς καὶ περὶ ἀγαθῶν ἐλπίς τις ἡμῖν ὕστερόν ποτε τῶν πεπραγμένων ἀπολειφθῇ, κἂν πρὸ αὐτῶν μυρία ὅσα ἐπταισμένα τινὶ ᾖ· ἄτοπον γὰρ τὰ μὲν χείρονα λογισθῆναί τινι τὰ δὲ μετὰ τὰ χείρονα κρείττονα μηδὲν ὠφελεῖν, ἅπερ καὶ ἀπὸ τοῦ Ἰεζεκιὴλ τοῖς ἐπιμελῶς τηροῦσι τὰ περὶ τῶν τοιούτων ῥητὰ ἔστι μαθεῖν.

recipere in hoc mundo.

613

novissime autem quia non puriter dixit: *sit sicut ethnicus et publicanus*, sed ita: *sit tibi.* qui ergo in peccato levi correptus ter (secundum quod diximus) non se emendat, nos quidem sic eum debemus habere quasi publicanum et ethnicum, abstinentes ab eo ut confundatur. an autem etiam a deo quasi *publicanus et ethnicus* iudicetur, non est nostrum pronuntiare, sed est in iudicio dei.

31. *Καλῶς δέ μοι δοκεῖ συνῆφθαι τῷ μετὰ τὸ τρὶς νενουθετῆσθαι κριθέντι εἶναι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης τὸ ἀμὴν λέγω ὑμῖν (δηλονότι τοῖς κρίνασιν εἶναί τινα ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης). ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς καὶ τὰ ἑξῆς.*

31. Convenienter autem adiunxit post tres arguitiones facto aliquo sicut publicano et ethnico: *quaecumque ligaveritis super terram, erunt ligata et in caelo. et quae-*

10 Vgl. Ez. 33 — 16 ff S. 266, 23; vgl. auch S. 265, 6 f. 10

4 ποτε ὕστερον H

13 puriter] pariter G 14 sit < G L 18 emendaverit B 27 arguitiones B

	cumque solveritis super terram, erunt soluta et in caelo.
δικαίως γὰρ ἔδησεν ὁ τρὶς νουθετή-σας καὶ μὴ ἀκουσθεὶς τὸν κριθέντα 5 εἶναι ὡς ἐθνικὸν καὶ τελώνην. διό-περ ὁ τοιοῦτος δεδεμένος καὶ δεδι-κασμένος ὑπὸ τοῦ τοιουδὶ μένει δε-δεμένος, οὐδενὸς τῶν ἐν οὐρανῷ ἀναλύοντος τοῦ δεδεκότος αὐτὸν τὴν 10 ψῆφον.	iuste enim ligavit, qui ter arguit et non est auditus, eum, qui factus est sicut *publicanus et ethnicus.* propterea ille talis alligatus et condemnatus alligatus est apud omnes, qui sunt in caelo.
οὕτω δὲ καὶ ὁ ἅπαξ νουθετηθεὶς ἄξια ποιήσας τοῦ κερδηθῆναι,	ita et si arguitus ⟨semel⟩ emendaverit se.
λυθεὶς διὰ τῆς νουθεσίας ⟨τοῦ⟩ κερ-δήσαντος αὐτὸν	
15 καὶ μηκέτι »σειραῖς τῶν ἁμαρτιῶν« ἑαυτοῦ περὶ ὧν ἐνουθετήθη δεδε-μένος, λελυμένος κριθήσεται ⟨δικαίως καὶ⟩ ὑπὸ τῶν ἐν οὐρανοῖς. πλὴν τὰ ἐν τοῖς ἀνωτέρω μόνῳ τῷ Πέτρῳ δεδο-20 μένα ἔοικε δηλοῦσθαι δεδωκέναι πᾶσι τοῖς τὰς τρεῖς νουθεσίας προσαγαγοῦ-σι πᾶσι τοῖς ἡμαρτηκόσιν, ἵν', ἐὰν μὴ ἀκουσθῶσιν, δήσωσιν ἐπὶ γῆς τὸν κριθέντα εἶναι ὡς ἐθνικὸν καὶ τελώ-25 νην	ut iam »funiculis peccatorum« suorum non sit ligatus, iuste solutus est etiam ab eis, qui sunt in caelo. tamen et illa, quae superius soli Petro sunt data, videntur etiam istis omnibus data, qui ter peccantes arguerint, si auditi non fuerint et alligaverint *super terram* iudicantes peccatorem sicut publicanum et ethnicum.
ὡς δεδεμένου τοῦ τοιούτου ἐν τῷ οὐρανῷ.	
ἀλλ' ἐπεὶ ἐχρῆν,	sed quoniam oportebat
εἰ καὶ κοινόν τι ἐπὶ τοῦ Πέτρου καὶ 30 τῶν νουθετησάντων τρὶς τοὺς ἀδελ-φοὺς λέλεκται,	
ἐξαίρετόν ⟨τι⟩ ἔχειν τὸν Πέτρον παρὰ τοὺς τρὶς νουθετήσαντας, ἰδίᾳ	aliquid maius habere Petrum prae illis qui ter arguerunt, ideo illi

15 Vgl. Prov. 5, 22 — 18f Vgl. Matth. 16, 18f

9 δεδωκότος Mᵃ Hᵃ, corr. Mᶜ Hᶜ 11 νουθετηθεὶς] + ⟨καὶ⟩ ? Kl 13 ⟨τοῦ⟩ Kl 16 αὐτοῦ M 17f ⟨δικαίως καὶ⟩ Kl mit Diehl Koe, vgl. lat. 20 δεδωκέναι] ergänze Ἰησοῦν ? 22 ἵνα M 23 ἀκουσθῶσι H 32 ⟨τι⟩ Koe, vgl. lat.

6 alligatus est L 7 alligatus Pasch < x 11 argutus B L ¦ ⟨semel⟩ Diehl, vgl. gr. 19/20 data —data Kl nach Pasch, vgl. gr. dicta —dicta x 33 arguerunt y* arguerant L ¦ illic y

τοῦτο προτέτακται ἐπὶ τοῦ Πέτρου τὸ »δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν⟨, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς 5 *οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς«⟩*

τοῦ καὶ ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς καὶ τὰ ἑξῆς. καίτοιγε εἰ 10 *ἐπιμελῶς προσέχομεν τοῖς εὐαγγελικοῖς γράμμασι, καὶ ἐν τούτοις εὕροιμεν ἂν καὶ κατὰ ταῦτα, τὰ δοκοῦντα εἶναι κοινὰ πρὸς τὸν Πέτρον καὶ τοὺς τρὶς νουθετήσαντας τοὺς* 15 *ἀδελφούς, πολλὴν | διαφορὰν καὶ ὑπεροχὴν ἐκ τῶν πρὸς τὸν Πέτρον εἰρημένων παρὰ τοὺς δευτέρους.* (614) *οὐ γὰρ ὀλίγη διαφορὰ τὸν Πέτρον εἰληφέναι τὰς »κλεῖδας« οὐχ ἑνὸς οὐ-* 20 *ρανοῦ ἀλλὰ πλειόνων, [καὶ] ἵνα, ὅσα ἐὰν δήσῃ »ἐπὶ τῆς γῆς«, ᾖ δεδεμένα οὐκ ἐν ἑνὶ ⟨μόνον⟩ οὐρανῷ ἀλλ' ἐν πᾶσιν οὐρανοῖς,*

25

πρὸς τοὺς πολλοὺς ⟨δὲ ὄντας⟩ δέοντας ἐπὶ τῆς γῆς καὶ λύοντας ἐπὶ 30 *τῆς γῆς ⟨οὕτω λέγεσθαι⟩. ὥστε ταῦτα δεδέσθαι καὶ λελύσθαι οὐκ ἐν »οὐρανοῖς«, ὡς ἐπὶ Πέτρου, ἀλλ' ἐν*

quidem sic dicit: »et tibi dabo claves regni caelorum.
et quaecumque solveris super terram, erunt soluta et in caelis, et quaecumque ligaveris super terram, erunt ligata et in caelis«.

non ergo modica differentia est, quod Petro quidem datae sunt »claves« non unius caeli, sed multorum »caelorum«, ut quaecumque ligaverit »super terram«, sint ligata non tantum in uno caelo, sed in omnibus »caelis«,
et quae solverit »super terram«, sint soluta non solum in uno caelo, sed in omnibus »caelis«.
ad eos autem qui multi sunt ligatores et solutores *in terra* sic dicit, ut solvant et alligent, non in »caelis« sicut Petrus, sed *in caelo* uno, quia non sunt in tanta

2 Matth. 16, 19 — 18ff Vgl. Matth. 16, 19

1 *προτέτακται*] *πέπρακται* M 2 *τὸ*] *τοῦ* M | *δώσωσι τὰς* H 3—6 ⟨*καὶ — οὐρανοῖς*⟩ Kl, nach lat. 17 *λεγομένων* M 19 *οὐχ ἑνὸς*] *τῆς βασιλείας τοῦ* M 20 [*καὶ*] Koe, vgl. lat. 22 ⟨*μόνον*⟩ Koe, vgl. lat. 23 *πᾶσι* M | *οὐρανοῖς* Diehl Koe, vgl. lat. *αὐτοῖς* M H 28 ⟨*δὲ ὄντας*⟩ Kl, vgl. lat. 30 ⟨*οὕτω λέγεσθαι*⟩ Kl, vgl. lat.

2 dicit x* dixit ρ 27 omnibus Pasch < x 32 uno caelo L

οὐρανῷ ἑνί· οὐ γὰρ διαβαίνουσι τῇ δυνάμει, ὡς Πέτρος, ἵνα δήσωσιν ἢ λύσωσιν ἐν πᾶσιν »οὐρανοῖς«. ὅσῳ οὖν βελτίων ὁ δεσμεύων, ⟨τοσοῦτον 5 ὁ δεδεμένος πλεῖον ἢ ἐν ἑνὶ οὐρανῷ δέδεται, καὶ ὅσῳ βελτίων ὁ λύων⟩ τοσοῦτον μακαριώτερος ὁ λελυμένος, ὡς πανταχοῦ τῶν οὐρανῶν εἶναι αὐτοῦ τὸ λελύσθαι.

perfectione sicut Petrus, ut alligent vel solvant in omnibus »caelis«. quanto ergo melior fuerit qui ligat, tanto qui alligatur amplius quam in uno caelo alligatur; et quanto melior fuerit qui solvit, tanto beatior erit qui solvitur, quoniam in omnibus solutus est caelis.

10 ⟨Ὠριγένους ἐκ τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν⟩ τόμος ιδ'.

1. *Πάλιν λέγω ὑμῖν ὅτι ἐὰν* 15 *δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενη[θή]σεται αὐτοῖς* (18. 19 [20]).

1. *Iterum amen dico vobis, quia si duo vestrum consenserint super terram, de omni re, quamcumque petierint, fiet illis*

20 *a patre meo qui in caelis est. ubi enim duo vel tres congregati fuerint in nomine meo, ibi sum in medio eorum.*

Κυρίως τὸ τῆς συμφωνίας ὄνομα τάσσεται ἐπὶ τῶν κατὰ μουσικὴν ἐν 25 φωναῖς ἁρμονιῶν· καὶ εἰσί γε παρὰ τοῖς μουσικοῖς φθόγγοι φθόγγοις σύμφωνοι καὶ ἄλλοι διάφωνοι. οἶδε δὲ καὶ ἡ εὐαγγελικὴ γραφὴ τὸ ὄνομα ἐπὶ τῶν κατὰ μουσικὴν τεταγμένον 30 ἐν τῷ »ἤκουσε συμφωνίας καὶ χο-

23 ff Vgl. Harnack TU. 42, 4, 99 — **23—30** Vgl. C[luc] Nr. 41 Or. **25—272, 18** Vgl. C[v] Nr. 20 Or. — **30** Luc. 15, 25

4 ff ⟨τοσοῦτον—λύων⟩ Kl, vgl. lat. **8** ὡς] l. τῷ Koe + καὶ H **14** πάλιν + *amen* lat. **17/18** γενήσεται Kl Koe, vgl. S. 276, 26 **28** δὲ] γὰρ M | γραφὴ] φωνὴ M **29** τεταγμένων M[a]

4 tanto] tantum G L **15** convenerint B **17** illis] eis B **20** fuerint congregati L

ρῶν«. ἔπρεπε γὰρ ἐπὶ τῇ ἐκ μετα-
νοίας συμφωνίᾳ πρὸς τὸν πατέρα
τοῦ ἀπὸ ἀπωλείας εὑρεθέντος υἱοῦ
ἀκουσθῆναι συμφωνίαν ἐπὶ τῇ εὐ-
5 φροσύνῃ τῆς οἰκίας. τὸ δὲ τῆς συμ-
φωνίας ὄνομα ὁ φαῦλος οὐκ οἶδε Λά-
βαν, ἐν οἷς φησι πρὸς τὸν Ἰακώβ·
»καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα
ἄν σε μετ' | εὐφροσύνης καὶ μετὰ 615
10 μουσικῶν καὶ τυμπάνων καὶ κιθά-
ρας«. ἀδελφὸν δὲ τῆς τοιαύτης συμ-
φωνίας τὸ ἐν τῇ δευτέρᾳ τῶν Βασι-
λειῶν γεγραμμένον, ἡνίκα »οἱ ἀδελ-
φοὶ« τοῦ Ἀμιναδὰβ »ἐπορεύοντο ἔμ-
15 προσθεν τῆς κιβωτοῦ, καὶ Δαυὶδ καὶ
υἱοὶ Ἰσραὴλ παίζοντες ἐνώπιον κυ-
ρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν
ἰσχύϊ καὶ ᾠδαῖς«· τὰ γὰρ ἡρμοσμένα
ὄργανα »ἐν ἰσχύϊ καὶ ᾠδαῖς« εἶχεν
20 ἐν ἑαυτοῖς τὴν μουσικὴν συμφωνίαν,
ἥτις τοσοῦτον δύναται, ὡς δύο μό-
νων μετὰ τῆς πρὸς τὴν θείαν μουσι-
κὴν καὶ πνευματικὴν συμφωνίας αἴ-
τησιν προσαγόντων τῷ ἐν τοῖς οὐρα-
25 νοῖς πατρὶ περὶ οὑτινοσοῦν, τὸν πα-
τέρα διδόναι τὰ αἰτήματα τοῖς μετὰ
τοῦ συμφωνεῖν ἐπὶ γῆς (ὅπερ ἐστὶ
παραδοξότατον) αἰτήσασιν, ἅπερ αἰ-
τήσαιεν ἂν οἱ τὴν εἰρημένην συμ-
30 φωνίαν συμφωνήσαντες. οὕτως ἐγὼ
ἀκούω καὶ τοῦ ἀποστολικοῦ ῥητοῦ·
»μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι

4 Vgl. Luc. 15, 23 f. 32 — 8 Gen. 31, 27 — 13 II. Regn. 6, 4—5 — 32 I. Kor. 7, 5

14 ἀμιναδὰμ M 16 υἱοὶ Ἰσραὴλ] οἱ υἱοὶ H 20 αὐτοῖς M | συμφωνίαν (β) τὴν μουσικὴν (α) H 24 προσαγαγόντων M 25 ὁτινοσοῦν M

ἂν ἐκ συμφώνου πρὸς καιρὸν ἵνα
σχολάσητε τῇ προσευχῇ«. ἐπεὶ γὰρ
audendum est tamen et dicendum, quoniam tempus futuri iudicii non opus habebit spatio temporis, sed sicut resurrectio dicitur futura »in momento, in ictu oculi«, sic puto et iudicium fore.

10. Μετὰ ταῦτα λεκτέον εἰς τὸ *ἀρξαμένου δὲ αὐτοῦ συναίρειν λόγον, προσήχθη αὐτῷ εἷς ὀφειλέτης πολλῶν ταλάν-* 15 *των*.

10. Post haec dicamus quid est quod ait: *incipiente eo ponere rationem oblatus est ei debitor unus multorum talentorum.*

ὅπερ τοιοῦτόν μοι δοκεῖ ἔχειν νοῦν· ὁ μὲν »καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα« ἐστὶν ἀρχόμενος »ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ«, εἰπόντος (ὡς καὶ 20 ἐν τῷ Ἰεζεκιὴλ γέγραπται) τοῖς 〈ἀγγέλοις τοῖς〉 ἐπὶ τῶν κολάσεων τεταγμένοις· »ἀπὸ τῶν ἁγίων μου ἄρξασθε«, καὶ »ῥιπῇ ὀφθαλμοῦ« ἐοικώς ἐστιν.

initium iudicii est incipiens a domo dei, qui dixit (sicut scriptum est in Ezechiel) angelis qui constituti fuerant super poenas: »a sanctis meis incipite«. quod initium »ictui oculi« simile est, quoniam in ictu oculi omnium sanctorum acta considerans iudicat eos.

25

ὁ δὲ τοῦ συναίρειν λόγον τὴν ἀρχὴν ἔχει (ἐπινοίᾳ λαμβανομένην· οὐ γὰρ ἐπιλελήσμεθα τῶν προειρημένων) ἀπὸ τῶν ὀφειλόντων πλείονα· διόπερ 30 οὐ γέγραπται μὲν *συναίροντος δὲ αὐτοῦ λόγον*, εἴρηται δὲ *ἀρξαμένου δὲ αὐτοῦ συναίρειν*

sic et tempus ponendae rationis erit, quod concipitur mente. nec enim obliti sumus quae dicta sunt supra de debentibus plura, propter quod non quidem scriptum est: ponente autem *eo rationem*, sed ita: *incipiente autem*

1 Gen. 2, 4 — 8 I. Kor. 15, 52 — 17ff I. Petr. 4, 17 — 22 Ez. 9, 6 — 23 Vgl. I. Kor. 15, 52 — 28 Vgl. o. S. 290, 35f

9 ὀφθαλμοῦ Kl, vgl. lat. ὀφθαλμῶν M H 21 〈ἀγγέλοις τοῖς〉 Kl, vgl. lat. 23 ἄρξασθαι H 26 ἀρχὴν Elt αὐτὴν M H

4 *** Kl Koe 11 dicamus] incipiamus B[a] inspiciamus B[c] videamus L 26 lat. las schon wie M H αὐτὴν

προσηνέχθη (ἐν τῇ ἀρχῇ τοῦ
συναίρειν αὐτὸν λόγον) εἷς ὀφει-
λέτης πολλῶν ταλάντων ὡς
μυρία ὅσα ζημιωθεὶς καὶ μεγάλα
5 μὲν ἐγκεχειρισμένος καὶ πιστευθεὶς
πολλά, μηδὲν δὲ κέρδος προσαγα-
γὼν τῷ δεσπότῃ,
ἀλλὰ μυρία ὅσα ζημιωθείς,
ὥστε αὐτὸν ὀφείλειν πολλὰ τάλαντα.
10 καὶ τάχα διὰ τοῦτο πολλὰ ὤφειλε
τάλαντα, ἐπείπερ ἠκολούθησε πολ-
λάκις τῇ ἐπὶ τὸ τάλαντον τοῦ μολίβου
καθημένῃ γυναικί, ᾗ ὄνομα Ἀνομία.

15 νόει δὲ κατὰ τὸν τόπον
ἕκαστον μέγιστον ἁμάρτημα ταλάν-
των εἶναι ζημίαν οἰκοδεσποτικῶν,
καὶ τοιαῦτα ἁμαρτάνουσι πόρνοι,
μοιχοί, ἀρσενοκοῖται, μαλακοί, | εἰδω-
20 λολάτραι, φονεῖς. οὐδὲν οὖν τάχα
μικρὸν ἀλλὰ πάντα μεγάλα καὶ
χαλεπὰ ἥμαρτεν ὁ προσαχθεὶς τῷ
βασιλεῖ
εἷς ὀφειλέτης πολλῶν ταλάν-
25 των, ὅντινα εἰ μὲν ἐν ἀνθρώποις
ζητήσεις,
ἴσως ἂν
αὐτὸν εὕροις ὄντα τὸν ἄνθρωπον
»τῆς ἁμαρτίας«, τὸν υἱὸν »τῆς ἀπω-
30 λείας«, τὸν ἀντικείμενον καὶ ἐπαι-
ρόμενον »ἐπὶ πάντα θεὸν ἢ σέβασμα«·
εἰ δὲ ἔξω ἀνθρώπων, τίς ἂν εἴη οὗτος
ἢ ὁ διάβολος

ponere rationem oblatus est (in
principio ponendae rationis) *debi-
tor talentorum multorum,* qui milia
multa fecerat damna, et magna
quidem ei erant iniuncta, et
creditus multa nullum domino
adtulit lucrum,

ita ut *debitor* efficeretur *talen-
torum multorum.* et forsitan ideo
talentorum multorum factus est
debitor, quoniam ⟨saepe⟩ secutus
est mulierem super talentum
plumbi sedentem, cuius nomen
Iniquitas. intellege autem
unumquodque maximum pecca-
tum dici talentum damni domi-
nici, qualia peccant fornicatores,
adulteri, molles, masculorum con- 628
cubitores, idololatrae, homicidae,
sicut et iste nihil modicum sed
omnia magna et pessima pecca-
vit, qui *oblatus est regi.*

qui forsitan

12 Vgl. Zach. 5, 7 — **17ff** Vgl. I. Kor. 6, 9 — **28ff** Vgl. II. Thess. 2, 3f — **32ff** Vgl. Hieron. in Matth. 143 E: *scio quosdam istum, qui debebat decem milia talentorum, diabolum interpretari* etc.

20 φωνεῖς M **26** ζητήσαις Koe

3. 9f talentorum multorum ~ L **3** qui] lat. las ὅς st. ὡς **12** ⟨saepe⟩ Diehl Koe, vgl. gr. **17** talenti damnum? Diehl

τοσ⟨αῦτα τάλαντα ὅσους⟩ ἀνθρώπους ἀπολωλεκὼς δεξαμένους αὐτὸν ἐνεργοῦντα τὴν ἁμαρτίαν; »μέγα γὰρ ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων«. τίμιον ὡς ταλάντου εἶναι ἄξιον ἤτοι χρυσοῦ (ὁποία ἡ λυχνία ἡ ταλαντιαία ἦν ἡ ⟨ἐκ⟩ χρυσοῦ) ἢ ἀργύρου ἢ ὁποίας δήποτε νοητῶς παραλαμβανομένης ὕλης. ὧν σύμβολα ἐν τοῖς Λόγοις τῶν ἡμερῶν ἀναγέγραπται.

Δαυῒδ πλουτήσαντος πολλοῖς ταλάντοις ὧν καὶ ὁ ἀριθμὸς δέδεικται, ταλάντοις χρυσοῦ τοσοῖσδε καὶ ἀργύρου τοσοῖσδε καὶ τῆς λοιπῆς ὀνομαζομένης ἐκεῖ ὕλης, ἐξ ἧς κατεσκεύασται ὁ τοῦ θεοῦ νεώς.

tot talenta perdidit, quantos perdidit homines qui receperunt eum in se talia operantem peccata; »grande est enim homo et honorabile vir misericors«, et honorabile quasi talentum dignum sive aureum (qualis fuit lucerna illa talenti aurei) sive argenteum talentum aut cuiuslibet alterius metalli intellegibilis. quorum mysteria in Verbis dierum scripta habentur: sicut et David ditatus talentis multis, quorum et numerus est ostensus
in talentis aureis tantis et argenti tantis et reliquorum metallorum quae illic nominantur, ex quibus fabricatum est templum dei.

11. *Πλὴν μὴ ἔχων ἀποδοῦναι* τὰ τάλαντα (ἀπολωλέκει γὰρ ταῦτα) *ἔχει γυναῖκα καὶ τέκνα καὶ* ἄλλα περὶ ὧν γέγραπται· *πάντα ὅσα ἔχει*. καὶ ἦν δυνατὸν. πιπρασκόμενον αὐτὸν μετὰ τῶν ἰδίων εὐπορῆσαι, τοῦ ὠνησαμένου αὐτὸν καὶ πληρώσαντος διὰ τῆς τιμῆς αὐτοῦ καὶ τῶν αὐτοῦ πᾶν τὸ ὄφλημα· καὶ οἷόν τε ἦν αὐτὸν μηκέτι μὲν εἶναι δοῦλον τοῦ βασιλέως, γίνεσθαι δὲ τοῦ ὠνησαμένου. καὶ ἐπιδικάζεταί γε τοῦ μὴ πραθεὶς ἅμα τοῖς ἰδίοις μένειν ἐν τῇ τοῦ βασιλέως οἰκίᾳ·

11. *Et cum non haberet unde redderet, iussit eum vendi et uxorem eius et filios eius et omnia eius et reddi debitum.*

3 Prov. 20, 6 — 5 Vgl. Ex. 25, 39; 38. 17 — 14 Vgl. I. Paral. 22, 14

1 *τοσ⟨αῦτα—ἀνθρώπους* Kl nach Diehl *τοσούτους* M H (*ουτους* aus *ανους* verlesen) 2 *αὐτῶν* H[a] 6 *χρυσοῦ* Hu *χρόνου* M H | *λιχνία* H 7 *ἡ ⟨ἐκ⟩* Kl 13 *δέδεικται* Diehl, vgl. lat. *λέλεκται* M H 27 *τιμῆς* < M 30 *γενέσθαι* H

4 homo x* et hoc ϱ 19 dei < L

διὸ πεσὼν προσκυνεῖ αὐτῷ (θεὸν
ἐπιστάμενος τὸν βασιλέα) καὶ λέγει·
μακροθύμησον ἐπ' ἐμοί, καὶ
πάντα ἀποδώσω σοι· ἦν γὰρ
5 (εἰκὸς) καὶ δραστήριος, ὁρῶν ὅτι
δύναται ἐκ δευτέρων πράξεων ἀνα-
πληρῶσαι πᾶν τὸ ἐνδεὲς ἀπὸ τῆς προ-
τέρας ζημίας τῶν πολλῶν ταλάν-
των. καὶ ὁ ἀγαθός γε βασιλεὺς οὔ-
10 τος ἐσπλαγχνίσθη καὶ ἐπὶ τὸν ὀφει-
λέτην τῶν πολλῶν ταλάντων,
καὶ τότε μὲν ἀπέλυσεν αὐτόν,
πλεῖόν τι χαρισάμενος αὐτῷ ἧς
ἠξιώθη ἀξιώσεως. ὁ μὲν γὰρ ὀφει-
15 λέτης ἐπηγγείλατο μακροθυμήσαντι
τῷ δεσπότῃ ἀποδοῦναι ἅπαντα τὰ
ὀφειλήματα· ὁ δὲ σπλαγχνισθεὶς
ἐπ' αὐτῷ κύριος | (οὐκ ἐπὶ τῷ 629
ἀπολαβεῖν ἐκ τοῦ μακροθυμεῖν) τότε
20 ἀφῆκεν αὐτὸν ⟨οὐ⟩ μόνον, ἀλλὰ
καὶ παντελῶς ἀπέλυσε. καὶ πᾶ-
σαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ.
ὁ δὲ πονηρὸς δοῦλος οὗτος καὶ
μακροθυμίαν ἀπὸ τοῦ δεσπότου αἰ-
25 τήσας ἐπὶ τοῖς πολλοῖς ταλάντοις
ἀνηλεῶς πεποίηκεν. εὑρὼν γὰρ
ἕνα τῶν συνδούλων αὐτοῦ,
ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δη-
νάρια, κρατήσας αὐτὸν ἔπνιγε
30 λέγων· ἀπόδος εἴ τι ὀφείλεις.
πῶς δὲ οὐχ ὑπερβολὴν πονηρίας
ἐπεδείξατο, δι' ἑκατὸν δηνάρια
κρατήσας τὸν σύνδουλον καὶ πνί-
γων καὶ ἀποστερῶν αὐτὸν ἐλευ-
35 θέρας ἀναπνοῆς, αὐτὸς ἐπὶ τοῖς πολ-
λοῖς ταλάντοις μήτε κρατηθεὶς μήτε
πνιγείς, ἀλλὰ πρότερον μὲν κελευ-

5 ⟨ὡς⟩ εἰκὸς λ? 10 l. καὶ ἐσπλαγχνίσθη ἐπὶ? Kl 19 ἀπολαβεῖν ⟨ἀλλ'⟩ Koe 20 ⟨οὐ⟩ Kl 28 ὄφειλεν H 32 δυνάρια H

σθεὶς πραθῆναι ἅμα γυναικὶ καὶ τέκνοις καὶ τοῖς ἑαυτοῦ, ὕστερον δὲ (μετὰ τὸ προσκυνῆσαι) σπλαγχνισθέντος ἐπ' αὐτῷ τοῦ κυρίου ἀπολυθεὶς καὶ περὶ πάσης ἀφεθεὶς τῆς ὀφειλῆς;

Καὶ ἔργον γε εἰπεῖν κατὰ τὸ βούλημα τοῦ Ἰησοῦ, τίς ἐστιν *** ὁ εὑρεθεὶς σύνδουλος εἷς ὀφείλων, οὐ τῷ κυρίῳ ἑαυτοῦ ἀλλὰ τῷ πολλὰ ὀφείλοντι τάλαντα, ἑκατὸν δηνάρια, καὶ τίνες οἱ ἰδόντες τὸν μὲν πνίγοντα τὸν δὲ πνιγόμενον σύνδουλοι καὶ λυπηθέντες σφόδρα καὶ σαφῶς παραστήσαντες τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. ὡς μὲν οὖν ⟨ἐπ'⟩ ἀληθείας ἔχει τὰ πράγματα, ἀποφαίνομαι μηδένα ⟨δύνασθαι⟩ διηγήσασθαι εἰ μὴ Ἰησοῦ, τοῦ »τοῖς ἰδίοις μαθηταῖς κατ' ἰδίαν« λύσαντος »πάντα«, ἐπιδημήσαντος αὐτοῦ τῷ ἡγεμονικῷ καὶ ἀνοίγοντος τοὺς ἐν τῇ παραβολῇ θησαυροὺς πάντας σκοτεινούς, ἀποκρύφους, ἀοράτους καὶ πληροφοροῦντος δι' ἐναργῶν ἀποδείξεων ὃν βούλεται φωτίσαι τῷ φωτὶ τῆς γνώσεως ⟨πάντων⟩ τῶν κατὰ τὴν παραβολὴν ταύτην, ἵν' ἅμα τε παραστήσῃ τίς ὁ εἷς προσαχθεὶς τῷ βασιλεῖ ἀνθρώπῳ ὀφειλέτης πολλῶν ταλάντων καὶ τὰ ἑξῆς, καὶ ὁ ὀφείλων τούτῳ τὰ ἑκατὸν δηνάρια ἄλλος εἷς καὶ τὰ λοιπά,

Opus est ergo dicere secundum voluntatem Christi, quis est *debitor talentorum multorum* et quae uxor eius et qui filii eius et *omnia* eius, et quis est *** debitor qui ipsi debitori *** debebat, et qui *conservi videntes* hunc quidem offocantem illum autem offocari.

et sicut est quidem vere, confiteor neminem exponere posse nisi solum Christum, qui »discipulis suis omnia secrete solvit« veniens in sensum eorum et aperiens eis parabolarum thesauros obscuros, secretos, invisibiles et confirmans demonstrationibus indubitabilibus [aut] eum quem voluerit inluminare scientiae lumine, ut intellegat omnia parabolae huius.

20 Vgl. Marc. 4, 34 — 24f Vgl. Kol. 2, 3

8 *** Diehl Kl, vgl. lat. 17 ⟨ἐπ'⟩ Kl 19 ⟨δύνασθαι⟩ Kl nach Diehl Koe 26 ἐνεργῶν M 28 ⟨πάντων⟩ Diehl, vgl. lat. 31 ἀνθρώπῳ ϱ ἀνων M H

11/12 *** Diehl Kl, vgl. gr. 21 secrete (G) L Pasch secreta B 23 parabolae Pasch 26 [aut] Kl

εἴτε δύναται εἶναι ὁ προαποδεδομένος »ἄνθρωπος τῆς ἁμαρτίας« εἴτε καὶ ὁ διάβολος εἴτε μηδέτερος μὲν τούτων, ἄλλος δέ τις ἤτοι ἄνθρωπος ἢ τῶν ὑπὸ τὸν διάβολόν τις. ἔστι γὰρ τῆς σοφίας τοῦ θεοῦ ἔργον καὶ τὰ περὶ τῶν ἰδίως ποιῶν ἤτοι πεποιωμένων κατὰ τὰς τοιάσδε ποιότητας (εἴτε ἐν ἀοράτοις δυνάμεσιν, εἴτε καὶ ἔν τισιν ἀνθρώποις) ἀποδοῦναι προφητευόμενα ὁπωσποτοῦν ὑπὸ τοῦ θείου πνεύματος ἀναγεγραμμένα. ὡς δὲ μηδέπω διαρκῆ νοῦν ἀναλαβόντες ἡμεῖς τὸν δυνάμενον ἀνακραθῆναι τῷ Χριστοῦ νῷ ⟨καὶ⟩ ἕως τῶν τοσούτων χωροῦντα φθάνειν καὶ μετὰ τοῦ πνεύματος »πάντα« ἐρευνᾶν »καὶ τὰ βάθη τοῦ θεοῦ«, οἰόμεθα, ἔτι | ἀορίστως περὶ τῶν κατὰ τὸν τόπον λαμβάνοντες φαντασίαν, ἐπί τινα ἕνα ἀναφέρεσθαι πονηρὸν δοῦλον διὰ τῆς παραβολῆς δηλούμενον τὸν ἐνταῦθα παριστάμενον περὶ τῆς τῶν πολλῶν ταλάντων ὀφειλῆς.

sive autem potest esse diabolus sive »homo peccati« sive et neuter eorum, aut alius aliquis ⟨homo aut aliquis⟩ eorum qui sub diabolo sunt. est enim sapientiae dei hoc opus.

630

12. *Πότε δὲ ὁ* (κατὰ τὴν παραβολὴν) *βασιλεὺς ἄνθρωπος ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ*, ἄξιον ἐπισκέψασθαι, καὶ ἐπὶ τίνα καιρὸν χρὴ ἀναφέρειν τὰ λεγόμενα. εἰ μὲν γὰρ μετὰ τὴν συντέλειαν ἢ ἐπ' αὐτὴν (κατὰ τὸν τῆς προσδοκωμένης κρίσεως καιρόν), πῶς ⟨ἄν τις⟩ σώσαι

12. Quando autem (secundum parabolam) homo rex *voluit ponere rationem*, videre est dignum, et ad quod tempus quae dicuntur referre debemus. si enim post consummationem aut sub ipsa consummatione (secundum tempus sperati iudicii), quomodo quis salvet quod dicitur de eo,

3 Vgl. II. Thess. 2, 4 — 18f Vgl. I. Kor. 2, 10

6 τὸν] τῶν H 8/9 ἤτοι — ποιότητας < M 16 ⟨καὶ⟩ Koe 32 μὲν < Hª 35 ⟨ἄν τις⟩ Kl, vgl. lat.

4/5 ⟨homo aut aliquis⟩ Kl nach Diehl Koe, vgl. gr. 6 dei y* Pasch < L 31 debeamus Gᶜ 32 sub y* Lᶜ sumb Lª 35 salvet Diehl, vgl. gr. lvet G solvet B L

τὰ περὶ τοῦ ὀφείλοντος *ἑκατὸν δη-*
νάρια καὶ πνιγομένου ὑπὸ τοῦ
συγχωρηθέντος τὰ πολλὰ τάλαντα:
εἰ δὲ πρὸ τῆς κρίσεως, πῶς ἂν
5 δύναιτό τις παραστῆσαι πρὸ ἐκείνης
συναιρόμενον *λόγον* ὑπὸ τοῦ βασι-
λέως ἀνθρώπου *μετὰ τῶν δού-*
λων αὐτοῦ; ἁπαξαπλῶς δὲ χρὴ
φρονεῖν περὶ πάσης παραβολῆς, ἧς
10 μὴ ἀναγέγραπται ἡ διήγησις ὑπὸ
τῶν εὐαγγελιστῶν, ὅτι καὶ Ἰησοῦς
»τοῖς ἰδίοις μαθηταῖς κατ' ἰδίαν
ἐπέλυε πάντα« καὶ διὰ τοῦτο ἀπέ-
κρυψαν οἱ τὰ εὐαγγέλια γράφοντες
15 τὴν σαφήνειαν τῶν παραβολῶν,
ἐπεὶ μείζονα ἦν τὰ κατ' αὐτὰς δηλού-
μενα τῆς τῶν γραμμάτων φύσεως,
καὶ ἦν γε ἑκάστη λύσις καὶ ἡ σαφή-
νεια τῶν τοιούτων παραβολῶν τοι-
20 αύτη, ὡς μηδὲ αὐτὸν »τὸν κόσμον
χωρεῖν τὰ γραφόμενα« εἰς τὰς τοι-
αύτας παραβολὰς »βιβλία«. γένοιτο
δ' ἀνευρεθῆναι καρδίαν ἐπιτηδείαν
καὶ διὰ τὴν καθαρότητα χωροῦσαν
25 τὰ γράμματα τῆς σαφηνείας τῶν
παραβολῶν, ὥστε ἐν αὐτῇ γραφῆναι
»πνεύματι θεοῦ ζῶντος«. ἀλλ' ἐρεῖ τις
ὅτι μήποτε ἀσεβοῦμεν οἱ θέλοντες (διὰ
τὸ ἀπόρρητόν τινων καὶ μυστικὸν) τῶν
30 ὑπεράνω γραμμάτων εἶναι δηλωτικὰ
ταῦτα ⟨καὶ⟩ πειρώμενοι ταῦτα σα-
φηνίσαι, κἂν δοκῇ καθ' ὑπόθεσιν, ὅτι
ἔγνωμεν ἐπιμελῶς αὐτῶν τὸ βούλημα.

qui *denarios centum* debebat et offocabatur ab eo, qui multorum talentorum veniam fuerat consecutus? si autem ante iudicium, quis potest ostendere ⟨ante illud⟩ positam rationem ab homine rege *cum servis suis*?

12 Marc. 4, 34 — 20ff Vgl. Joh. 21, 25 — 27 Vgl. II. Kor. 3, 3

10 ὑπὸ] περὶ M 11 ὅτι Kl εἰ M H 18 γε Kl τε M H 23 ἀνευρεθῆναι Koe ἂν εὑρεθῆναι M H 31 ⟨καὶ⟩ Kl nach Koe

5 qui G 5 6 ⟨ante illud⟩ Diehl Koe. vgl. gr.

λεκτέον δὲ καὶ πρὸς τοῦτο ὅτι οἱ μὲν ἀκριβῶς εἰληφότες αὐτὰ νοεῖν οἴδασι τὸ πρακτέον αὐτοῖς, ἡμεῖς δὲ οἱ ὁμολογοῦντες ἀπολείπεσθαι τοῦ 5 δυνηθῆναι ἐπὶ τὸ βάθος φθάσαι τῶν δηλουμένων ἐν τούτοις, εἰ καί τινα βραχυτέραν περίνοιαν ἐπὶ ποσὸν λαμβάνομεν τῶν κατὰ τὸν τόπον, φήσομεν ὅτι τινὰ μὲν ὧν ἐκ πολλῆς 10 βασάνου καὶ ζητήσεως εὑρίσκειν δοκοῦμεν, εἴτε χάριτι θεοῦ εἴτε δυνάμει τοῦ ἐν ἡμῖν νοῦ, οὐ τολμῶμεν ἐμπιστεῦσαι γράμμασι, τινὰ δὲ γυμνασίας ἡμετέρας καὶ τῆς τῶν ἐντευξο- 15 μένων χάριν ἐπὶ ποσὸν ἐκτιθέμεθα.

Ἀλλὰ ταῦτα μὲν ἀπολελογήσθω διὰ τὸ τῆς | παραβολῆς βάθος· πρὸς (631) δὲ τὸ πότε ἠθέλησεν ὁ τῆς παραβολῆς βασιλεὺς ἄνθρωπος συνᾶραι 20 λόγον μετὰ τῶν δούλων αὐτοῦ, φήσομεν ὅτι ἔοικεν περὶ τὸν κεκηρυγμένον τῆς κρίσεως καιρὸν τὸ τοιοῦτο γίνεσθαι. παριστᾶσι δὲ τοῦτο μία μὲν πρὸς τοῖς τελευταίοις 25 τοῦ προκειμένου εὐαγγελίου παραβολή, μία δὲ ἐκ τοῦ κατὰ Λουκᾶν. καὶ ἵνα μὴ αὐτὴν ἐκτιθέμενοι τὴν λέξιν μηκύνωμεν τὸν λόγον,

30 δυναμένου τοῦ βουλομένου ἀπ' αὐτῆς τῆς γραφῆς λαβεῖν,

φήσομεν ὅτι ἡ μὲν κατὰ Ματθαῖον

dicemus igitur, quoniam videtur de temporibus iudicii praedictis hoc fore. probatio autem huius est una quidem parabola istius ipsius evangelii posita in extremo, altera autem secundum Lucam. sed ne exponentes eam prolongemus sermonem.

breviter dicemus quoniam para-

13f Vgl. Orig. tom. XXXII, 24 in Joh. (IV, 467, 22f): γυμνάσωμεν τὰ κατὰ τὸν τόπον, κρινοῦντος τοῦ ἐντευξομένου κτλ.

1 οἱ] εἰ H 5 φθάσαι unleserlich in M < H 7 βραχυτέραν Koe, vgl. IV, 220, 35 παχυτέραν M H 9 φήσωμεν . . . πολλῶν H[a], corr. H[c] 14 ἐντευξομένων ⟨ὠφελείας⟩ Koe 16 ἀπολελογίσθω M 26 δὲ + καὶ H

21. 32 dicemus Kl, vgl. gr. dicimus x 21 lat. las περὶ τῶν κεκηρυγμένων . . . καιρῶν ?

παραβολή ἐστι δηλοῦσα ὅτι »ὡς ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ«, καὶ τινὶ μὲν 5 πέντε, τινὶ δὲ δύο, τινὶ δὲ ἓν τάλαντον.

εἶτ' ἐκεῖνοι πεποιήκασι περὶ τὰ ἐγκεχειρισμένα,

10 καὶ »μετὰ πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων« καὶ αὐταῖς λέξεσι γέγραπται ὅτι »καὶ συναίρει μετ' αὐτῶν λόγον«. ⟨τήρησον οὖν ὃ λέγει· »καὶ συναίρει μετ' 15 αὐτῶν λόγον«⟩ καὶ σύγκρινον τῷ *καὶ ἀρξαμένου δὲ αὐτοῦ συναίρειν*, καὶ ὅρα ὅτι ἀποδημίαν μὲν ἐκάλεσε τοῦ οἰκοδεσπότου τὸν χρόνον καθ' ὃν »ἐνδημοῦντες ἐν 20 τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου«, ἐπιδημίαν δὲ αὐτοῦ, ὅτε »μετὰ πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων«, τὸν ἐπὶ συντελείᾳ ἐν τῇ κρίσει καιρόν·

25

μετὰ γὰρ χρόνον πολὺν »ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει μετ' αὐτῶν λόγον« καὶ τὰ 30 ἑξῆς γίνεται.

bola quidem secundum Matthaeum ⟨demonstrat, quoniam⟩ »homo quidam peregre profectus vocavit servos suos et tradidit eis substantiam suam«, et alii quidem quinque, alii autem duo, alii autem talentum unum.

et »post multum tempus reversus est dominus servorum eorum«. et his ipsis sermonibus scriptum est quoniam »posuit rationem cum eis«. considera ergo quod ait: »et posuit rationem cum eis«, et confer cum isto quod dictum est: *incipiente autem eo ponere rationem*, et vide quoniam peregrinationem quidem patrisfamilias appellavit tempus, secundum quod »donec sumus in corpore, peregrinamur a deo«, adventum ⟨autem⟩ eius, quando »post multum tempus venit dominus servorum eorum«, tempus esse iudicii cum venerit in consummatione.

1 Matth. 25, 14–15 — 10. 12 f Matth. 25, 19 — 19 II. Kor. 5, 6 — 22 Matth. 25, 19

8 εἶτα M | ἐκείνη H 13 ⟨τήρησον—λόγον⟩ Kl, vgl. lat. 19 ἐν < $\mathrm{M^a}$

2 ⟨demonstrat, quoniam⟩ Kl, vgl. gr. 7 talentum unum] commisit unum talentum R $\mathrm{G^c}$ 15 cum eis rationem G 18 vide Kl, vgl. gr. vides x 22 ⟨autem⟩ Koe, vgl. gr. 25 esse] Übergang in den acc. c. inf. Diehl 26 consummationem L

ἡ δὲ κατὰ Λουκᾶν σαφέστερον
παρίστησιν ὅτι εὐγενὴς ἄνθρωπος
πορευθεὶς »εἰς χώραν μακρὰν λαβεῖν
ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι«,
5 *πορευόμενος ἐκάλεσε δέκα δού-*
λους καὶ »ἔδωκεν αὐτοῖς δέκα μνᾶς,
καὶ εἶπεν αὐτοῖς· πραγματεύσασθε
ἐν ᾧ ἔρχομαι«. οὗτος δὲ ὁ εὐγενὴς
ἄνθρωπος, μισούμενος ὑπὸ τῶν ἰδίων
10 *πολιτῶν ἀποστειλάντων »πρεσβείαν*
ὀπίσω αὐτοῦ«, οὐ θελόντων αὐτὸν
βασιλεῦσαι ἐπ᾽ αὐτούς, ἐπανῆλθε
λαβὼν »τὴν βασιλείαν καὶ εἶπεν
φωνηθῆναι αὐτῷ τοὺς δούλους οἷς
15 *δεδώκει τὸ ἀργύριον, ἵνα γνῷ τί*
διεπραγματεύσαντο«.
ἰδὼν δὲ ἃ πεποιήκασι, τῷ μὲν τὴν
μνᾶν δέκα μνᾶς ποιήσαντι ἔπαινον
ἀποδοὺς διὰ τοῦ »εὖγε, ἀγαθὲ δοῦλε,
20 *ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου«,*
δίδωσιν αὐτῷ ἐξουσίαν δέκα πό-
λεων τῶν ὑπὸ τὴν βασιλείαν αὐτοῦ.
καὶ ἄλλῳ ⟨τῷ⟩ τὴν μνᾶν πενταπλα-
σιάσαντι τὸν μὲν ἔπαινον ὃν ἐπὶ | τοῦ
25 *πρώτου ἔταξεν οὐκ ἀποδέδωκεν οὐδὲ*
τὸ ὄνομα τῆς ἐξουσίας ὡς ἐπὶ τοῦ
προτέρου ὡρίσατο, εἶπε δὲ αὐτῷ·
»καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων«.
τῷ δὲ τὴν μνᾶν ἀποδήσαντι ἐν
30 *σουδαρίῳ εἶπεν· »ἐκ τοῦ στόματός*
σου κρινῶ σε, πονηρὲ δοῦλε«, »καὶ

secundum Lucam autem clarius manifestat, quoniam »homo quidam nobilis profectus est in regionem longinquam accipere sibi regnum et reverti«. proficiscens autem vocavit decem servos suos et »dedit illis decem mnas et dixit eis: negotiamini donec venio«. iste autem nobilis vir, qui odiebatur a civibus suis, qui miserant »legationem post eum« nolentes eum regnare super se, reversus est »regno accepto et vocar⟨i iuss⟩it servos quibus dederat pecuniam, ut videret quae esset negotiatio eorum«.

632

3 Luc. 19, 12 — 6 Luc. 19, 13 — 9ff Vgl. Luc. 19, 14 — 12 Vgl. Luc. 19, 14—15 — 17 Vgl. Luc. 19, 16 — 19 Luc. 19, 17 — 23f Vgl. Luc. 19, 18—19 — 28 Vgl. Luc. 19, 19 — 30f Luc. 19, 22. 24

5 *δούλους* + *suos* lat. 11 *αὐτὸν*] *αὐτῶν* M^a 13 *εἶπεν* Kl, vgl. lat. *εἰπὼν* M H 17 *ποιήκασι* H^a 20 *πιστῶς* H^a 23 ⟨*τῷ*⟩ Diehl

8 donec] dum L 13 vocar⟨i iuss⟩it Diehl vocavit x

τοῖς παρεστῶσιν εἶπεν· ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι«.

τίς οὖν καὶ ἐπὶ ταύτης τῆς παραβολῆς οὐ φήσει ὅτι ὁ μὲν εὐγενὴς ἄνθρωπος πορευθεὶς »εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι« ὁ Χριστός ἐστιν οἱονεὶ ἀποδημῶν ἐπὶ τῷ λαβεῖν τὴν βασιλείαν καὶ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, οἱ δὲ τὰς δέκα λαβόντες μνᾶς οἱ ἐγκεχειρισμένοι εἰσὶ διοικεῖν λόγον ὃν ἐπιστεύθησαν, οἱ δὲ πολῖται αὐτοῦ (ἐμπολιτευσαμένου ⟨τούτῳ⟩ τῷ κόσμῳ κατὰ τὸ ἐνηνθρωπηκέναι), οἱ μὴ θελήσαντες αὐτὸν βασιλεῦσαι, τάχα μὲν ὁ ἀπιστήσας αὐτῷ Ἰσραήλ ἐστι, τάχα δὲ καὶ τὰ ἀπιστήσαντα αὐτῷ ἔθνη;

13. *Πλὴν ταῦτά μοι εἴρηται διὰ τὸ τὴν ἐπάνοδον αὐτοῦ ἀναφέρειν ἐλθόντος μετὰ τῆς βασιλείας ἐπὶ τὴν συντέλειαν, ὅτε »εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους οἷς [ἐ]δεδώκει τὸ ἀργύριον, ἵνα γνῷ τί διεπραγματεύσαντο«, καὶ διὰ τὸ ἐκ τούτου βούλεσθαι ἀποδεικνύναι καὶ τῆς περὶ τῶν ταλάντων παραβολῆς, ὅτι καὶ ⟨τὸ⟩ ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ ἀναφέρεται ἐπὶ τὴν συντέλειαν, ὅτε ἤδη βασιλεύς ἐστιν ἀπολαμβάνων τὴν βασιλείαν, δι' ἣν (καθ' ἑτέραν παραβολὴν)*

quis ergo non dicat, quoniam nobilis ille homo, qui abierat »in regionem longinquam accipere sibi regnum et reverti«, Christus est qui abiit accipere regnum et mundi et omnium quae in eo sunt, qui autem decem acceperant mnas, sunt quibus dispensatio verbi credita est, cives autem eius (secundum quod natus fuerat in hoc mundo et susceperat humanam naturam) qui noluerunt eum regnare, Iudaei sunt qui ei credere noluerunt et ceteri infideles?

13. Haec retulimus ex eis volentes ostendere, quoniam et hoc quod dicit: *qui voluit ponere rationem cum servis suis* ad tempus consummationis refertur, quando etiam rex est regno accepto:

5f Vgl. Luc. 19, 12 — 23 Luc. 19, 15

10 *τῶν*] *omnium quae* lat. 14 *ἐμπολιτευσαμένῳ* Hª | ⟨*τούτῳ*⟩ Diehl Koe, vgl. lat. 24 [*ἐ*]*δεδώκει* Kl, vgl. S. 307, 15 28 *καὶ* < Mª 29 ⟨*τὸ*⟩ Koe

4 dicet Koe 7 reverti] redire B 8 abiit] *οἱονεὶ* scheint übergangen. wie S. 310, 11 9 eo] eis G L 33 l. [et]iam? Kl, vgl. gr.

›ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν
ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι‹.
ὑποστρέψας οὖν καὶ λαβὼν »τὴν
βασιλείαν« ἠθέλησε συνᾶραι λό-
5 γον μετὰ τῶν δούλων αὐτοῦ,
καὶ ἀρξαμένου αὐτοῦ συναί-
ρειν, προσηνέχθη εἷς ὀφειλέ-
της πολλῶν ταλάντων· προση-
νέχθη δὲ ὡς βασιλεῖ ὑπὸ τῶν αὐτοῦ
10 τεταγμένων λειτουργῶν, οἶμαι ἀγγέ-
λων.
καὶ τάχα εἷς τίς ἐστιν τῶν ὑπὸ τὴν
βασιλείαν ἐγχειρισθείς τινα
οἰκονομίαν μεγάλην καὶ μὴ καλῶς
15 αὐτὴν διοικήσας, ἀλλὰ διασκορ-
πίσας τὰ ἐγχειρισθέντα, ὡς ὀφει-
λέτην αὐτὸν γενέσθαι πολλῶν τα-
λάντων ὧν ἀπολώλεκεν. οὗτος δὴ
τάχα μὴ ἔχων ἀποδοῦναι, κελεύε-
20 ται ὑπὸ τοῦ βασιλέως πραθῆναι
ἅμα τῇ γυναικί, ἀφ' ἧς γέγονε
κοινωνὸς αὐτῇ πατήρ τινων τέκνων.
ἔργον δὲ οὐ | τὸ τυχόν ἐστιν ἰδεῖν ἐν
νοητοῖς πατέρα καὶ μητέρα καὶ
25 τέκνα.
ὡς μὲν οὖν πρὸς τὸ ἀληθές, θεὸς
ἂν εἰδείη τοῦτο τὸ ἔργον ὃ βούλεται·
καὶ ἡμῖν δέ, εἴτε αὐτὸς δέδωκεν εἴτε
μή, ὁ δυνάμενος κρινέτω. πλὴν
30 τοιαῦτα κατὰ τὸν τόπον ὑπολαμ-
βάνομεν ὅτι,
ὥσπερ Ἱερουσαλὴμ μήτηρ ἐστὶ Παύ-
λου καὶ τῶν παραπλησίων αὐτῷ ἡ
ἄνω, οὕτως εἴη ἂν ἑτέρων μήτηρ,

quo accepto *voluit ponere rationem cum servis suis, et incipiente eo ponere oblatus est ei unus debitor talentorum multorum,* oblatus est autem quasi regi a suis ministris, videlicet angelis.

et forsitan unus est iste,

cui commissa fuit quaedam villicatio magna, et ⟨qui⟩ quia non bene villicavit sed dispersit omnia sibi commissa, quasi factus *debitor* est *talentorum multorum.* hic non habens unde *redderet* iubetur *venundari* a rege cum uxore, cui communicans factus est pater quorundam natorum. opus est autem non mediocre 633 videre in intellegibilibus patrem et matrem et filios.

sicut enim Hierusalem quae sursum est, mater est Pauli et omnium similium ei, sic mater est

1 Luc. 19, 12 — 32 Vgl. Gal. 4, 26

7 προσηνέχθη + *ei* lat. 8 πολῶν H 12 ἐστϊ M 16 τὰ] *omnia* lat. 23 δὲ οὐδὲ M

15 ⟨qui⟩ Diehl, vgl. gr. 18 est R G^c B < G^a L 22 quorundam y* multorum L 24 videre ϱ (in notis) videri x | in < R 33 mater est y* < L

ἀνάλογον Ἱερουσαλὴμ μητρί. φέρ' εἰπεῖν Σοήνη τῆς Αἰγύπτου ἢ ⟨Μέμφις, ἑτέρων δὲ Τύρος⟩ καὶ Σιδὼν ἢ ὅσαι ὠνομάσθησαν ἐν ταῖς γραφαῖς 5 πόλεις.

εἶθ' ὥσπερ Ἱερουσαλὴμ νύμφη ἐστὶ κεκοσμημένη »τῷ ἀνδρὶ αὐτῆς« Χριστῷ, οὕτως εἶεν ἂν ἐκεῖναι αἱ μητέρες 10 δυνάμεών τινων τῶν κεκληρωμένων αὐτὰς οἱονεὶ γυναῖκες ἢ νύμφαι. καὶ ὥσπερ ἐστί τινα τέκνα τῆς Ἱερουσαλὴμ ὡς μητρὸς καὶ Χριστοῦ ὡς πατρός, οὕτως εἴη ἂν 15 τινα τέκνα Σοήνης ἢ Μέμφεως ἢ Τύρου ἢ Σιδῶνος καὶ τῶν ἐπιτεταγμένων αὐταῖς ἀρχόντων ⟨ὡς πατέρων⟩.

τάχα οὖν καὶ οὗτος ὁ εἷς προσαχ- 20 θεὶς ἀνθρώπῳ βασιλεῖ ὀφειλέτης πολλῶν ταλάντων ἔχει (ὡς ἀποδεδώκαμεν) γυναῖκα καὶ τέκνα, ἅτινα πρότερον μὲν ἐκέλευσε πραθῆναι ὁ βασιλεύς, 25 πραθῆναι δὲ καὶ πάντα ἃ εἶχεν, ὕστερον δὲ σπλαγχνισθεὶς ἀπέλυσεν αὐτὸν καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ, οὐκ ἀγνοῶν τὸ μέλλον, ἀλλ' ἵνα ἡμεῖς 30 μάθωμεν τὸ γεγενημένον, οὕτως ἀναγέγραπται πεποιηκέναι. ἕκαστος οὖν τῶν ἐχόντων (ὡς ἀπο-

quorundam quidem Soene Aegypti vel Memphis, aliorum autem Tyrus et Sidon et ceterae civitates, quae nominatae sunt in scripturis
gentium impiarum.

et sicut Hierusalem sponsa est ornata »viro suo« Christo, sic et illae matres virtutum quarundam possidentium eas coniuges sunt vel sponsae. et sicut sunt quidam filii Hierusalem quasi matris et Christi quasi patris, sic sunt quidam filii Soenes vel Memphidis vel Tyri vel Sidonis et praepositorum eis principum quasi patrum.

et forsitan et iste *unus*, qui *oblatus est homini regi*,

habet *uxorem* et *filios*, quos primum quidem *iussit* rex *venundari*,

postea autem *misertus dimisit* ⟨*eum et dimisit*⟩ *ei omne debitum* eius, non ignorans futura, sed ut nos discamus quod actum est.

unusquisque ergo habentium (se-

6 Vgl. Orig. hom. XI, 4 in Num. (VII, 83, 28): *rex gentis impiae* — 7f Vgl. Apoc. 21, 2

1 φέρε M 2 ⟨Μέμφις—Τύρος⟩ Kl, vgl. lat. 15 ἢ[1] Kl, vgl. lat. καὶ M H 17 ⟨ὡς πατέρων⟩ Kl Koe, vgl. lat. 20 ἀνθρώπῳ Koe, vgl. lat. τῷ M H

9 virtutum] virorum G L 14 soenes Kl soaenae G syene (B) L | memphidis ϱ memphitis (G) L memfis B 27 ⟨eum et dimisit⟩ Diehl, vgl. gr. 32 habentium G[a] B L habens R G[c]

δεδώκαμεν) γυναῖκα

καὶ τέκνα, λόγον ἀποδώσει, ἡνίκα ἂν
ἔλθῃ ὁ βασιλεὺς συνᾶραι λόγον, λα-
5 βὼν »τὴν βασιλείαν« καὶ ὑποστρέψας·

καὶ ἕκαστος αὐτῶν ἔχει, ὡς ἄρχων
τινὸς ⟨ἢ⟩ Σοήνης ἢ Μέμφεως ἢ Τύρου
10 ἢ Σιδῶνος ἤ τινος παραπλησίου,
καὶ τοὺς ὀφειλέτας.

Οὗτος οὖν, ἀπολυθεὶς καὶ συγ-
χωρηθεὶς πᾶσαν τὴν ὀφειλήν,
15 ἐξελθὼν ἀπὸ τοῦ βασιλέως εὗρεν
ἕνα τῶν συνδούλων αὐτοῦ
καὶ τὰ ἑξῆς.

καὶ διὰ τοῦτο (οἶμαι) ἔπνιγεν,
20 ἐπείπερ ἦν ἐξελθὼν ἀπὸ τοῦ βα-
σιλέως· οὐκ ἂν γὰρ μὴ ἐξελθὼν
ἔπνιγε τὸν σύνδουλον αὐτοῦ. εἶτα
παρατήρει τὴν ἀκρίβειαν τῆς γρα-
φῆς, ὅπως
25 ὁ μὲν

πεσὼν προσεκύνει,

30 ὁ δὲ

πεσὼν οὐ προσεκύνει ἀλλὰ παρ-
εκάλει. |

cundum quod diximus) *uxorem*
vel sponsam
aut *filios* daturus est rationem,
cum venerit rex *ponere rationem*,

etsi in initio ponendae rationis
oblatus est.
unusquisque enim eorum habet
et debitores, quasi princeps ali-
cuius vel Soenes vel Memphidis
vel Tyri vel Sidonis vel alicuius
huiusmodi.

Iste ergo qui dimissus est et
indulgentiam consecutus *exiens* a
rege *invenit unum de conservis
suis qui debebat ei denarios cen-
tum, et offocabat eum dicens: redde
si quid debes.*
ideo (arbitror) *offocabat eum*, quo-
niam a rege exierat, nec enim
offocaret conservum suum si non
exisset a rege. adhuc considera
subtilitatem scripturae, quoniam

servus quidem *talentorum mul-
torum debitor*
procidens adoravit
regem quasi regem, qui acceperat
regnum et venerat ad *rationem*
ponendam, qui autem *centum*
debebat denarios
procidens non *adoravit*, sed *roga-
vit* conservum *dicens*: *patientiam* 634

27ff Vgl. Luc. 19, 15

3 ἠνείκα H^a **8** καὶ ⟨γὰρ⟩ Koe, vgl. lat. **9** ⟨ἢ⟩ Kl, vgl. lat. **13** οὖν + ⟨ὁ⟩? Kl, vgl. lat. **20** ἦν < H^a **30—32** ὁ—προσεκύνει < H

3 aut] vel B **10** Soenes Kl (vgl. G^a) syenis (y) L | Memphidis ϱ memfis y memphitis L **13** qui y* < L **19** ⟨et⟩ ideo? Kl, vgl. gr. **21** si non] nisi L **31** denarios debebat L

καὶ ὁ μὲν βασιλεὺς σπλαγχνισθεὶς ἀπέλυσεν αὐτὸν καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ, ὁ δὲ
5 δοῦλος οὐδὲ ἐλεῆσαι ἠθέλησε τὸν σύνδουλον αὐτοῦ. κἀκεῖνος μὲν ⟨καὶ⟩ πρὸ τῆς ἀφέσεως

10 ἐκέλευσεν αὐτὸν πραθῆναι καὶ τὰ αὐτοῦ,
ὁ δὲ συγχωρηθεὶς ἔβαλεν αὐτὸν εἰς τὴν φυλακήν.

15

20

25
καὶ πρόσχες ὅτι οἱ σύνδουλοι οὐ διέβαλον ἢ εἰρήκασιν ἀλλὰ διεσάφησαν,
καὶ
30 ὅτι

τὸ πονηρὲ οὐκ εἶπε κατ' ἀρχὰς περὶ τῶν χρημάτων,

35 ἀλλ' ἐτήρησεν ὕστερον περὶ τοῦ συνδούλου.

habe in me, et omnia reddam tibi. et rex quidem *misertus dimisit eum* cum debito universo, iste autem nec *misereri* voluit suo conservo. et ille quidem et priusquam dimitteret,

non misit in carcerem debitorem talentorum multorum, sed *iussit eum venundari et uxorem et filios eius et reddi debitum,* *iste autem vadens in carcerem misit conservum,* *donec redderet quod debebat.* sunt autem et *conservi* quidam eius, qui indulgentiam est consecutus *talentorum multorum*; qui *videntes quae facta sunt* a servo inmisericorde, habentes videlicet misericordiam similem regis, *contristati sunt valde* super eum *qui centum debebat denarios* et *in carcerem* fuerat missus, et volentes iuvare missum *in carcerem enarraverunt domino quae fuerant acta.*
et vide quia non est scriptum: detraxerunt vel dixerunt, sed: *enarraverunt.*
et *tunc vocans eum dominus eius dixit ei,* quod non dixerat prius; sicut enim pius et misericors rex non dixit in primis sibi oblato quasi debitori *talentorum multorum*: *serve nequam* vel *male*; hoc enim reservavit, ut non de pecuniis, sed de conservo *in carcerem* misso diceret.

7 ⟨καὶ⟩ Kl, vgl. lat. 12 συγχωρηθεὶς ⟨ἐξελθὼν⟩? Koe, vgl. lat. 26 f καὶ—διεσάφησαν bis scr. H

12 l. ⟨e⟩vadens? Kl, vgl. gr. 18 facta] peccata G 32 sibi G[c] B sibi ei G[a] L 34 vel Kl, vgl. gr. et x

		tunc autem et inproperavit ei
		de indulgentia debitorum donata
		propter petitionem.
	ἴδε δὲ καὶ τὸ μέτριον τοῦ βασιλέως·	vide autem et humilitatem regis,
5		quoniam aliud quidem fecit *debi-*
		tor talentorum multorum. aliud au-
		tem nominat rex. debitor enim ille
		procidens adoravit eum dicens, domi-
		nus autem eius et rex vocans eum
10	*οὐκ εἶπε·*	non dixit:
	προσεκύνησάς μοι.	*omne debitum dimisi tibi*, quoniam
		adorasti me.
	ἀλλά· παρεκάλεσάς με	sed: *quoniam rogasti me.*
		et iratus tradidit eum tortoribus,
15		*donec redderet debitum.*
	καὶ οὐκέτι ⟨ἐκέλευσεν⟩ αὐτὸν	et iam non *iussit eum venundari*
	πραθῆναι καὶ τὰ αὐτοῦ, ἀλλὰ	*et uxorem eius et filios eius,*
	παρέδωκε τοῖς βασανισταῖς	
	⟨ὡς πεισόμενον·	
20	*τὸ χεῖρον*	quia peius eum oportuerat pati
	διὰ τὴν πονηρίαν.	propter malitiam
		suam traditum *tortoribus, donec*
		redderet omne debitum tortus ab eis.
	τίνες δ' ἂν εἶεν οὗτοι ἢ οἱ ἐπὶ τῶν	qui autem sunt isti tortores, qui
25	*κολάσεων τεταγμένοι;*	constituti sunt super poenas?
	ἅμα δὲ πρόσχες διὰ τοὺς ἀπὸ τῶν	
	αἱρέσεων χρωμένους τῇ παραβολῇ	
	ὅτι, εἴπερ κατηγοροῦσι τοῦ δημιουρ-	
	γοῦ ὡς ὀργίλου διὰ τὰ ἐμφαίνοντα	
30	*ὀργὴν θεοῦ ῥήματα, ἐχρῆν αὐτοὺς*	
	καὶ τοῦ βασιλέως τούτου κατηγο-	
	ρεῖν, ἐπείπερ ὀργισθεὶς παρέ-	
	δωκε τὸν ὀφειλέτην τοῖς βασα-	
	νισταῖς. ἔτι δὲ λεκτέον τοῖς μὴ	
35	*βουλομένοις παραδίδοσθαί τινα ἀπὸ*	
	τοῦ Ἰησοῦ τοῖς βασανισταῖς	
	ὅτι διηγήσασθε ἡμῖν, ὦ οὗτοι, τίς	

13 *ἀλλ' ἐπαρεκάλεσας* M **16** *⟨ἐκέλευσεν⟩* Kl, vgl. lat. **19** *⟨ὡς πεισόμενον⟩* Diehl, vgl. lat.

8 dicens < B **24** l. ⟨quam⟩ qui[2]? Kl, vgl. gr.

ὁ βασιλεὺς ὁ παραδιδοὺς τὸν πονηρὸν δοῦλον τοῖς βασανισταῖς; προσεχέτωσαν δὲ καὶ τῷ οὕτως οὖν ποιήσει καὶ ὑμῖν ὁ πατήρ
5 μου ὁ οὐράνιος. τοῖς αὐτοῖς δὲ ἔτι μᾶλλον λεχθείη ἂν τὰ ἐν τῇ τῶν δέκα μνῶν παραβολῇ ὅτι ὁ τοῦ ἀγαθοῦ θεοῦ υἱὸς εἶπε· »πλὴν τοὺς ἐχθρούς μου ἐκείνους τοὺς μὴ
10 θελήσαντάς με« καὶ τὰ ἑξῆς. τὸ συμπέρασμα μέντοι τῆς παραβολῆς καὶ τοῖς ἁπλουστέροις ἁρμόζει· πάντες γὰρ ἅμα διδασκόμεθα πείσεσθαι, οἵ ἄφεσιν ἁμαρτημάτων
15 εἰληφότες καὶ μὴ συγχωροῦντες τοῖς ἀδελφοῖς, τὰ τοῦ συγχωρηθέντος καὶ μὴ συγχωρήσαντος τῷ ⟨συν⟩δούλῳ.

14. *Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους*
20 *τούτους* (19, 1 [—2]).

Ὁ ἕκαστον τῶν προκειμένων προβλημάτων ἐντελῶς διεξιών, ὡς μηδὲν αὐτῶν ἐνδεὲς καταλιπεῖν, οὗτος τελεῖ τοὺς ἑαυτοῦ λόγους. θαρσα-
25 λεώτερον | δ' αὖ τις ἀποφανεῖται περὶ τούτου προσέχων ἐπιμελέστερον πάσῃ ἀναγνώσει παλαιᾶς καὶ καινῆς διαθήκης. ἐὰν γὰρ ἐπὶ μηδενὸς ᾖ τεταγμένον τὸ ἐτέλεσε τοὺς
30 λόγους τούτους, ἢ Μωσέως ἤ τινος τῶν προφητῶν, ἀλλ' ἢ μόνου τοῦ Ἰησοῦ, τότε τολμήσας ἄν τις εἴποι ὅτι μόνος ἐτέλεσε τοὺς λόγους ὁ Ἰησοῦς, ὁ ἐλθὼν τέλος
35 ἐπιθεῖναι τοῖς πράγμασι καὶ πληρῶσαι τὸ ἐνδεὲς τοῦ νόμου διὰ τοῦ

635

8 Luc. 19, 27

17 ⟨συν⟩δούλῳ Kl 25 αὖ Kl ἂν MH 30 μωϋσέος MH 33 μόνος Hu μόνους MH 35 ἐπιθῆναι H

»ἐρρέθη τοῖς ἀρχαίοις« καὶ τὰ ἑξῆς·
καὶ πάλιν· »ἵνα πληρωθῇ τὰ εἰρη-
μένα διὰ τῶν προφητῶν«. εἰ δέ που
γέγραπται καὶ ἐν ἐκείνοις, τότε ἂν
5 συνεξετάζοι καὶ τελεσθέντας ὑπ'
ἐκείνων λόγους τελεσθεῖσιν ὑπὸ τοῦ
σωτῆρος, ἵνα εὕρῃ τὴν διαφορὰν
αὐτῶν πρὸς ἀλλήλους. καίτοιγε κά-
κεῖ ζητηθείη ἄν, εἰ ἐπὶ τῶν κατὰ
10 χρηματισμὸν λεγομένων κεῖται τὸ
ἐτέλεσεν, ἢ ἐπὶ τῶν Μωσέως ἢ
τινος τῶν προφητῶν εἰρημένων ἢ
ἐπὶ συναμφοτέρων· ἡ γὰρ ἐπιμελὴς
τήρησις μέγιστα ἂν ὑποβάλλοι νοή-
15 ματα τοῖς ἐπισταμένοις »πνευματικὰ
πνευματικοῖς« συγκρίνειν καὶ διὰ
τοῦτο λαλοῦσιν »οὐκ ἐν διδακτοῖς ἀν-
θρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν
διδακτοῖς πνεύματος«. ἄλλος δ'
20 ἄν τις περιεργότερον ἀκούων τοῦ
ἐτέλεσεν, τεταγμένου ἐπὶ τῶν
μυστικωτέρων (καθὸ ὁ μέν τις »παρέ-
δωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ
τελετάς« οὐκ ἐπαινετῶς, ὁ δέ τις
25 μυστήρια θεοῦ τοῖς ἀξίοις, καὶ
ἀνάλογον τοῖς τοιούτοις μυστηρίοις
τελετάς) εἴποι ὅτι τελετὴν ἐποίησε
μυήσας αὐτούς, δι' ἣν τελετὴν
ἀνεφάνησαν οἱ λόγοι δυνατοί, ὡς
30 κηρυχθῆναι »τὸ εὐαγγέλιον« Ἰησοῦ

1 Matth. 5, 21 — 2 Matth. 14, 49 vgl. Luc. 22, 22 — 15ff Vgl. I. Kor. 2, 13 — 22 Sap. Sal. 14, 15 — 30f Vgl. Matth. 24, 14 — Vgl. Matth. 26, 13

4 ἐκείνοις + ⟨ὅτι ἐτέλεσαν τοὺς λόγους⟩ Koe 5 συνεξετάζοι Koe (d. h. der τις S. 314 Z. 33) συνεξετάζῃ M ἐξετάζῃ H 6 λόγους ⟨λόγοις⟩ Diehl 11 ἔλεσεν H[a] μωυσέως M H 14 ὑπο-βάλοι M 20f τοῦ ἐτέλεσεν ἀκούων H[a]

»ἐν ὅλῳ τῷ κόσμῳ« καὶ κρατῆσαι διὰ τὴν θείαν τελετὴν πάσης ψυχῆς, ἣν ἕλκει ὁ πατὴρ πρὸς τὸν υἱὸν κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ σωτῆρος· 5 »οὐδεὶς ἔρχεται πρός με ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν«. διὰ τοῦτο δὲ καὶ ὁ λόγος τῶν χάριτι θεοῦ πρεσβευόντων τὸ εὐαγγέλιον καὶ »τὸ κήρυγμα« αὐτῶν »οὐκ ἐν πει- 10 θοῖ σοφίας« γέγονε »λόγων, ἀλλ᾽ ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως«, οἷς ἐτελέσθησαν οἱ λόγοι τῆς διδασκαλίας Ἰησοῦ. καὶ σὺ μὲν οὖν τηρήσεις, ὁσάκις εἴρηται τὸ ἐτέλεσε καὶ ἐπὶ 15 τίσι· λήψῃ δὲ παράδειγμα τὸ ἐπὶ τοῖς μακαρισμοῖς καὶ ὅλῃ τῇ διδασκαλίᾳ λελεγμένον, οἷς ἐπιφέρεται· »καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο 20 πάντες οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ«.

Ἀναφέρεται δὲ καὶ νῦν τὸ ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους προσεχῶς μὲν ἐπὶ 25 τὴν μυστικωτάτην παραβολήν, καθ᾽ ἣν »ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι | λόγον μετὰ τῶν δούλων αὐτοῦ«, ἔτι δὲ ταύτης ἀνω- 30 τέρω εἰς τὰ πρὸ αὐτῆς ἀναγεγραμμένα. 15. πλὴν ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, 636

15. *Et factum est cum consummasset Iesus sermones istos,*

5 Joh. 6, 44 — 9ff Vgl. I. Kor. 2, 4 — 18 Matth. 7, 28 — 26 Matth. 18, 23 — 29f Vgl. Matth. 11, 1; 13, 53

12f *τοῦ Ἰησοῦ τῆς διδασκαλίας* H[a] **14** *ὅσα* M **15** *λήψει* H **17** *λελεγμένον* Diehl *λελεγμένοις* M H **26** *ὁμοιώθη* H **26** *τῶν οὐρανῶν*] *τοῦ θεοῦ* M

	λαλήσας αὐτοὺς ἐν τῇ Γαλιλαίᾳ περὶ	
	τὴν Καφαρναούμ, τότε	
	μετῆρεν ἐκεῖθεν καὶ ἦλθεν εἰς	*transiit* inde *et venit in fines Iu-*
	τὰ τῆς Ἰουδαίας ὅρια,	*daeae.*
5	ἕτερα τυγχάνοντα παρὰ τὴν Γαλι-	
	λαίαν. ἦλθε δὲ ἐπὶ τὰ ὅρια τῆς	
	Ἰουδαίας	
	καὶ οὐκ ἐπὶ τὰ μέσα. ἀλλ' οἱονεὶ τὰ	non ad mediam Iudaeam, sed
	ἄκρα· ἔνθα	ad fines, ubi
10		erat Iordanis dividens: usque
		trans illum
	ἠκολούθησαν αὐτῷ ὄχλοι πολ-	*secutae sunt eum turbae multae,*
	λοί, οὓς ἐθεράπευσε παρ' α⟨ὐτοῖς⟩	quos et *sanavit* in ipsis finibus
	τοῖς ὁρίοις τῆς Ἰουδαίας πέραν	*Iudaeae trans Iordanem,* ubi bap-
15	τοῦ Ἰορδάνου, ἔνθα τὸ βάπτισμα	tismum dabatur
	ἐδίδοτο ⟨ἀνθρώποις⟩.	hominibus. et forsitan ideo dici-
		tur de turbis sequentibus domi-
		num ad baptismum Iordanis:
		et sanavit eos ibi. vere enim omnes
20		ab infirmitatibus suis spiritalibus
		salvantur in baptismo, qui tamen
		in Iordane fuerint baptizati, qui
		est in mysterio Christi ex duobus
		fontibus factus divinitatis et car-
25		nis.
	τηρήσεις δὲ διαφορὰν ὄχλων	considera autem differentiam tur-
		barum,
	ἁπλῶς ἀκολουθησάντων	
	καὶ Πέτρου καὶ τῶν ἄλλων ἀφέν-	et Petri qui omnia reliquerat
30	των πάντα καὶ ἀκολουθησάντων	et secutus fuerat eum.
	καὶ	turbae enim non dixerunt ei quod
		dixit Petrus: »ecce nos omnia
		reliquimus et secuti sumus te,
		quid utique erit nobis?« et in

32ff Matth. 19, 27

2 καρφαρναούμ M 13 παρ' α⟨ὐτοῖς⟩ Koe, vgl. lat. παρὰ MH 16 ⟨ἀνθρώποις⟩ Kl Koe, vgl. lat.

3 Iudaeae + et reliqua L 34 in] de ϱ

turba quidem scriptum est: *et secutae sunt eum turbae multae.*

Ματθαίου, ὅς »ἀναστὰς ἠκολούθησεν αὐτῷ«. οὐχ ἁπλῶς ἠκολούθησεν, ἀλλ' »ἀναστάς«· μεγάλη γὰρ ἡ προσθήκη τὸ »ἀναστάς«.

Matthaeus autem dicente sibi domino: »sequere me« non simpliciter secutus est, sed »surgens secutus est«. magnum est enim surgere et sic sequi Christum.

εἰσὶν οὖν ἀεὶ οἱ μὲν (ὡς ὄχλοι) πολλοὶ ἀκολουθοῦντες, μήτε ἀναστάντες ἵνα ἀκολουθήσωσι μήτε ἀφέντες πάντα τὰ πρότερα· ὀλίγοι δὲ οἱ ἀναστάντες καὶ οἱ ⟨πάντα ἀφέντες⟩ ἀκολουθήσαντες, οἳ καὶ καθεδοῦνται [οἱ] »ἐν τῇ παλιγγενεσίᾳ« »ἐπὶ δώδεκα θρόνους«. πλὴν εἰ βούλεταί τις θεραπευθῆναι, ἀκολουθησάτω τῷ Ἰησοῦ.

ergo multi quidem sequuntur Christum, sicut *turbae secutae sunt*, tamen non surgentes ut sequantur neque relinquentes omnia sua priora; pauci sunt autem qui surgentes sequuntur et omnia relinquentes.

16. *Μετὰ τοῦτο γέγραπται ὅτι* προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν καὶ λέγοντες· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; *(τὸ ἰσοδυναμοῦν ἀνέγραψε καὶ ὁ Μᾶρκος)* (19, 3 [—12]).

16. *Et accesserunt ad eum Pharisaei temptantes eum et dicentes: si licet homini dimittere uxorem suam quacumque ex causa?*

Οὐκοῦν τῶν προσιόντων καὶ πυνθανομένων τῷ Ἰησοῦ ἦσάν τινες οἱ πειράζοντες *ἐπηρώτων αὐτόν·*

Ergo accedentium et interrogantium Christum erant quidam *temptantes.*

πειραζομένου δὲ τοῦ τηλικούτου σωτῆρος ἡμῶν, τίς ἂν τῶν μαθητῶν

temptato autem domino tali, quis discipulorum eius graviter ferat,

3f Matth. 9, 9 — 12ff Vgl. Matth. 19, 28 — 25 Marc. 10, 2

5 ἀλλὰ M | γὰρ < H 12f ⟨πάντα ἀφέντες⟩ Kl, vgl. lat. 14 [οἱ] Kl | ἐν τῇ] ἐπὶ M 17 H^c i. m.: περὶ τῶν ⟨ ⟩ φαρισαίων ⟨ ⟩ εἰ ἔξεστιν ⟨ ⟩ τὴν γυναῖκα ⟨ ⟩ πᾶσαν αἰ ⟨ ⟩ 21 ἀνθρώπῳ Koe, vgl. lat. und S. 319, 19 ἄνθρωπον M H

4 domino sibi L 6 enim est L 12 priora] propria L 18 Et-eum] Accesserunt autem ad ihm scribae et L

αὐτοῦ ἀγανακτοίη, τεταγμένος εἰς διδασκαλίαν, ἐπὶ τῷ πειράζεσθαι ὑπό τινων
καὶ πυνθανομένων οὐκ ἐκ φιλομα-
5 θείας, ἀλλ' ἀπὸ τοῦ πειράζειν ἐθέλειν; πολλὰ δ' ἂν ἐπὶ τὸ αὐτὸ συναγαγὼν εὕροις, ἐν οἷς ἐπείρασαν τὸν Ἰησοῦν ἡμῶν οἱ | Φαρισαῖοι καὶ ἄλλοι παρὰ τούτους (ὡς
10 νομικός τις, τάχα δὲ καὶ γραμματεῖς), ἵν' ἐπὶ τὸ αὐτὸ τὰ περὶ τῶν πειραζόντων αὐτὸν συναγαγών, εὕροις τι [τὰ περὶ τῶν πειραζόντων αὐτὸν] ἐκ τῆς ἐξετάσεως χρήσιμον
15 εἰς τὸ εἶδος τῶν λόγων τούτων.

qui positus est ad docendum, si temptatus fuerit a quibusdam?

637

πλὴν ὁ σωτὴρ καὶ τοῖς πειράζουσιν ἀποκρίνεται δόγματα ⟨εὐσεβείας⟩· οἱ μὲν γὰρ ἔλεγον· *εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυ-*
20 *ναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀνέγνωτε ὅτι ὁ κτίσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;*
25 καὶ τὰ ἑξῆς.

tamen et temptatoribus respondit dogmata pietatis. quidam ergo dicebant: *si licet homini dimittere uxorem suam quacumque ex causa? quibus respondens dixit: »non legistis, quoniam qui fecit ab initio, masculum et feminam fecit eos*

et dixit: propter hoc relinquet homo patrem et matrem et iungetur uxori suae, et erunt duo in carne una? itaque iam non sunt duo, sed caro una. quod ergo deus coniunxit homo non separet.

30

καὶ οἶμαι, ὅτι

et puto quod Pharisaei qui dicebant: *si licet homini dimittere uxorem suam quacumque ex causa,*

35 κατὰ τοῦτο προέτεινον τὸν λόγον οἱ Φαρισαῖοι τοῦτον, ὡς ἐπιληψόμενοι

ideo proposuerunt hoc verbum volentes eum reprehendere quid-

36–320, 6 *Π* 210, 2f

1 ἀγανακτείη M[a] 4 φιλομαθίας M 5 ἀλλὰ πὸ H w. e. sch. **13f** [τὰ—αὐτὸν] Hu: Dittographie aus Z. 11f 17 ⟨εὐσεβείας⟩ Kl, vgl. lat.

16 et < L 20 non (vgl. S. 320, 26)] num G L

αὐτοῦ, ὅ τι ποτ' ἂν εἴπῃ· οἷον εἰ μὲν εἶπεν· ἔξεστιν, ἐνεκάλεσαν ⟨ἂν⟩ αὐτῷ ὡς ἐπὶ τοῖς τυχοῦσι διαλύοντι τοὺς γάμους· εἰ δέ· οὐκ ἔξεστιν, ὡς καὶ 5 *μετὰ ἁμαρτημάτων ἐπιτρέποντι συνοικεῖν ἄνδρα γυναικί.*

quid dixisset; ut si quidem dixisset: licet dimittere, culparent eum quasi *** solventem coniugia; si autem dixisset: non licet, iterum culparent eum quasi iubentem viros convivere mulieribus etiam cum peccatis.

⟨οὐχ ἑώρων δὲ τίνα τρόπον ἀνεπιλήπτως καὶ σοφῶς αὐτοῖς ἀποκρι- 10 *νεῖται⟩, ὡς ἐπὶ τοῦ κήνσου·*

non autem videbant quomodo eis manifeste et inreprehensibiliter fuerat responsurus, sicut alibi interrogaverunt eum: »si licet dare tributum Caesari?«,

εἰ μὲν γὰρ εἶπε διδόναι, ἐνεκάλεσαν ⟨ἂν⟩ ὡς ὑποτάσσοντι τὸν λαὸν ⟨τοῦ 15 *θεοῦ ἀνθρώποις καὶ προσποιοῦντα αὐτὸν⟩ τοῖς Ῥωμαίοις καὶ οὐ τῷ νόμῳ τοῦ θεοῦ, εἰ δὲ μὴ διδόναι, ὡς πόλεμον ἐμποιοῦντι καὶ στάσιν καὶ διεγείροντι τοὺς μὴ δυναμένους στῆ-* 20 *ναι πρὸς τηλικαύτην στρατιάν. [οὐχ ἑώρων δὲ τίνα τρόπον ἀνεπιλήπτως καὶ σοφῶς αὐτοῖς ἀποκρίνεται]. ⟨ὅρα δὲ πῶς ἀνεπιλήπτως ἀπεκρίνατο⟩ πρότερον μὲν ἀποφάσκων τὸ ἀπολύειν* 25 *τὴν γυναῖκα κατὰ πᾶσαν αἰτίαν,*

ut siquidem dixisset: date, culparent eum quasi subdentem hominibus populum dei et addicentem eum Romanis et non legibus dei; si autem dixisset: non licet dare, iterum culparent eum quasi seditiones et proelia concitantem et facientem populum discedere a Caesare, qui mundum tenebat. vide autem quomodo inreprehensibiliter respondit primum quidem interrogantibus: *si licet dimittere uxorem quacumque ex causa dicens*: *non legistis quoniam qui fecit masculum et feminam fecit eos*? et cetera,

30 *δεύτερον δὲ ἀποκρινόμενος πρὸς τὰ περὶ τοῦ βιβλίου τοῦ κατὰ τὸ ἀποστάσιον ***.*

ad illud autem quod obiecerunt dicentes: *quomodo Moyses praecepit dare libellum repudii*? ait: *propter duritiam cordis vestri.*

10 Matth. 22, 17 — **13ff** Vgl. *II* 251, 5—7

2. 14 ⟨ἂν⟩ Kl **8ff** ⟨οὐχ—ἀποκρινεῖται⟩ Kl nach lat. und gr. Z. 20—22 **14ff** ⟨τοῦ—αὐτὸν⟩ Kl Koe, vgl. lat. **20—22** [οὐχ—ἀποκρίνεται] Kl, nach lat. **22f** ⟨ὅρα—ἀπεκρίνατο⟩ Kl nach lat. **32** *** Kl ⟨πρὸς τὴν σκληροκαρδίαν ὑμῶν⟩ Koe, vgl. lat.

3 *** Koe, vgl. gr. **9** manifeste] lat. las σαφῶς st. σοφῶς Koe **10** sicut Kl, vgl. gr. sic et x **14** eum μ eos x **27** fecit + ab initio B

ἑώρα γὰρ ὅτι οὐ πᾶσα αἰτία εὐλόγως λύει γάμον, καὶ ὅτι δεῖ τὸν ἄνδρα συνοικεῖν τῇ γυναικὶ »ὡς ἀσθενεστέρῳ σκεύει ἀπονέμοντα τιμὴν« 5 *καὶ βαστάζοντα αὐτῆς τὰ ἐν ἁμαρτήμασι »βάρη«. καὶ δυσωπεῖ ἐκ τῶν ἐν τῇ Γενέσει ἐγγεγραμμένων τοὺς ἐπὶ τοῖς Μωσέως γράμμασιν αὐχοῦντας Φαρισαίους λέγων τὸ* οὐκ 10 ἀνέγνωτε ὅτι ὁ κτίσας ἀπ' ἀρχῆς ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς; *καὶ τὰ ἑξῆς.*

καὶ ἐπιφέρων αὐτοῖς διὰ τὸ καὶ ἔσονται οἱ δύο εἰς σάρκα 15 μίαν *ἀκόλουθον τῷ* εἰς σάρκα μίαν *διδασκαλίαν τὴν* ὥστε οὐκέτι εἰσὶ δύο ἀλλὰ σὰρξ μία. *δυσωπητικὸν δὲ πρὸς τὸ μὴ ἀπολῦσαι τὴν γυναῖκα κατὰ πᾶ-* 20 *σαν αἰτίαν | καὶ τὸ* ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. 638

Παρατηρητέον μέντοιγε ἐν τῇ ἐκθέσει τῶν ἀπὸ τῆς Γενέσεως ἐν 25 *τῷ εὐαγγελίῳ ῥητῶν, ὅτι οὐ τὰ ἐφεξῆς ἀλλήλοις γεγραμμένα εἴρηται. ἐγὼ δὲ οἶμαι ὅτι οὐδὲ περὶ τῶν αὐτῶν λέγεται. τῶν κατ' εἰκόνα θεοῦ γενομένων καὶ τῶν ἀπὸ τοῦ* 30 *χοὸς τῆς γῆς καὶ μιᾶς τῶν πλευρῶν τοῦ Ἀδάμ. ὅπου μὲν γὰρ λέλεκται τὸ »ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς«, περὶ τῶν κατ' εἰκόνα ἐστίν· ὅπου δὲ καὶ εἶπεν· »ἕνεκα τούτου* 35 *καταλείψει ἄνθρωπος τὸν πατέρα*

vidit enim quia non omnis causa iuste solvit coniugium, sed quoniam oportet virum cohabitare mulieri »quasi vasi infirmiori et reddere ei honorem« et sustinere »onera« vitiorum eius. ⟨et Pharisa⟩eos, qui in littera legis gloriabantur, ex ipsis Moysi scripturis convincit dicens: *non legistis quoniam qui fecit ab initio masculum et feminam fecit eos?* et cetera.

3f I. Petr. 3, 7 — **5f** Vgl. Gal. 6, 2 — **23—326, 25** Vgl. *B* I, 184, 22—185, 10 — **32** Gen. 1, 27 vgl. Matth. 19, 4 — **34** Gen. 2, 24 vgl. Matth. 19, 5

8 *μωυσέως* M **27** *τῶν* < H **4** vaso G **6** ⟨et Pharisa⟩eos
29 *γεγενημένων* H **32** *καὶ* + *τὸ* H Kl, vgl. gr.

καὶ τὴν μητέρα αὐτοῦ« καὶ τὰ ἑξῆς, οὐκ ἔστι περὶ τῶν κατ' εἰκόνα· ὕστερον γάρ ποτε ἐκείνων »ἔπλασε κύριος ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν 5 λαβὼν ἀπὸ τῆς γῆς« καὶ ἀπὸ τῆς πλευρᾶς αὐτοῦ τὴν βοηθόν. ἅμα δὲ πρόσχες ὅτι ἐπὶ μὲν τῶν κατ' εἰκόνα οὐκ ἀνὴρ καὶ γυνὴ εἴρηται, ἀλλὰ »ἄρρεν καὶ θῆλυ«. τοῦτο δὲ καὶ 10 ἐν τῷ Ἑβραϊκῷ τετηρήκαμεν· ἀνὴρ μὲν γὰρ δηλοῦται τῇ ΙΣ φωνῇ, ἄρρεν δὲ τῇ ΖΑΧΑΡ· καὶ πάλιν γυνὴ μὲν τῇ ΕΣΣΑ φωνῇ, θῆλυ δὲ τῇ ΟΥΝΚΗΒΑ· οὐδέποτε γὰρ 15 γυνὴ κατ' εἰκόνα οὐδὲ ἀνήρ, ἀλλ' οἱ μὲν διαφέροντες ἄρρεν οἱ δὲ δεύτεροι θῆλυ. ἀλλὰ καὶ ἐὰν καταλίπῃ ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, κολλᾶται οὐ τῷ 20 θήλει ἀλλὰ τῇ γυναικὶ αὐτοῦ καὶ γίνονται (ἐπεὶ ἓν σαρκὶ ἀνὴρ καὶ γυνή) εἰς σάρκα μίαν.

tamen quoniam tetigimus istum locum ubi et illud dicitur: 25 »haec vocabitur mulier, quia de viro suo adsumpta est«, sciendum quia nihil proprium habet quantum ad Graecum [vel ad Latinum] sermonem, ut ideo vocetur 30 mulier, quia de viro suo adsumpta est. propterea legentes Hebraica invenimus originationem istam convenienter positam in Hebraeo. habet autem Hebraicum ita: 35 *ΙΣΣΑ* (quod intellegitur et mulier

3 Gen. 2, 7 — 5 f Vgl. Gen. 2, 20—22 — 9 Gen. 1, 27 — 10—323, 10 Vgl. F. Field, Origenis Hexapla I, 1, 10. 15 — 25 Gen. 2, 23

14 *ΟΥΝΚΗΒΑ* Kl ἀνκηβᾶ M H 17 ἂν H 18 τὴν μρα καὶ τὸν πρα H 20 θῆλυ H 24 illud + scriptum L 28 [vel ad Latinum] Kl 35 *ΙΣΣΑ* x* Essa ρ

et adsumpta; apud Hebraeos enim mulier adsumpta vocatur) item *ΜΗΙΣ* (quod est a viro). vides quomodo iunctum est *ΙΣΣΑ* iuxta *ΜΗΙΣ*, id est a viro adsumpta. unde Theodotion sic posuit: haec vocabitur mulier sumptio, quia de viro suo sumpta est, Symmachus autem ita: haec vocabitur *ΙΣΣΑ*, quod est mulier a viro.

εἶτα διαγράφων

ὃ δεῖ εἶναι ἐν τοῖς ὑπὸ θεοῦ συνεζευγμένοις ἀξίως τοῦ συνεζεῦχθαι ὑπὸ θεοῦ, ἐπιφέρει ὁ σωτὴρ τὸ ὥστε οὐκέτι εἰσὶ δύο. καὶ ὅπου γε ὁμόνοια καὶ συμφωνία καὶ ἁρμονία ἀνδρός ἐστι πρὸς γυναῖκα ⟨καὶ γυναικὸς πρὸς ἄνδρα⟩, τοῦ μὲν ὡς ἄρχοντος, τῆς δὲ ⟨ὡς⟩ πειθομένης τῷ »αὐτός σου κυριεύσει«, ἀληθῶς ἔστιν εἰπεῖν ἐπὶ τῶν τοιούτων τὸ οὐκέτι εἰσὶ δύο.

et quod debet esse inter eos, qui ex deo iunguntur, dignum deo qui iunxit, addi[di]t dicens: *itaque iam non sunt duo.* ubi enim concordia est et consensus ⟨et concentus⟩ viri ad mulierem et mulieris ad virum. huius quidem quasi principis, illius autem quasi obsequentis secundum quod dictum est: »et ipse tui dominabitur«, vere de eis dicitur: *iam non sunt duo.*

εἶτ' ἐπεὶ ἔδει τηρεῖσθαι τῷ κολλωμένῳ κυρίῳ τὸ γενέσθαι αὐτὸν πρὸς αὐτὸν »ἓν πνεῦμα«, λέλεκται ἐπὶ τῶν ὑπὸ τοῦ θεοῦ συνεζευγμένων μετὰ τὸ ὥστε οὐκέτι εἰσὶ δύο τὸ ἀλλὰ σὰρξ μία.

καὶ ὁ θεός ἐστιν ὁ συζεύξας τὰ δύο εἰς ἕν, | ἵνα μηκέτι ὦσι δύο,

ergo *deus* est qui *coniunxit* duos in unum, ut iam non sint *duo,* 639

15—327, 18 Vgl. C^{v} Nr. 21 Or. — 20 Gen. 3, 16 — 23 ff Vgl. I. Kor. 6, 17

16 *γε*] *μὲν* C^{v} Nr. 21 *enim* lat. 18 ⟨*καὶ—ἄνδρα*⟩ Kl, vgl. lat. 19 ⟨*ὡς*⟩ Kl mit C^{v} Nr. 21, vgl. lat. 21 *ἀληθῶς* H | *εἰπεῖν* < M 25 *κυρίῳ* Kl mit C^{v} Nr. 21 *θεῷ* M H | *τὸ* Kl mit C^{v} Nr. 21 *τῷ* M H 28 *τὸ*[1] < M 30 *καὶ* + *ἐπειδὴ* C^{v} Nr. 21

3. 5 *ΜΗΙΣ* Kl ΝΗΕΙC B ΑΙΝΕΙΕ L *Eio* R G 6 unde + et B 14 addi[di]t Diehl, vgl. gr. 16 ⟨et concentus⟩ Diehl Kl, vgl. gr.

⟨ὅπου⟩ »παρὰ θεοῦ ἁρμόζεται ἀνδρὶ
γυνή«. καὶ ἐπεὶ ὁ θεὸς συνέζευξε,
διὰ τοῦτο χάρισμά ἐστιν ἐν τοῖς ὑπὸ
θεοῦ συνεζευγμένοις· ὅπερ ὁ Παῦλος
5 ἐπιστάμενος
ἐπίσης τῷ εἶναι
τὴν ἁγνὴν ἀγαμίαν χάρισμά
φησι καὶ τὸν κατὰ λόγον θεοῦ
γάμον εἶναι χάρισμα.
10 φάσκων· »θέλω δὲ πάντας ἀνθρώ-
πους εἶναι ὡς ἐμαυτόν, ἀλλ' ἕκαστος
ἴδιον ἔχει χάρισμα ἐκ θεοῦ. ὃς μὲν
οὕτως, ὃς δὲ οὕτως«. οἱ δὲ ὑπὸ θεοῦ
συνεζευγμένοι καὶ φρονοῦσι καὶ
15 ποιοῦσι

τὸ »οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυ-
ναῖκας, ὡς καὶ ὁ Χριστὸς τὴν ἐκ-
κλησίαν«.
20

ὁ μὲν οὖν σωτὴρ ἐνετείλατο,
ἵν' ὅπερ ὁ θεὸς συνέζευξεν,
ἄνθρωπος μὴ χωρίζῃ· ἄνθρω-
25 πος δὲ χωρίζειν βούλεται ὃ ὁ θεὸς
συνέζευξεν, ὅτε ἀποστὰς »τῆς«
ὑγιοῦς »πίστεως«, προσέχων »πνεύ-
μασι πλάνης καὶ διδασκαλίαις δαι-
μονίων, ἐν ὑποκρίσει ψευδολόγων,
30 κεκαυτηριασμένων τὴν ἰδίαν συνεί-
δησιν, κωλυόντων« οὐ πορνεύειν
μόνον ἀλλὰ καὶ »γαμεῖν«, διαλύει καὶ
τοὺς φθάσαντας τῇ προνοίᾳ συνεζεῦχ-
θαι τοῦ θεοῦ. ταῦτα μὲν οὖν τηρου-
35 μένων τῶν ῥητῶν εἰς τὰ περὶ ἄρρενος

ubi »ex deo conparatur uxor viro«.
et quoniam *deus coniunxit*, ideo
gratia est in eis quos *deus con-
iunxit*. quod Paulus sciens

castam

coniunctionem gratiam appellavit,
dicens: »volo omnes ⟨homines⟩
esse sicut meipsum, sed unusquis-
que propriam habet gratiam ex
deo, alius quidem sic, alius autem
sic«. qui enim ex deo sunt iuncti
et sapiunt et faciunt
quod mandat apostolus:
»viri, diligite uxores vestras, sicut
et Christus dilexit ecclesiam«,
item: »mulier ut timeat virum«,
sicut ecclesia Christum, eorum
coniunctio gratia dei est.

1 Vgl. Prov. 19, 11 — 10 I. Kor. 7, 7 — 17 Eph. 5, 25 — 19 Eph. 5, 33 —
26 I. Tim. 4, 1—3

1 ⟨ὅπου⟩ παρὰ θεοῦ Kl, vgl. lat. παρ' οὗ MH 8 τὸν < H^a 18 Χριστὸς ⟨ἠγάπη-
σεν⟩ Koe, vgl. lat. 30 ἰδίαν] οἰκεῖαν M

10 ⟨homines⟩ Kl, vgl. gr. 18 et < G L

καὶ θήλεος, καὶ ἀνδρὸς καὶ γυναικός, ὡς ἐδίδαξεν ὁ σωτὴρ ἐν τῇ πρὸς τοὺς Φαρισαίους ἀποκρίσει, λελέχθω.

5 17. *Ἐπεὶ δὲ ὁ ἀπόστολος »εἰς τὸν Χριστὸν« ἐκλαμβάνει καὶ τὴν ἐκκλησίαν« τὸ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, λεκτέον ὅτι οὐκ ἀπέλυσεν ὁ Χριστὸς τὴν προτέ-* 10 *ραν (ἵν' οὕτως ὀνομάσω) γυναῖκα αὐτοῦ (τὴν προτέραν συναγωγὴν) κατ' ἄλλην αἰτίαν, τηρῶν τὸ ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω, ἢ ὅτε ἐπόρνευσεν* 15 *ἐκείνη ἡ γυνὴ μοιχευθεῖσα ὑπὸ τοῦ πονηροῦ καὶ μετ' ἐκείνου ἐπιβουλεύσασα τῷ ἀνδρὶ καὶ ἀποκτείνασα αὐτὸν ἐν τῷ λέγειν· »αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον« ⟨καὶ⟩· »σταύρου* 20 *σταύρου αὐτόν«. ἐκείνη οὖν ἑαυτὴν ἀπέστησε μᾶλλον ἢ ὁ ἀνὴρ αὐτὴν ἀπέστειλεν ἀπολύσας·*

διόπερ ὀνειδίζων αὐτῇ ἀποστάσῃ 25 *αὐτοῦ ἐν Ἡσαΐᾳ φησί· »ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἀπέστειλα αὐτήν;« καὶ ὁ κτίσας γε ἀπ' ἀρχῆς τὸν κατ' εἰκόνα (ὡς »ἐν μορφῇ | θεοῦ ὑπάρ-* 30 *χων«) ἄρρεν αὐτὸν ἐποίησε καὶ θῆλυ τὴν ἐκκλησίαν, ἓν τὸ κατ' εἰκόνα ἀμφοτέροις χαρισάμενος.*

17. Sed quoniam apostolus profert: »et erunt duo in carne una. sacramentum hoc magnum est, ego autem puto in Christo et in ecclesia«, dicendum est quoniam non dimisit Christus primam ⟨ut ita dicam⟩ uxorem suam (id est primam synagogam) secundum aliam speciem spiritalem servans quod dictum est: *quod deus coniunxit, homo non separet,* nisi quando adultera⟨ta⟩ est uxor illa corrupta ab adultero inimico, cuius consilio et insidiata est viro et interficere eum voluit dicens: »tolle de terra huiusmodi«, et: »crucifige, crucifige eum«. illa ergo se potius abstinuit, quam vir eius eam dimisit.

640

5ff Vgl. Eph. 5, 31. 32 — 18f Luc. 23, 18 (vgl. Act. 22, 22). 21 — 24 Jes. 50, 1 — 28f Vgl. Phil. 2, 6

3 *ἀποκρίσῃ* H 12 *ὃ οὖν* Kl, vgl. lat. *οὗς* M H 16 *ἐπιβουλεύουσα . . . ἀποκτείνουσα* M 19 ⟨*καὶ*⟩ Kl Koe, vgl. lat. 25 *τὸ* < H 27 *ἡμῶν* H[a] 29 *ὡς* Kl *ὅς* M H

10 ⟨ut—dicam⟩ Diehl, vgl. gr. 13 spiritalem] zu streichen? Kl, vgl. gr. 16 adultera⟨ta⟩ Kl, vgl. gr. 22 se < L

καὶ καταλέλοιπέ γε διὰ τὴν ἐκκλη-
σίαν κύριος ὁ ἀνὴρ πρὸς ὃν ἦν πα-
τέρα ὅτε »ἐν μορφῇ θεοῦ« ὑπῆρχε,
καταλέλοιπε δὲ καὶ τὴν *μητέρα*,
5 καὶ αὐτὸς υἱὸς ὢν τῆς ἄνω Ἱερου-
σαλήμ,

καὶ *ἐκολλήθη τῇ* ἐνταῦθα κατα-
πεσούσῃ *γυναικὶ αὐτοῦ*, καὶ *γεγό-*
10 *νασιν* ἐνθάδε *οἱ δύο εἰς σάρκα*
μίαν. διὰ γὰρ αὐτὴν γέγονε καὶ
αὐτὸς σάρξ, ὅτε »ὁ λόγος σὰρξ
ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν«,
καὶ *οὐκέτι γέ εἰσι δύο*, ἀλλὰ νῦν
15 *μία γέ ἐστι σάρξ*. ἐπεὶ τῇ γυναικὶ
⟨ἐκκλησίᾳ⟩ λέγεται τὸ »ὑμεῖς δέ
ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ
μέρους«· οὐ γάρ ἐστί τι ἰδίᾳ
σῶμα Χριστοῦ ἕτερον παρὰ τὴν
20 ἐκκλησίαν οὖσαν »σῶμα« αὐτοῦ »καὶ
μέλη ἐκ μέρους«· καὶ ὁ θεός γε
τούτους
τοὺς *μὴ δύο*, ἀλλὰ γενομένους
σάρκα μίαν
25 *συνέζευξεν*, ἐντελλόμενος ἵνα *ἄν-*
θρωπος μὴ χωρίζῃ τὴν ἐκκλησίαν
ἀπὸ τοῦ κυρίου.

καὶ ὁ προσέχων γε ἑαυτῷ ὡς μὴ
30 χωρισθῆναι ⟨ἀπὸ τοῦ Χριστοῦ⟩,
θαρρεῖ ὡς μὴ χω-ρισθησόμενος καί

et reliquit propter ecclesiam Chri-
stus vir patrem, cum quo erat,
»cum in forma dei esset«, reliquit
etiam *matrem*, cum esset et ipse
filius Hierusalem quae erat sur-
sum,
secundum corpus,
et coniunctus est *uxori suae* isti
quae ceciderat huc, et facti sunt
⟨hic⟩ *duo in carne una*. prop-
ter eam enim et ipse »caro est
factus«, cum esset verbum,
»et habitavit in nobis«,

et *sunt una caro*, quoniam de
muliere ecclesia dicitur: »vos estis
corpus Christi et membra ex
membro«. nec est ⟨aliquid⟩ aliud
corpus Christi a corpore ecclesiae,
sed unum sunt corpus,
et deus
illos

univit, mandans ut homo non
separet ecclesiam a Christo,

quos deus coniunxit.
unde omnis anima quae cogno-
scit se inseparabilem esse a Christo
*** sic dicit: »quis nos separabit a

1ff Vgl. Orig. hom. X, 7 in Jer. (III, 77, 12ff): καταλείπει »τὸν πατέρα καὶ τὴν μητέρα«, τὴν ἄνω Ἱερουσαλὴμ κτλ. — 2 Vgl. Joh. 1, 1 — 3 Phil. 2, 6 — 12 Joh. 1, 14 — 16 I. Kor. 12, 27 — 31 Röm. 8, 35

2 πρὸς ὃν ἦν πατέρα Kl, vgl. lat. πρα ὃν ἑώρα M (H) 14 νῦν < H^a 16 ⟨ἐκκλησίᾳ⟩ Koe, vgl. lat. 19 Χριστοῦ σῶμα H 20 αὐτῆς M 23 μὴ < H 27 τοῦ < H 30 ⟨ἀπὸ τοῦ Χριστοῦ⟩ Koe, vgl. lat.

10 ⟨hic⟩ Koe, vgl. gr. 10f propter eam Koe, vgl. gr. propterea x 17 ex membro] lat. las ἐκ μέλους 18 ⟨aliquid⟩ Diehl, vgl. gr. 28 quos] quod R 31 *** Diehl Kl, vgl. gr.

φησι· »τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;«

caritate Christi?

5

tribulatio an angustia«? et cetera, et: »confido, quia neque mors neque vita« neque aliquid eorum, quae sequuntur, »poterit nos separare a caritate dei, quae est in Christo Iesu«.

ἐνταῦθα μὲν οὖν γέγραπται πρὸς
10 τοὺς Φαρισαίους λεγόμενον τὸ ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· λέγοιτο δ' ἂν πρὸς τοὺς Φαρισαίων κρείττονας· ὃ οὖν ὁ θεὸς συνέζευξεν, μηδὲν
15 χωριζέτω, μήτε ἀρχή, μήτε ἐξουσία· ἰσχυρότερος γὰρ ὁ συζεύξας θεὸς πάντων, ὧν ἂν ὀνομάσαι τις νοήσας αὐτὰ δυνηθῇ.

18. *Μετὰ ταῦτα διαληψόμεθα*
20 τὸν τῶν Φαρισαίων λόγον ὃν εἶπον τῷ Ἰησοῦ· τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπολῦσαι; εὐλόγως δ' εἰς τοῦτο παραληψόμεθα
25 τὴν ἀπὸ τοῦ Δευτερονομίου λέξιν περὶ τοῦ τῆς ἀποστασίας βιβλίου ἔχουσαν οὕτως· »ἐὰν δὲ λάβῃ τις γυναῖκα καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον
30 αὐτοῦ ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ οὐ μιανεῖτε τὴν γῆν ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ«. ζητῶ δὲ ἐν τοῖς κατὰ τὸν νόμον
35 τοῦτον, πότερον οὐδὲν πέρα τῆς

18. Post haec accedamus ad verbum Pharisaeorum quod dixerunt ad Iesum: *quid ergo Moyses praecepit dare libellum repudii et dimittere?*

4 Röm. 8, 38 — 15 Vgl. Kol. 1, 16 — 27 Deut. 24, 1 — 31 Deut. 24, 4

13 *κρείττονας* + *μήτε ἀρχὴ μήτε ἐξουσία, ἰσχυρότερος γὰρ* H[a] 21 *Ἰησοῦ* + *ἐν τῷ* H | *μωυσῆς* M

λέξεως χρὴ ζητεῖν ἐν αὐτῷ (ἐπεὶ μὴ ὁ θεὸς ἔδωκεν αὐτόν), ἢ πρὸς μὲν τοὺς Φαρισαίους ἀναγκαίως εἴρηται (χρησαμένους τῷ Μωσῆς ἐνετεί-
5 λατο δοῦναι βιβλίον ἀποστασίου καὶ | ἀπολῦσαι) τὸ ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν·
10 ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. ἐὰν δέ τις ἐπὶ τὸ εὐαγγέλιον ἀναβῇ Χριστοῦ Ἰησοῦ, διδάσκον ὅτι »ὁ νόμος πνευματικός ἐστι«, καὶ τούτου ζητήσει τοῦ νόμου
15 πνευματικὸν νοῦν. φήσει δὲ καὶ ταῦτα ὁ θέλων τροπολογεῖν ὅτι, ὥσπερ τῷ Παύλῳ θαρροῦντι ἐφ' ᾗ εἶχε θείᾳ χάριτι λέλεκται τὸ »γυνὴ δέδεται ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ
20 αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ. μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα
25 θεοῦ ἔχειν« (ἐν τούτοις γὰρ τῷ »κατὰ τὴν ἐμὴν γνώμην«, ἵνα μὴ καταφρονηθῇ ὡς κενὴ πνεύματος θεοῦ, καλῶς ἐπήγαγε τὸ »δοκῶ κἀγὼ πνεῦμα θεοῦ ἔχειν«), οὕτως
30 καὶ Μωσεῖ διὰ τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν νομοθετεῖν, ὥστε αὐτὸν καὶ πρὸς τὴν σκληροκαρδίαν τοῦ λαοῦ ἐπιτρέψαι τινά, ἐν οἷς ἦν καὶ τὸ ἀπολύειν τὰς γυναῖκας,
35 ἣν ἂν πείθεσθαι, ἐφ' οἷς κατὰ τὴν

641

13 Röm. 7, 14 — 18 I. Kor. 7, 39f

24 δωκῶ H[a] 25 τῷ Kl τὸ M H
30 μωσῇ M 35f τὴν αὐτὴν M

αὐτοῦ γνώμην ἐνομοθέτει. ὡς καὶ
ἐν τούτοις μετὰ πνεύματος θεοῦ
τῆς νομοθεσίας γενομένης. καὶ ἐρεῖ
ὅτι, εἰ οὖν τὶς μὲν νόμος πνευματι-
5 κός ἐστι, τὶς δὲ οὐκ ἔστι τοιοῦτος,
νόμος δέ ἐστι καὶ οὗτος, πνευμα-
τικός ἐστι καὶ οὗτος, καὶ ζητητέον
αὐτοῦ τὸ πνευματικόν.

19. Μεμνημένοι δὲ τῶν ἀνω-
10 τέρω ἡμῖν λελεγμένων εἰς τὸ τοῦ
Ἠσαΐου περὶ τοῦ βιβλίου τῆς ἀπο-
στασίας ῥητὸν φήσομεν ὅτι ἑαυτὴν
ἀπέστησεν ἀνδρὸς τοῦ Χριστοῦ ἡ
μήτηρ τοῦ λαοῦ, μὴ λαβοῦσα τὸ τῆς
15 ἀποστασίας βιβλίον. ὕστερον δέ, ὅτε
εὑρέθη ἐν αὐτῇ »ἄσχημον πρᾶγμα« καὶ
οὐχ εὗρε »χάριν ἐναντίον αὐτοῦ«, ἐ-
γράφη αὐτῇ βιβλίον ἀποστασίου.
δυνάμει γὰρ ἡ καινὴ διαθήκη, τοὺς
20 ἀπὸ τῶν ἐθνῶν καλοῦσα εἰς τὴν
οἰκίαν τοῦ τὴν προτέραν γυναῖκα
ἀποβεβληκότος, τὸ βιβλίον τοῦ ἀπο-
στασίου δέδωκε τῇ προτέρᾳ ἀπο-
στάσῃ τοῦ ἀνδρὸς νόμου καὶ λόγου.
25 διὸ καὶ αὐτὸς αὐτῆς ἀποστὰς ἔγημεν
(ἵν' οὕτως ὀνομάσω) ἑτέραν, δοὺς
»εἰς τὰς χεῖρας« τῆς προτέρας τὸ τοῦ
ἀποστασίου βιβλίον· διὸ μηκέτι
δύνανται πράσσειν τὰ κατὰ τὸν
30 νόμον αὐτοῖς προστεταγμένα διὰ
τὸ βιβλίον τοῦ ἀποστασίου. καὶ ση-
μεῖον τοῦ εἰληφέναι αὐτὴν βιβλίον
ἀποστασίου τὸ Ἱερουσαλὴμ μὲν
καθῃρῆσθαι μετὰ τοῦ κληθέντος ὑπ'
35 ἐκείνων ἁγιάσματος ⟨καὶ τῶν⟩ ἐν
αὐτῷ πεπι|στευμένων γεγονέναι σεμ- 642

4 Vgl. Röm. 7, 14 — 9f S. 325, 24ff — 16f. 27 Vgl. Deut. 24, 1

3 γινομένης M 4 οὖν Koe οὐχὶ M H 7 οὕτως M[a] 35 ⟨καὶ τῶν⟩ Kl nach Koe

νῶν καὶ τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων καὶ πάσης τῆς παρ' αὐτῷ λατρείας. σημεῖον δὲ τοῦ βιβλίου τῆς ἀποστασίας καὶ τὸ μήτε ἑορτά-
5 ζειν αὐτοὺς δύνασθαι κἂν κατὰ τὸ γράμμα. τοῦ βουλήματος τοῦ νόμου προστάξαντος »ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός« ἑορτάζειν αὐτούς. ἀλλὰ καὶ τὸ πᾶσαν τὴν συνα-
10 γωγὴν λιθοβολεῖν τοὺς ⟨τάδε ἢ⟩ τάδε ἡμαρτηκότας γενέσθαι μὴ δυνάμενον καὶ ἄλλα δὲ μυρία τῶν προστεταγμένων. σημεῖόν ἐστι τοῦ βιβλίου τῆς ἀποστασίας. καὶ ὅτι »οὐκ
15 ἔστιν ἔτι προφήτης«, καὶ ὅτι λέγουσι· »σημεῖα οὐκ εἴδομεν« ἔτι· ἀφεῖλε γὰρ (φησὶ) κύριος »ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ (κατὰ τὸν τοῦ Ἡσαΐου λόγον)
20 ἰσχύοντα καὶ ἰσχύουσαν, γίγαντα καὶ ἰσχύοντα« καὶ τὰ λοιπὰ μέχρι συνετοῦ ἀκροατοῦ.

Δύναται δὲ πρῶτον μὲν εἰληφέναι γυναῖκα τὴν συναγωγὴν καὶ
25 συνῳκηκέναι αὐτῇ ὁ Χριστός, ὕστερον δὲ ἐκείνην μὴ εὑρηκέναι »χάριν ἐναντίον αὐτοῦ«· ἡ δὲ αἰτία τοῦ μὴ εὑρηκέναι ⟨αὐ⟩τὴν »χάριν ἐναντίον αὐτοῦ« τὸ εὑρεθῆναι »ἐν αὐτῇ ἄσχημον
30 πρᾶγμα«. τί γὰρ ἀσχημονέστερον τοῦ (προκειμένου ἀπολῦσαι ἐν τῇ ἑορτῇ ἕνα) ἀπολῦσαι μὲν αὐτοὺς

7 Deut. 14, 22; 16, 1 — **9f** Vgl. Lev. 24 u. ö. — **13ff** Vgl. Orig. hom. IV, 2 in Jer. (III, 24, 27ff): *καὶ ἐπεὶ ἔλαβον τὸ βιβλίον τοῦ ἀποστασίου, διὰ τοῦτο ἐγκατελείφθησαν πάντῃ κτλ.* — **14f** Ps. 73, 9 — **16ff** Jes. 3, 1—3 — **17ff** Vgl. Orig. hom. IV, 2 in Jer. — **26ff** Vgl. Deut. 24, 1 — **30ff** Vgl. Matth. 27, 15f

10 ⟨*τάδε ἢ*⟩ Koe **21** *καὶ ἰσχύοντα* Kl *κατισχύοντα* M H **23** *πρῶτον* (= α) Diehl Koe *ὁ* M H **28** ⟨*αὐ*⟩*τὴν* Kl **32** *μὲν* < M

ἠξιωκέναι Βαραβᾶν τὸν λῃστήν, καταδικάσαι δὲ Ἰησοῦν; καὶ τί ἀσχημονέστερον τοῦ πάντας εἰρηκέναι ἐπ' αὐτῷ »σταύρου, σταύρου αὐτόν« 5 καὶ »αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον«; πῶς δὲ οὐκ ἂν ἄσχημον καὶ τὸ »τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν«; διὸ ἐκδικουμένου αὐτοῦ ἐκυκλώθη »ὑπὸ στρατοπέδων Ἱερου- 10 σαλὴμ« καὶ ἐπέστη »ἡ ἐρήμωσις αὐτῆς«, καὶ ἀφείθη αὐτοῖς »ὁ οἶκος« αὐτῶν, καὶ ἐγκατελείφθη »ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυη- 15 λάτῳ, καὶ ὡς πόλις πολιορκουμένη«. κατὰ τὸν αὐτὸν δὲ (οἶμαι) καιρὸν τῇ μὲν προτέρᾳ γυναικὶ ἔγραψεν ὁ ἀνὴρ »βιβλίον ἀποστασίου« καὶ ἔδωκεν »εἰς τὰς χεῖρας αὐτῆς« καὶ 20 ἐξαπέστειλεν »αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ«, τῆς δὲ ἀπὸ τῶν ἐθνῶν ἀπαλήλιπται τὸ χειρόγραφον· περὶ οὗ φησιν ὁ ἀπόστολος τὸ »ἐξαλείψας τὸ χειρόγραφον τοῖς δόγμα- 25 σιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ«. καὶ Παῦλος γὰρ εἰς τὴν ἀπὸ τῶν ἐθνῶν *** προσήλυτοι ἐγένοντο τοῦ Ἰσραήλ. 30 ἐξῆλθε τοίνυν ἡ προτέρα γυνὴ ἡ μὴ »εὑροῦσα χάριν ἐναντίον« τοῦ ἀνδρὸς τῷ εὑρῆσθαι »ἐν αὐτῇ ἄσχημον

4f Luc. 23, 21. 18 (vgl. Act. 22, 22) — **6ff** Matth. 27, 25 — **9ff** Luc. 21, 20 — **11** Vgl. Matth. 23, 38 Parr. — **12** Jes. 1, 8 — **18ff** Vgl. Deut. 24, 1 — **23** Kol. 2, 14 — **31ff** Vgl. Deut. 24, 1

6 τὸ[1] < M **10** ἐρήμωσης H **11** αὐτῆς H **17** ἔγραψεν M w. e. sch. ἔγραφεν H **27** αὐτῶ H[a] **28** *** Hu ⟨καὶ ἕτεροι⟩ ϱ **29** ἐγίνοντο H

πρᾶγμα«. ἀπὸ »τῆς οἰκίας« τοῦ ἀνδρός. »καὶ ἀπελθοῦσα« γεγένηται »ἀνδρὶ ἑτέρῳ« ᾧ ἑαυτὴν ὑπέταξεν, εἴτε Βαραβᾶν τὸν λῃστὴν χρὴ λέγειν
5 τὸν ἄνδρα (ὄντα τροπικῶς τὸν διάβολον) εἴτε τινὰ δύναμιν πονηράν. 643
καὶ ἐπὶ τινῶν μὲν τῆς συναγωγῆς ἐκείνης συμβέβηκε τὸ πρότερον ἐν τῷ νόμῳ γεγραμμένον, ἐφ' ἑτέρων
10 δὲ τὸ δεύτερον· ὁ γὰρ ἔσχατος ἀνὴρ ἐμίσησε τὴν γυναῖκα »καὶ γράψει αὐτῇ« ποτε ἐπὶ τέλει τῶν πραγμάτων »βιβλίον ἀποστασίου (τοῦτο οἰκονομοῦντος τοῦ θεοῦ)
15 καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ«· ὡς γὰρ »ἔχθραν« ὁ ἀγαθὸς θεὸς θήσει »ἀνὰ μέσον« τοῦ ὄφεως καὶ »τῆς γυναικὸς καὶ ἀνὰ μέσον
20 τοῦ σπέρματος« αὐτοῦ, »καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς«. οὕτως οἰκονομήσει, ἵνα »μισήσῃ αὐτὴν ὁ ἀνὴρ ὁ ἔσχατος«.

20. Εἰσὶ δὲ οἷς συμβέβηκε
25 συνοικεῖν τὸν ἄνδρα μὴ μισήσαντα αὐτοὺς τῷ παραμεῖναι ἐν τῷ οἴκῳ τοῦ ἐσχάτου ἀνδρὸς καὶ λαβόντος αὐτῶν τὴν συναγωγὴν ἑαυτῷ γυναῖκα. ἀλλὰ καὶ ἐπὶ τούτων ἀποθνή-
30 σκει ὁ ἔσχατος ἀνήρ, τάχα ἡνίκα ἂν »ὁ ἔσχατος ἐχθρὸς Χριστοῦ καταργηθῇ θάνατος«. ὁπότερον δὲ τούτων ἂν γένηται εἴτε τὸ πρότερον εἴτε τὸ τελευταῖον τῇ γυναικί, »οὐ δυνή-
35 σεται (φησὶν) ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέ-

1ff Vgl. Deut. 24, 2 — 11ff Deut. 24, 3 — 17ff Gen. 3, 15 — 22 Deut. 24, 3 — 29 Vgl. Deut. 24, 3 — 31 I. Kor. 15, 26 — 34 Deut. 24, 4

8 συμβέβηκεν H[a] 12 γράψει Kl γράφει M H 31 καταργῇ H

ψας λαβεῖν αὐτὴν τοῦ εἶναι ἑαυτῷ
γυναῖκα μετὰ τὸ μιανθῆναι αὐτήν,
ὅτι βδέλυγμα (φησὶν) ἐστὶν ἐναντίον
κυρίου τοῦ θεοῦ σου«. ἀλλὰ ταῦτα
5 δόξει μὴ κατάλληλα εἶναι τῷ »ἐὰν τὸ
πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, πᾶς ὁ
Ἰσραὴλ σωθήσεται«. ὅρα δὲ εἰ δύ-
ναται καὶ πρὸς τοῦτο λέγεσθαι ὅτι
πάντως, εἰ σωθήσεται, τῷ τὸν
10 ἄνδρα αὐτῆς τὸν πρότερον ἐπανα-
στρέψαντα »λαβεῖν αὐτὴν τοῦ εἶναι
αὐτῷ γυναῖκα μετὰ τὸ μιανθῆναι
αὐτὴν« σωθήσεται. ἱερεὺς μὲν οὖν
»πόρνην« καὶ »ἐκβεβλημένην« »οὐ λήψε-
15 ται« ἑαυτῷ γυναῖκα, ⟨ἄλλος⟩ δέ τις
οὐ κωλύεται (ὡς ὑποβεβηκὼς τὸν
ἱερέα) ποιῆσαι τὸ τοιοῦτον. ἀλλ'
ἐὰν περὶ τῆς τῶν ἐθνῶν κλήσεως τὸ
»πόρνην« ζητῇς, χρήσῃ τῷ »λάβε
20 σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα
πορνείας« καὶ τοῖς ἑξῆς. ὡς γὰρ »οἱ
ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον
βεβηλοῦντες ἀναίτιοί εἰσιν«, οὕτως
ἐν καιρῷ λαμβάνων γυναῖκα πορ-
25 νείας ὁ ἐκβάλλων τὴν προτέραν γυ-
ναῖκα [καὶ] ἀναίτιός ἐστι, ποιήσας
αὐτὸ κατὰ τὴν πρόσταξιν τοῦ (ὅτ'
ἔδει) εἰπόντος (καὶ ἕως ἐχρῆν) τὸ γυ-
ναῖκα »πόρνην οὐ λήψεται«, καὶ (ὅτε
30 εὔλογον ἦν) φήσαντος »λάβε σεαυτῷ
γυναῖκα πορνείας«. ὡς γὰρ »κύριός
ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ
ἀνθρώπου« καὶ οὐ δοῦλος τοῦ
σαββάτου ὡς ὁ λαός, οὕτως κύριός

5 Röm. 11, 25f — 11 Deut. 24, 4 — 13f Vgl. Lev. 21, 14 — 19. 30 Hos. 1, 2 — 21 Matth. 12, 5 — 29 Vgl. Lev. 21, 14 — 33 Vgl. Matth. 12, 8 Parr.

1 αὐτῷ M 1. 11 τοῦ Diehl Kl τῷ M H 15 ⟨ἄλλος⟩ Hu 26 [καὶ] Kl 27 ὅτ' ἔδει Kl ὅτι δεῖ M H 30 φήσαντος Kl φησὶ τὸ M H

ἐστιν ὁ τὸν νόμον διδοὺς διδόναι μὲν «ἄχρι καιροῦ διορθώσεως« καὶ ἀλλάσσειν νόμον, ἐπιστάντος δὲ τοῦ καιροῦ τῆς διορθώσεως καὶ διδόναι
5 μετὰ τὴν προτέραν ὁδὸν καὶ μετὰ τὴν προτέραν καρδίαν »ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν« »καιρῷ | δεκτῷ« 644
»καὶ ἐν ἡμέρᾳ σωτηρίας«. καὶ ταῦτα μὲν κατὰ μίαν διήγησιν λελέχθω εἰς
10 τὸν περὶ τοῦ βιβλίου τῆς ἀποστασίας νόμον.

21. Ζητήσαι δ᾽ ἄν τις, εἰ δύναται ἡ ἀνθρωπίνη ψυχὴ τροπικῶς λέγεσθαι γυνὴ καὶ ὁ προϊστάμενος
15 αὐτῆς ἄγγελος καὶ ἄρχων αὐτῆς (πρὸς ὃν »ἡ ἀναστροφὴ« γίνεται αὐτῆς κατακυριεύοντα αὐτῆς) ἀνήρ, ὡς κατὰ τοῦτο ἕκαστον νομίμως συνοικεῖν τῇ ψυχῇ τῇ ἀξίᾳ προστα-
20 σίας θείου ἀγγέλου. γένοιτο δ᾽ ἂν ποτε καὶ μετὰ τὴν ἐπὶ πλεῖον διατριβὴν καὶ συνοίκησιν αἰτία ἐν ψυχῇ τοῦ μὴ εὑρίσκειν »χάριν ἐναντίον« τοῦ κυριεύοντος καὶ ἄρχοντος
25 αὐτῆς ἀγγέλου τὸ εὑρίσκεσθαι »ἐν αὐτῇ ἄσχημον πρᾶγμα«, καὶ γράφοιτο ἂν ὡς γράφεται χειρόγραφα, γράφοιτο δὲ »βιβλίον ἀποστασίου«, διδόμενον »εἰς τὰς χεῖρας« τῆς
30 ἐκβαλλομένης, ἵνα μηκέτι οἰκεία ᾖ τοῦ προτέρου προστάτου ἡ ἐξαποστελλομένη »ἐκ τῆς οἰκίας αὐτοῦ«. καὶ γένοιτο δ᾽ ἂν ἡ »ἀπελθοῦσα« ἀπὸ τῆς προτέρας οἰκίας »ἑτέρῳ«

2 Hebr. 9, 10 — Vgl. Act. 6, 14 ? — 6 Jer. 39, 39 — 7 Jes. 49, 8 — 16f Vgl. Gen. 3, 16 — 23ff Vgl. Deut. 24, 1 — 32ff Vgl. Deut. 24, 2

2f καὶ ἀλλάσσειν νόμον ∾ hinter διορθώσεως Z. 4 ? Kl 18 τοῦτο] τοῦ H | l. ἑκάστῃ ? Koe 21 καὶ < H

ἀνδρὶ καὶ ἀτυχῆσαι ἂν παρ' αὐτῷ, οὐ μόνον ὡς ἐπὶ τοῦ προτέρου μὴ εὑρίσκουσα »χάριν« ἐνώπιον αὐτοῦ τῷ εὑρίσκεσθαι »ἐν αὐτῇ ἄσχημον
5 πρᾶγμα«, ἀλλὰ καὶ μισουμένη ὑπ' αὐτοῦ. καὶ γράφοιτο δ' ἂν καὶ ἀπὸ τοῦ δευτέρου αὐτῇ »βιβλίον ἀποστασίου« καὶ διδοῖτο ἂν »εἰς τὰς χεῖρας αὐτῆς« ἀπὸ τοῦ ἐσχάτου
10 ἀνδρὸς ἐξαποστέλλοντος αὐτὴν »ἐκ τῆς οἰκίας αὐτοῦ«. εἰ δὲ δύναται γενέσθαι μετάστασις ζωῆς τῆς σὺν ἀνθρώποις ἀγγέλων, ὡς τοιοῦτον εἶναι καὶ τὸν αὐτῶν (ὅσον πρὸς τὴν καθ'
15 ἡμᾶς σχέσιν) θάνατον, τολμηρῶς μὲν πλὴν ὅμως ζητήσαι τις ἄν. ὅπως δ' ἂν γένηται, ἡ ἅπαξ ἀποπεσοῦσα προτέρου ἀνδρὸς οὐκ ἐπανελεύσεται πρὸς αὐτόν· »οὐ« γὰρ
20 »δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέψας λαβεῖν αὐτὴν τοῦ εἶναι αὐτῷ γυναῖκα μετὰ τὸ μιανθῆναι αὐτήν«. εἰ δὲ χρὴ τολμήσαντα καὶ ἀπό
25 τινος φερομένης μὲν ἐν ταῖς ἐκκλησίαις γραφῆς, οὐ παρὰ πᾶσι δὲ ὁμολογουμένης εἶναι θείας, τὸ τοιοῦτον παραμυθήσασθαι, ληφθείη ἂν τὸ ἀπὸ τοῦ Ποιμένος περί τινων ἅμα
30 μὲν τῷ πιστεύειν ὑπὸ τῷ Μιχαὴλ γινομένων, διὰ δὲ φιληδονίαν ἀποπιπτόντων ἐκείνου καὶ γινομένων ὑπὸ τὸν τῆς τρυφῆς, εἶτα ὑπὸ τὸν τῆς τιμωρίας, μεθ' ὃν ὑπὸ τὸν τῆς

3f Vgl. Deut. 24, 1 — **6ff** Vgl. Deut. 24, 3 — **19** Deut. 24, 4 — **29ff** Vgl. Hermas Sim. 8, 3, 3. Vgl. Harnack TU. 42, 4, 34

1 ἀτυχῆσαι Koe ἀτυχήσῃ M H
4 τῷ Kl τοῦ M H **25** τῇ ἐκκλησίᾳ H
31 γενομένων M **33** τὸν[1]] τῶν H

μετανοίας. ὁρᾷς γὰρ ὅτι οὐκέτι μὲν
ἐπανέρχεται ἐπὶ τὸν πρῶτον ἄρχοντα
ἡ ἅπαξ τρυφήσασα γυνὴ ἤτοι ψυχή.
ἀλλὰ καὶ μετὰ τιμωρίας ὑπό τινα
5 ὑποδεέστερον γίνεται παρὰ τὸν Μι-
χαήλ· ὑποδεέστερος γὰρ ἐκείνου ὁ
τῆς μετανοίας. προσεκτέον οὖν ἡμῖν
μήποτε εὑρεθῇ ἐν ἡμῖν | »ἄσχημον 645
πρᾶγμα«, καὶ μὴ εὕρωμεν »χάριν«
10 ἐνώπιον ἀνδρός. τοῦ Χριστοῦ ἢ τοῦ
τεταγμένου ἐφ' ἡμῖν ἀγγέλου· ἐὰν
γὰρ μὴ προσέχωμεν, τάχα καὶ
ἡμεῖς τὸ βιβλίον τοῦ ἀποστασίου
ληψόμεθα, καὶ ἢ χηρεύσομεν προ-
15 στάτου ἢ ἐπὶ ἄνδρα ἕτερον ἐλευ-
σόμεθα — ἐγὼ δὲ ἡγοῦμαι ὅτι οὐκ
αἴσιον τοῦτο (ἵν' οὕτως ὀνο-
μάσω) — ληψόμενοι ἀγγέλου[ς] πρὸς
τὴν ἡμετέραν ψυχὴν γάμον.
20 22. Γενόμενος δὲ κατὰ τὸν
τόπον εἴποιμ' ἂν ὅτι ζητούμενόν τι
κατὰ τὴν τοῦ ἀποστόλου περὶ τῶν
ἐκκλησιαστικῶν πραγμάτων νομο-
θεσίαν τάχα ἤδη νοῆσαι καὶ σαφῶς
25 παραστῆσαι (δύσληπτον καὶ δυσθεώ-
ρητον τυγχάνον) δυνησόμεθα. οὐδένα
γὰρ τῶν ἀπὸ τῆς ἐκκλησίας ὑπερο-
χήν τινα παρὰ τοὺς πολλοὺς ὡς
ἐν συμβόλοις ἀνειληφότα βούλεται
30 ὁ Παῦλος δευτέρου πεπειρᾶσθαι
γάμου. περὶ μὲν γὰρ ἐπισκόπων
νομοθετῶν ἐν τῇ πρὸς Τιμόθεον
προτέρᾳ φησίν· »εἴ τις ἐπισκοπῆς
ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ.

8ff Vgl. Deut. 24, 1 — 33 I. Tim. 3. 1—2

1 l. μετανοίας ⟨ἄγγελον⟩ mit Koe, vgl. Hermas Sim. 5, 7 4 καὶ < M 12 προσέχομεν M 17 f τοῦτο⟨ν⟩ . . . ἀγγέλου[ς] Hu 29 ἀνειληφότων ? Diehl

δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον
εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφά-
λιον, σώφρονα« καὶ τὰ ἑξῆς. περὶ
δὲ διακόνων »διάκονοι« φησὶν »ἔστω-
5 σαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων
καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων
οἴκων« καὶ τὰ λοιπά. καὶ χήρας δὲ
καθιστὰς »χήρα« φησὶν ἔστω »μὴ
ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα,
10 ἑνὸς ἀνδρὸς γυνή«, καὶ μετὰ ταῦτά
φησι τὰ ἐπιφερόμενα ὡς τούτου δεύ-
τερα καὶ τρίτα. ἐν δὲ τῇ πρὸς Τίτον
»τούτου« φησὶ »χάριν ἀπέλιπόν σε
ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορ-
15 θώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν
πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξά-
μην, εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς
γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστὰ«
δηλαδὴ καὶ τὰ ἑξῆς. ἐπηποροῦμεν
20 δή, ὁρῶντες δυνατὸν εἶναι βελτίους
πολλῷ τυγχάνειν τινὰς διγάμους
μονογάμων, τί δήποτε οὐκ ἐπι-
τρέπει ὁ Παῦλος διγάμους εἰς τὰς
ἐκκλησιαστικὰς καθίστασθαι ἀρχάς·
25 καὶ γὰρ ἐδόκει μοι ζητήσεως ἄξιον
εἶναι τὸ τοιοῦτον, τῷ ἐνδέχεσθαι
ἀτυχήσαντά τινα περὶ δύο γάμους,
ἔτι νέον ὄντα ἀποβαλόντα τὴν δευτέ-
ραν, ἐγκρατέστατα καὶ καθαρώτατα
30 βεβιωκέναι παρὰ τὸν λοιπὸν μέχρι
γήρως χρόνον.

Τίς οὖν οὐκ ἂν εὐλόγως ἐπα-
πορήσαι, τί δήποτε ζητουμένου τοῦ

4 I. Tim. 3, 12 — 8 I. Tim. 5, 9 — 13 Tit. 1, 5—6   19ff Vgl. Harnack TU. 42, 4, 121 A. 1. 140 — 19—338, 7 Vgl. Hieron. in Tit. 1, 6

8 χήρα + δὲ M   9 ἐλάττων M
11 τοῦτο H   15 κατὰ στήσις H
21 τυγχάνει H   32 ἐπαπορήσαι Kl ἐπα-
πορήσει M   ἐπαπορή H   33 του Diehl

ἄρξοντος τῆς ἐκκλησίας | τὸν μὲν
τοιόνδε δίγαμον οὐ καθίσταμεν διὰ τὰς
⟨περὶ⟩ τοῦ γάμου λέξεις. τὸν δὲ μονό-
γαμον καὶ (εἰ τύχοι) μέχρι γήρως
5 συμβιώσαντα τῇ γυναικὶ κρατοῦμεν
ἄρχοντα, ἔσθ' ὅτε μηδὲ γυμνασά-
μενον εἰς ἁγνείαν καὶ σωφροσύνην;
ἐκ δὴ τῶν εἰρημένων εἰς τὸν περὶ
τοῦ βιβλίου τῆς ἀποστασίας νόμον
10 ἐφίστημι μή ποτε, ἐπεὶ σύμβολόν
ἐστι καὶ ὁ ἐπίσκοπος καὶ ὁ πρεσβύ-
τερος καὶ ὁ διάκονος ἀληθινῶν κατὰ
τὰ ὀνόματα ταῦτα πραγμάτων, ἐβου-
λήθη αὐτοὺς συμβολικῶς μονογά-
15 μους καταστῆσαι, ἵν' ὁ δυνάμενος
ἐπιστῆσαι τοῖς πράγμασιν εὕρῃ ἐκ
τοῦ πνευματικοῦ νόμου ἀνάξιον ὄντα
ἀρχῆς ἐκκλησιαστικῆς ἐκεῖνον, οὗ
ἡ ψυχὴ οὐχ »εὗρε χάριν ἐναντίον« τοῦ
20 ἀνδρὸς αὐτῆς τῷ εὑρῆσθαι »ἐν
αὐτῇ ἄσχημον πρᾶγμα« καὶ ἀξίαν
αὐτὴν γεγονέναι τοῦ τῆς ἀποστά-
σεως βιβλίου. δευτέρῳ γὰρ συνοική-
σασα ἡ τοιαύτη ψυχὴ καὶ παρὰ τῷ
25 τοιούτῳ μισηθεῖσα οὐκέτι δύναται
μετὰ τὸ δεύτερον βιβλίον τοῦ ἀπο-
στασίου ἐπανελθεῖν ἐπὶ τὸν πρότερον
ἄνδρα. εἰκὸς μὲν οὖν καὶ ἄλλους
παρὰ τοῖς πολλῷ ἡμῶν σοφωτέροις
30 καὶ μᾶλλον βλέπειν τὰ τηλικαῦτα
δυναμένοις εὑρεθήσεσθαι λόγους,
εἴτε εἰς τὸν περὶ τοῦ τῆς ἀποστασίας
βιβλίου νόμον εἴτε εἰς τὰ ἀποστο-
λικὰ κωλύοντα διγάμους ἄρχειν τῆς
35 ἐκκλησίας ἢ προκαθέζεσθαι προτε-

19f Vgl. Deut. 24, 1ff

3 ⟨περὶ⟩ Koe 5 συμβιώσαντα Kl συμβιῶσαι M H 7 ἀνδρείαν M 13 ἐβουλήθη ⟨ὁ Παῦλος⟩ Koe 16 πράγμασι' M 32 εἴστε εἰς M

τιμημένους ἐν αὐτῇ. ἡμεῖς δέ, ἕως
εὑρεθῇ τὰ κρείττονα καὶ δυνάμενα
τῇ τοῦ τῆς γνώσεως φωτὸς πολλῇ
ὑπεροχῇ ἀμαυρῶσαι τὰ ὑφ᾽ ἡμῶν
5 εἰρημένα, εἴπομεν τὰ ὑποπεσόντα
εἰς τοὺς τόπους ἡμῖν.

23. *Εἰ καὶ ἐδόξαμεν δὲ βαθυτέ-
ρων ἢ κατὰ δύναμιν ἧφθαι εἰς τοὺς
τόπους πραγμάτων, οὐδὲν ἧττον ἔτι
10 διὰ τὴν λέξιν καὶ ταῦτα λεκτέον ὅτι
τινὲς τῶν νόμων ἐγράφησαν οὐχ ὡς
διαφέροντες,
ἀλλ᾽ ὡς συμπεριφερόμενοι τῇ ἀσθε-
νείᾳ τῶν νομοθετουμένων. τοιοῦτον
15
γάρ τι δηλοῦται ἐν τῷ Μωσῆς
πρὸς τὴν σκληροκαρδίαν ὑμῶν
ἐπέτρεψεν ⟨ὑμῖν⟩ ἀπολῦσαι τὰς
20 γυναῖκας ὑμῶν· τὸ δὲ προηγούμε-
νον καὶ διαφέρον νόμου τοῦ διὰ τὴν
σκληροκαρδίαν γεγραμμένου
δηλοῦται ἐν τῷ ἀπ᾽ ἀρχῆς δὲ οὐ
γέγονεν οὕτως. καὶ ἐν τῇ καινῇ δὲ
25 διαθήκῃ ἐστί τινα
νενομοθετημένα ἀνάλογον τῷ ὅτι
Μωσῆς πρὸς τὴν σκληροκαρ-
δίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν
ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν.
30 οἱονεὶ γὰρ πρὸς τὴν σκληρο-
καρδίαν ἡμῶν γέγραπται (διὰ τὴν
ἀσθένειαν)
τὸ ⟨»καλὸν ἀνθρώπῳ γυναικὸς μὴ
ἅπτεσθαι·⟩
35 διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν
ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη |*

Quoniam Moyses legem scri-
bens non tantum aspexit quae
sit vera iustitia,
sed secundum infirmitatem eorum
propter quos lex ponebatur, con-
descendens plura mandavit, sicut
est
et lex dandi repudii.

quoniam autem secundum infir-
mitatem eorum dabatur, et non
secundum iustitiam, subiectus
sermo demonstrat dicens: *ab initio
autem non fuit sic.* et in novo quo-
que testamento sunt quaedam
non secundum veram iustitiam,
sed *secundum duritiam cordis* ho-
minum carnalium constituta,

utputa *propter duritiam cordis
nostri*

data est nobis lex dicens: »bonum
est mulierem non tangere;
propter fornicationem autem
unusquisque propriam habeat 647

33 I. Kor. 7, 1—2

13 *ἀσθενία* H 17 *τι* < H^a
19 ⟨*ὑμῖν*⟩ Kl Koe, vgl. lat. 31 *ὑμῶν* H
33 ⟨*»καλὸν—ἅπτεσθαι*⟩ Diehl Kl, vgl. lat.

31 f nostri—lex] vestri lex data
est L

τὸν ἴδιον ἄνδρα ἐχέτω« καὶ τὸ

uxorem et unaquaeque proprium virum« et cetera.

»τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν
ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ
5 τῷ ἀνδρί«· ἐπιφέρεται γοῦν αὐτοῖς·
»τοῦτο δὲ λέγω κατὰ συγγνώμην,
οὐ κατ' ἐπιταγήν«. ἀλλὰ καὶ τὸ
»γυνὴ δέδεται ἐφ' ὅσον χρόνον ὁ
ἀνὴρ αὐτῆς ζῇ· ἐὰν δὲ κοιμηθῇ ὁ
10 ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει
γαμηθῆναι, μόνον ἐν κυρίῳ« πρὸς
τὴν σκληροκαρδίαν ἢ ἀσθένειαν
ἡμῶν παρὰ Παύλῳ εἴρηται τοῖς μὴ
βουλομένοις ζηλοῦν »τὰ χαρίσματα
15 τὰ μείζονα« καὶ μακαριωτέροις γε-
νέσθαι.

si autem hoc propter duritiam cordis nostri mandatum est, quanto magis illud propter duritiam cordis nostri est, quod alibi dicit de viduis volentibus iterum nubere: »quod si non se continent nubant; melius est enim nubere quam uri«.

25 ἤδη δὲ παρὰ τὰ γεγραμμένα καί τινες
τῶν ἡγουμένων τῆς ἐκκλησίας ἐπέ-
τρεψάν τινα ὥστε »ζῶντος τοῦ ἀν-
δρὸς« γαμεῖσθαι γυναῖκα — παρὰ τὸ
γεγραμμένον μὲν ποιοῦντες (ἐν ᾧ
30 λέλεκται· »γυνὴ δέ⟨δεται⟩ ἐφ' ὅσον
χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς« καὶ τὸ
»ἄρα οὖν μοιχαλὶς χρηματίσει ἡ

scio enim quosdam eorum qui praesunt ecclesiis, extra scripturam permisisse aliquam nubere viro priore vivente — et contra scripturam quidem fecerunt (dicentem »mulier ligata est quanto tempore vivit vir eius«, item: »vivente viro adultera vocabitur, si facta

3 I. Kor. 7, 3 — 6 I. Kor. 7, 6 — 8 I. Kor. 7, 39 — 14 I. Kor. 12, 31 — 22 I. Kor. 7, 9 — 25ff Vgl. Harnack TU. 42, 4, 23 — 27. 32 Röm. 7, 3 — 30 I. Kor. 7, 39

4 ἀποδιδώτω Hª 5 γοῦν + σὺν M 15 μακαριωτέρους Lo Hu, vgl. lat. 30 δέ⟨δεται⟩

25 scio] lat. las οἶδα st. ἤδη? | enim est Bᶜ (enim Bª) | eorum y* < L 32 vocabitur adultera B

γυνὴ γενομένη ἀνδρὶ ἑτέρῳ ζῶντος τοῦ ἀνδρός«). οὐ μὴν πάντη ἀλόγως· εἰκὸς γὰρ τὴν συμπεριφορὰν ταύτην συγκρίσει χειρόνων ἐπιτρέπεσθαι παρὰ τὰ ἀπ' ἀρχῆς νενομοθετημένα καὶ γεγραμμένα.

24. *Τάχα δὲ τῶν τολμώντων τις Ἰουδαϊκὸς ἀνὴρ ἐναντιοῦσθαι τῇ τοῦ σωτῆρος ἡμῶν διδασκαλίᾳ φήσει ὅτι καὶ ὁ Ἰησοῦς, εἰπών· ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, ἐπέτρεψεν ἀπολῦσαι τὴν γυναῖκα ὁμοίως Μωσεῖ, ὃν εἶπε πρὸς τὴν σκληροκαρδίαν τοῦ λαοῦ νενομοθετηκέναι, καὶ ταὐτόν γε φήσει εἶναι τῷ λόγῳ τῆς πορνείας, δι' ὃν εὐλόγως ἂν γυνὴ ἐκβληθείη ἀπὸ ἀνδρός.* τὸ »ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα«. ἀλλὰ λεκτέον πρὸς αὐτὸν ὅτι, εἴπερ ἡ κατὰ τὸν νόμον μοιχευομένη λιθοβοληθήσεται, δηλονότι οὐ κατὰ τοῦτο νοεῖται τὸ »ἄσχημον πρᾶγμα«· οὐ γὰρ ἐπὶ μοιχείᾳ δεῖ γράφειν »βι-

fuerit alteri viro«). non tamen omnino sine causa hoc permiserunt; forsitan enim propter huiusmodi infirmitatem incontinentium hominum peiorum conparatione quae mala sunt permiserunt, adversus ea quae *ab initio* fuerant ⟨praecepta et⟩ scripta: *dico autem vobis, quoniam quicumque dimiserit uxorem suam nisi ob causam fornicationis et aliam duxerit, moechatur, et dimissam qui duxerit, moechatur.*

24. Forsitan ⟨autem⟩ audax aliquis et Iudaicus vir adversans doctrinae salvatoris nostri dicet, quoniam et Iesus dicens: *quicumque dimiserit uxorem suam, excepta causa fornicationis, facit eam moechari*, permisit uxorem dimittere quemadmodum Moyses, quem retulit *propter duritiam cordis* Iudaeorum hoc praecepisse. et hanc ipsam inquiet esse causam *fornicationis*, per quam iuste uxor a viro dimittitur. secundum quam et Moyses praecepit dimittere uxorem, si inventa fuerit »res turpis in ea«. sed ad hoc ita est respondendum quoniam, si secundum legem adultera lapidatur, manifestum est quoniam non secundum hoc intellegitur »res turpis«; nec enim

30 Deut. 24, 1 — 31 Vgl. Deut. 22, 21

19 ἀπολύσει M[a] H 31 αὐτὸν] *hoc* lat. 32 μοιχωμένοι H 34 νοεῖτε H

8 ⟨praecepta et⟩ Koe, vgl. gr. 12—14 et—moechatur y* < L 15 ⟨autem⟩ Diehl Kl, vgl. gr. 33 lapida⟨bi⟩tur Diehl, vgl. gr.

βλίον ἀποστασίου«

καὶ διδόναι »εἰς τὰς χεῖρας« τῆς
γυναικὸς ἤ τινι τηλικαύτῃ ἀσχη-
5 μοσύνῃ.
ἀλλὰ γὰρ τάχα Μωσῆς πᾶν ἁμάρ-
τημα ⟨γυναικὸς⟩ ἄσχημον εἶπε
πρᾶγμα, ὅπερ ἐὰν | εὑρεθῇ ὑπὸ τοῦ
ἀνδρὸς ἐν γυναικὶ μὴ εὑρισκούσῃ
10 χάριν ἐνώπιον τοῦ ἀνδρός, γράφεται
τὸ τοῦ ἀποστασίου βιβλίον καὶ ἐξα-
ποστέλλεται »ἐκ τῆς οἰκίας« τοῦ
ἀνδρὸς ἡ γυνή.
ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν
15 οὕτως. μετὰ ταῦτά φησιν ὁ σωτὴρ
ἡμῶν, μηδαμῶς ἐπιτρέπων ἐπ' ἄλλῳ
ἁμαρτήματι διαλύειν γάμους ἢ μόνῃ
πορνείᾳ εὑρισκομένῃ ἐν τῇ γυναικί,
τὸ ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα
20 αὐτοῦ, παρεκτὸς λόγου πορ-
νείας, ποιεῖ αὐτὴν μοιχευθῆ-
ναι. ζητηθείη δ' ἄν, εἰ διὰ τοῦτο
⟨μόνον⟩ κελεύει τὴν γυναῖκα ἀπο-
λῦσαι
25 ⟨τί ἔσται⟩ ἐὰν μὴ ἐπὶ πορνείᾳ
μὲν ἁλῷ,

φέρε δ' εἰπεῖν ἐπὶ φαρμακείᾳ ἢ
ἀναιρέσει
30 (παρὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς)
τοῦ γεννηθέντος αὐτοῖς παιδίου ἢ
ἐφ' οἱῳδήποτε φόνῳ. εἰ δὲ καὶ ὑφαι-

in causa adulterii oportet
dare »libellum repudii«.

sed forsitan Moyses omnem cul-
pam mulieris turpem rem appella-
vit, quae si inventa fuerit ⟨a viro⟩ 648
in uxore, non invenienti gratiam
coram viro suo, scribitur ei libel-
lus repudii et dimittitur »de do-
mo« mariti. quod

ab initio non fuit sic. post hoc
autem dominus non permittit
propter aliam aliquam culpam
uxorem dimittere, nisi propter
solam causam fornicationis***, di-
cens: *quicumque dimiserit uxorem,
excepta causa fornicationis, facit
eam moechari.* quaerendum est
autem si propter solam causam
fornicationis dimittere iubet uxo-
rem,
quid sit si mulier non quidem
fuerit fornicata, sed aliud quid
gravius fecerit,
utputa, venefica inveniatur aut
interfectrix

communis infantis nati aut in
quocumque homicidio aut expor-

12 Vgl. Deut. 24, 1

7 ⟨γυναικὸς⟩ Koe, vgl. lat. 14 οὐδὲ M 15 μετὰ + *autem* lat. 19 ἀπολύσει H 23 ⟨μόνον⟩ Koe, vgl. lat. | κελεύει Diehl Koe, vgl. lat. κωλύει MH 25 ⟨τί ἔσται⟩ Koe, vgl. lat. 28 φαρμακία M 32 οἱοδήποτε H

2 dari B 8 ⟨a viro⟩ Diehl, vgl. gr. 10 scribetur B 11 dimittetur γ 18 *** Kl. vgl. gr.

ρουμένη καὶ ⟨διαρρίπτουσα ἢ⟩ συλῶ-
σα τὴν οἰκίαν εὑρεθείη τοῦ ἀνδρὸς μὴ
πορνεύουσα δέ, ζητήσαι τις ἄν, εἰ
εὐλόγως τὴν τοιαύτην ἀποβαλεῖ, ὡς
5 τοῦ σωτῆρος κωλύοντος παρεκτὸς
λόγου πορνείας ἀπολῦσαί τινα
τὴν ἑαυτοῦ γυναῖκα. ἑκατέρως
γὰρ ἐμφαίνεταί τι ἄτοπον, οὐκ
οἶδα δὲ εἰ ἀληθῶς ἄτοπον. τηλικού-
10 των γὰρ ἀνέχεσθαι ἁμαρτημάτων,
ἃ ἔοικε χείρονα εἶναι μοιχείας καὶ
πορνείας, ἄλογον εἶναι δόξει· πάλιν
τ' ἂν ποιῆσαι παρὰ τὸ βούλημα
τῆς διδασκαλίας τοῦ σωτῆρος πᾶς
15 ἂν ὁμολογήσαι ἀσεβὲς τυγχάνειν.
Ἐφίστημι τοίνυν διὰ τί μὲν οὐκ
εἶπε· μηδεὶς ἀπολυέτω
τὴν γυναῖκα αὐτοῦ παρεκτὸς
λόγου πορνείας, φησὶ δέ·
20
ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα
αὐτοῦ παρεκτὸς λόγου πορ-
νείας, ποιεῖ αὐτὴν μοιχευθῆ-
ναι. ποιεῖ μὲν γὰρ ὁμολογουμέ-
25 νως (τὸ ὅσον ἐφ' ἑαυτῷ) μοιχευ-
θῆναι τὴν γυναῖκα ὁ ἀπολύων
αὐτὴν μὴ πορνεύσασαν. εἰ γὰρ »ζῶντος
τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει
ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ«, ἀπολύσας
30 δὲ αὐτὴν πρόφασιν αὐτῇ δίδωσι
δευτέρου γάμου, δηλονότι παρὰ τοῦτο
ποιεῖ αὐτὴν μοιχευθῆναι. τὴν
δ' ἁλοῦσαν φαρμακίδα ἢ φόνον ⟨ἤ τι

tans domum et male dispergens substantiam viri aut furta viro faciens, si iuste huiusmodi mulier dimittatur, cum dominus *excepta causa fornicationis* dimittere vetet? ex utraque enim parte aliquid inhonestum videtur, nescio autem si vere inhonestum. talia enim mulieris sustinere peccata, quae peiora sunt adulteriis et fornicationibus, inrationabile esse videbitur; item facere contra voluntatem doctrinae salvatoris, omnis confitebitur impium esse.

Disputo ergo quia non praeceptive mandavit, ut nemo dimittat *uxorem excepta causa fornicationis*,
sed quasi exponens rem dixit: *qui dimiserit uxorem, excepta causa fornicationis, facit eam moechari*. et vere quidem (quantum ad se) *facit eam moechari* dimittens eam non moechantem. si enim »vivente viro adultera voca⟨bi⟩tur si facta fuerit alteri viro«, sine dubio qui dimittit, dat ei occasionem secundarum nuptiarum et propter hoc *facit eam moechari*. sed vir qui (quantum ad se) uxorem dimittens *fecit eam moechari*, utputa vene-

27 Röm. 7, 3

1 ⟨διαρρίπτουσα ἢ⟩ Koe, vgl. lat. 10 γὰρ + *mulieris* lat. 11 ἔοικεν εἶναι χείρονα H 21 ἀπολύσει H 27 μὴ] οὐ H 33 ⟨ἤ τι τοιοῦτον⟩ Kl, vgl. lat.

17 praecepti vel G praecepit vel B 21 uxorem < y 27 voca⟨bi⟩tur Diehl, vgl. gr. 33 facit B | eam < G L

*τοιοῦτον⟩ δράσασαν *** ἀπολογίαν ἔχειν ἢ μή, καὶ σὺ ζητήσαις ἄν. δύναται γὰρ καὶ παρ' ἄλλας αἰτίας παρὰ τὴν ἀπόλυσιν ποιεῖν ὁ ἀνὴρ* 5 *μοιχευθῆναι τὴν ἑαυτοῦ γυναῖκα, οἷον πέρα τοῦ δέοντος ἐπιτρέπων πράττειν αὐτὴν ἃ | βούλεται καὶ εἰς φιλίαν συγκαταβαίνειν ἀνδράσιν οἷς βούλεται· πολλάκις γὰρ ἐξ ἁπλό-* 10 *τητος τῶν ἀνδρῶν τοιαῦτα πταίσματα συμβαίνει ⟨ἐ⟩ν γυναιξίν. ἀλλ' εἰ ἔστιν ἀπολογίας τόπος ἢ μὴ τοῖς τοιούτοις ἀνδράσιν ἐπὶ τοῖς τοιούτοις συμπτώμασιν, ἐπιμελῶς ζητή-* 15 *σας ἀποφανεῖ*

ficam vel homicidam aut aliquid huiusmodi constitutam, si iustam excusationem habet apud deum ***, tractabis. potest autem et citra dimissionem propter alias causas facere vir, ut uxor eius moechetur, utputa qui supra mensuram per- (649) mittit uxorem suam agere quod vult et in amicitiam descendere virorum quorum vult: frequenter enim ex simplicitate virorum huiusmodi vitia nutriuntur in mulieribus. sed si est excusationis locus viris talibus in huiusmodi casibus ***, diligenter requirens pronuntia.

καὶ εἰς τὰ ἐπηπορημένα ἡμῖν κατὰ τὸν τόπον.

καὶ ⟨ὁ⟩ ἀποστερῶν δὲ ἀπὸ τῆς γυναι- 20 *κὸς ἑαυτὸν ποιεῖ αὐτὴν πολλάκις μοιχευθῆναι, μὴ ἐκπληρῶν αὐτῆς τὰς ὀρέξεις, κἂν φαντασίᾳ πλείονος σεμνότητος καὶ σωφροσύνης τὸ τοιοῦτο ποιῇ· καὶ τάχα μᾶλλον οὗτος* 25 *ἐπίληπτος ὁ (τὸ ὅσον ἐφ' ἑαυτῷ) ποιῶν αὐτὴν μοιχευθῆναι μὴ ἐκπληρῶν αὐτῆς τὰς ὀρέξεις ἢ ὁ ἀπολύσας αὐτὴν παρεκτὸς λόγου μὲν πορνείας, ἐπὶ φαρμακείᾳ δὲ ἢ* 30 *φόνῳ ἤ τινι τῶν βαρυτάτων ἁμαρτημάτων. ὥσπερ δὲ μοιχαλίς ἐστι*

item et qui abstinet se a muliere sua frequenter *facit eam moechari*, non adimplens aviditatem ipsius, forsitan spe inrationabili ⟨maioris⟩ sanctitatis et castitatis ductus; et forsitan iste amplius reprehensione est dignus quam ille, qui (quantum ad se) *facit eam moechari* dimittens non quidem fornicantem, in veneficio autem vel in homicidio vel in quibuscumque aliis gravioribus peccatis inventam. qua enim ra-

1 *** Kl, vgl. lat. Koe ergänzt: *⟨ὁ ἀπολύσας τὸ ὅσον ἐφ' ἑαυτῷ ἀνὴρ καὶ ποιήσας αὐτὴν μοιχευθῆναι πότερον δύναται δικαίαν παρὰ θεῷ⟩* 3 *γὰρ*] *autem* lat. 7 *αὐτῇ πράττειν* H 11 *συμβαίνει ⟨ἐ⟩ν* Kl nach Hu, vgl. lat. 19 ⟨*ὁ*⟩ Kl 20 l. *πολλάκις ποιεῖ αὐτὴν* ? Koe 23/24 *τοιοῦτον* M 26/27 *μὴ —ὀρέξεις* < H 29 *φαρμακία* M

4. 15 *** Kl, es fehlt die Wiedergabe des *ἢ μή* 22 ⟨maioris⟩ Diehl, vgl. gr. 24 reprehensionis L 25 est < G L 27f lat. übersetzt ungenau

γυνή, κἂν δοκῇ γαμεῖσθαι ἀνδρί,
ἔτι ζῶντος τοῦ προτέρου. οὕτως καὶ
ἀνὴρ γαμεῖν δοκῶν *ἀπολελυμένην*

5

οὐ γαμεῖ (κατὰ τὴν τοῦ σωτῆρος
ἡμῶν ἀπόφασιν) ὅσον *μοιχεύει*.

10

25. Μετὰ δὲ ταῦτα κατανοήσαντες οἱ τοῦ Χριστοῦ μαθηταί, ὅσα δύναται γενέσθαι συμπτώματα ἐν γάμοις, ὧν ἀνέχεσθαι δεῖ τὸν
15 ἄνδρα. καὶ κατὰ τοῦτο ⟨ἀνεχόμενον⟩ ἀπαλλάσσειν σκληρότατα ἢ μὴ ἀνεχόμενον παρανομεῖν εἰς τοὺς Χριστοῦ λόγους, φασὶν αὐτῷ, ⟨ὡς⟩ ἐπὶ εὐχερέστερον τὴν ἀγαμίαν καταφεύ-
20 γοντες καὶ μᾶλλον συμφέρον ἢ ὡς δοκεῖ συμφέρειν γάμος· *εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι.*
25 πρὸς τοῦτο δὲ εἶπεν αὐτοῖς ὁ σωτήρ, διδάσκων ἡμᾶς δῶρον εἶναι τὸ διδόμενον ἀπὸ θεοῦ τὴν παντελῆ καθάρευσιν, καὶ οὐ μόνον ἀσκήσει παραγινόμενον ἀλλὰ μετ' εὐχῶν
30 ⟨πολλῶν⟩ ὑπὸ θεοῦ διδόμενον, τὸ
οὐ πάντες χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται. | εἶτ' ἐπεί τινες συκοφαντοῦσι

tione adultera est mulier, quamvis legitime nubere videatur viro, ⟨priore⟩ vivente, eadem ratione et vir, quamvis legitime accipere videatur *dimissam* ab aliquo viro, non accipit legitime (secundum sententiam Christi) sed magis *moechatur*, quasi alienam accipiens.

25. Post haec intellegentes apostoli, quanti sint casus inter coniuges quos debet vir sustinere, et propterea tenere quidem interitum esse, dimittere autem peccatum esse in deum, responderunt ei quasi ad rem facilem refugientes ad castitatem et magis utilem et dixerunt: ergo *non oportet nubere, si ita est causa viri cum muliere.* ad haec autem Christus respondit, docens ⟨nos⟩ gratiam esse donatam a deo continentibus se omnino, quae gratia non solum per continentiam adprehenditur, sed multis orationibus a deo praestatur. hoc enim significat dicens: *non omnes capiunt hoc verbum, sed quibus datum est.* quoniam 650 autem quidam calumniantur,

2 Vgl. Röm. 7, 3 — 7f Vgl. Hautsch TU. 34, 2[a], 61

3 δοκῶν γαμεῖν H[a] 15 ⟨ἀνεχόμενον⟩ Diehl, vgl. lat. 18 ⟨ὡς⟩ Diehl, vgl. lat. 28 κάθαρσιν M 29f εὐχῶν ⟨πολλῶν⟩ Koe, vgl. lat.

3 ⟨priore⟩ Koe, vgl. gr. 16 deum] domino L 24 dicens GL 25 ⟨nos⟩ Kl, vgl. gr.

	quod Christus ait:
τὸ οἷς δέδοται, ὡς ἐχόντων ἀπο-λογίαν τῶν βουληθέντων μὲν καθα-ρεῦσαι ἐν ἀγαμίᾳ, νικηθέντων δὲ (5) ὑπὸ τῶν ὀρέξεων,	*quibus datum est.* quasi excu-sationem habentes ut volentes qui-dem esse in castitate, non autem praevalentes.
λεκτέον, ὅτι εἴπερ πιστεύομεν	quibus est respondendum: si quidem accipimus simpliciter
τοῖς γεγραμμένοις, τί δήποτε ἐπι-λαμβανόμεθα μὲν τοῦ	quod dictum est:
(10) ἀλλ' οἷς δέδοται,	*sed quibus datum est,*
οὐκέτι δὲ προσέχομεν τῷ »αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν« καὶ	non autem adtendimus, quod alibi dicit: »petite, et dabitur vobis« et
τῷ ἐπιφερομένῳ αὐτῷ (15) »πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει«;	»omnis qui petit accipit«, aut fideles non sumus aut scientes scripturas.
εἰ γὰρ χωροῦσι τὸν περὶ τοῦ παντελῶς καθαρεύειν λόγον οἷς (20) δέδοται, ὁ βουλόμενος	qui enim vult capax esse verbi quod de castitate positum est,
αἰτείτω, πειθόμενος καὶ πιστεύων τῷ λέγοντι· »αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν«,	petat credens dicenti
καὶ ⟨λήψεται⟩ μὴ ἀμφιβάλλων περὶ (25) τοῦ »πᾶς ὁ αἰτῶν λαμβάνει«. ἔνθα δὴ γενόμενος ζητήσεις, τίς ὁ αἰτῶν. οὐδεὶς γὰρ τῶν μὴ λαμβανόντων, εἰ καὶ ἔδοξεν ᾐτηκέναι, ᾔτησεν· ἐπεὶ οὐ θεμιτὸν φάσκειν ψεῦδος εἶναι τὸ (30) »πᾶς ὁ αἰτῶν λαμβάνει«.	et accipiet, non dubitans de illo quod dictum est: »omnis qui petit accipit«. facti autem in loco dica-mus, quoniam nemo eorum, qui non acceperunt, petiverunt, etsi videantur petisse; quoniam non est fas dicere mendacem esse, qui dixit: »omnis qui petit accipit«.
τίς οὖν ὁ αἰτῶν ἢ ὁ πεισθεὶς τῷ Ἰησοῦ λέγοντι·	quis est ergo qui petit ⟨quam⟩ qui credit Christo dicenti:

12. 22 Matth. 7, 7 — 15. 25. 30 Matth. 7, 8

6 πιστεύομεν + *simpliciter* lat. 12 ἡμῖν M 18 f τοῦ παντὸς M 24 ⟨λήψεται⟩ Koe, vgl. lat.

3 ut Kl et x 5 praevalentes ⟨cupiditatibus⟩ Diehl, vgl. gr. 16 nescientes B^c und Koe 26—31 facti —accipit y* < L 26 loco] ohne hoc, wie S. 348, 23 33 ⟨quam⟩ Diehl, vgl. gr.

ἐὰν στήκητε προσευχόμενοι«, »πι-
στεύετε ὅτι λαμβάνετε, καὶ λήψεσθε«;
χρὴ δὲ τὸν αἰτοῦντα ποιεῖν πάντα
τὰ παρ' αὐτῷ, ἵνα προσεύχηται
5 »πνεύματι«, προσεύχηται »δὲ καὶ
τῷ νοΐ«, καὶ ⟨τοῦ⟩ »ἀδιαλείπτως
προσεύχεσθε« μεμνημένον
καὶ τοῦ »ἔλεγε δὲ παραβολὴν αὐτοῖς
πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι
10 αὐτοὺς καὶ μὴ ἐκκακεῖν, λέγων·
κριτής τις ἦν ἔν τινι πόλει« καὶ τὰ
ἑξῆς.
χρήσιμον δὲ εἰς τὸ γινώσκειν, τί
τὸ αἰτεῖν καὶ τὸ λαβεῖν ἐστι
15 καὶ τί τὸ »πᾶς ὁ αἰτῶν λαμβάνει«,
καὶ τὸ »λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει
αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι φίλον
αὐτοῦ, διά γε τὴν ἀναίδειαν αὐτοῦ
ἐγερθεὶς δώσει ⟨αὐτῷ⟩ ὅσων χρήζει«·
20 ἐπιφέρει γοῦν· »κἀγὼ ὑμῖν λέγω,
αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν«

καὶ τὰ ἑξῆς.

25

ἔτι προτρεπτικὸν διὰ τὸ οὐ πάν-
τες χωροῦσι τὸν λόγον, ἀλλ'
οἷς δέδοται, εἰς τὸ αἰτεῖν ἀξίως

»si steteritis orantes«, »credite quo-
niam ⟨accipitis, et⟩ accipietis«!
debet autem qui petit omnia
facere quantum ad se, ut oret
»spiritu«, oret »et mente«, memor
apostolici verbi quod ait: »sine
intermissione orantes«.

utile est autem et scire, quid de-
beat petere quis, ut mereatur acci-
pere.
et quod ait: »dico vobis, etsi non
dabit ei surgens propter quod
amicus est eius; tamen propter
inportunitatem eius ⟨surget et⟩
dabit ei quantos voluerit«: et
addit: »et ego vobis dico: petite
et dabitur vobis,
quaerite, et invenietis; pulsate,
et aperietur vobis. omnis enim qui
petit accipit, et qui quaerit in-
venit, et pulsanti aperietur«.

1 Marc. 11, 25. 24 — 4ff Vgl. I. Kor. 14, 15 — 6 I. Thess. 5, 17 — 8 Luc. 18, 1—2 — 15 Matth. 7, 8 — 16 Luc. 11, 8 — 20 Luc. 11, 9

4 αὐτῷ Kl αὐτὸν M αὐτῶν H 6 ⟨τοῦ⟩ Kl, vgl. lat. 7 προσεύχεσθε Kl προσεύχεσθαι M H 10 αὐτοὺς < M 11 ἦν < M 14 ἐστι καὶ τὸ λαβεῖν M 19 ⟨αὐτῷ⟩ Koe, vgl. lat. | ὅσων Kl, vgl. lat. ὅσον M H 20 ἐπιφέρεται H 21 αἰτεῖτε] ἔτι M[a] | δωθήσεται H

2 ⟨accipitis, et⟩ Kl, vgl. gr. 13 et] lat. las καὶ τὸ γινώσκειν Koe 19 ⟨surget et⟩ Diehl, vgl. gr. 25 petit —qui y* < L

τοῦ λαβεῖν καὶ τὸ »τίς δὲ ἐξ ὑμῶν τὸν πατέρα υἱὸς αἰτήσει ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;« καὶ τὰ ἑξῆς. δώσει οὖν τὸ 5 *ἀγαθὸν δόμα, τὴν παντελῆ | καθάρευσιν ἐν ἀγαμίᾳ καὶ ἁγνείᾳ ὁ θεὸς τοῖς »ἐξ ὅλης ψυχῆς« καὶ μετὰ πίστεως καὶ »ἀδιαλείπτως« ἐν προσευχαῖς αἰτοῦσιν αὐτόν.* 651

10 *Τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν Ὠριγένους τόμος ιε′.*

1. *Εἰσὶ γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεν-* 15 *νήθησαν οὕτως*

ἕως τοῦ 20 *ὁ δυνάμενος χωρεῖν χωρείτω* (19, 12).

1. *Sunt ⟨enim⟩ eunuchi qui ex utero matris suae nati sunt sic. et sunt eunuchi qui facti sunt ab hominibus. et sunt eunuchi qui seipsos eunuchos fecerunt propter regnum caelorum. qui potest capere capiat.*

Δύο ἐσομένας περὶ τὸν τόπον τοῦτον παρεκδοχὰς πρὸ τῆς φαινομένης ἡμῖν ἀληθοῦς εἰς τὸν τόπον 25 *διηγήσεως ἐκθέμενοι*

Priusquam exponamus, quae nobis videntur in loco, notum facimus duas esse expositiones loci istius:

καὶ μετὰ τοῦτο ὡς δυνατὸν ἡμῖν ἀνατρέψαντες αὐτάς, ἵν᾽ ὅσον ἐπὶ τοῖς λεχθησομένοις πᾶν σφάλμα φυλαξάμενοι τὸ ἀληθὲς βούλημα τῶν κατὰ 30 *τὸν τόπον ἐὰν χωρῶμεν, τό⟨τε⟩ κρεῖττον βιώσωμεν, οὕτως ἥκωμεν ἐπὶ τὸ προκείμενον.*

1 Luc. 11, 11 — 7 Vgl. Marc. 12, 30 — 8 Vgl. I. Thess. 5, 17

9 *αὐτόν* + ⟨τ᾽ έλος τοῦ ιδ τόμου H 12 *ιε′* + *περὶ διαφορᾶς εὐνούχων* H 22 *περὶ*] *πρὸς* M 30 *τό⟨τε⟩* Koe 31 *βιώσοιμεν* H

13 ⟨enim⟩ Diehl Kl, vgl. gr. 23 in + hoc B 24 faciamus B

τινὲς μὲν γάρ, ὡς ἀκόλουθον τῇ ἐνεργείᾳ τῶν κατὰ τὸ σωματικὸν ὁρωμένων δύο εὐνουχισμῶν καὶ τὸν τρίτον σωματικὸν νομίσαντες, ἐτόλ-
5 μησαν
ἑαυτοὺς παρασχεῖν ἀπὸ φόβου μὲν τοῦ πρὸς θεόν,
ἀνεπιστημόνως δέ, εὐνουχισμῷ ὁμογενεῖ τοῖς δύο προτέροις
10 καὶ ἑαυτοὺς ὑποβεβλήκασιν ὀνειδισμῷ, τάχα δὲ καὶ αἰσχύνῃ οὐ παρὰ μόνοις τοῖς ἀλλοτρίοις τῆς πίστεως, ἀλλὰ καὶ παρὰ τοῖς πᾶσι μᾶλλον τοῖς ἀνθρωπίνοις πράγμασι
15 συγγινώσκουσιν
ἢ τῷ (φαντασίᾳ φόβου θεοῦ καὶ σωφροσύνης ἀμέτρῳ ἔρωτι) γεννήσαντι πόνους καὶ σώματος ἀκρωτηριασμὸν καὶ εἴ τι ἕτερον πάθοι
20 ἂν ὁ τηλικούτῳ ἑαυτὸν παρασχὼν πράγματι.
ἕτεροι δὲ καὶ οἱ πολλοὶ οὕτω νενοήκασι, μὴ βασανίσαντες τρόπον ἀκολουθίας λόγων· τοὺς μὲν προτέρους
25 δύο
αὐτόθεν καὶ
σωματικῶς ἐξειλήφασιν εἰρῆσθαι τῷ | σωτῆρι ὡς οὐδὲν πλέον τῶν αἰσθητῶν ἐμφαίνοντι, τὸν δὲ τρίτον
30 οὐκέτι κατὰ τὴν λέξιν λελέχθαι νενομίκασιν,

quorundam quidem qui duas eunuchizationes carnales aspicientes, quasi consequenter dicere aestimantes, ausi sunt etiam tertiam eunuchizationem dicere corporalem, utputa, qui propter timorem dei
corporaliter se eunuchizant

et obiecerunt se opprobriis et confusionibus non solum apud alienos fidei, sed etiam apud eos qui ignorantiae ⟨omni⟩ hominum ignoscere solent.

alii autem et plerique sic intellexerunt, non discutientes modum consequentiae verborum: duas quidem eunuchizationes priores similiter prioribus expositoribus carnales esse dixerunt et nihil spiritaliter intellegendum in eis; 652 tertiam autem eunuchizationem dixerunt ex verbo non corporalem,

1 ff Vgl. Harnack TU. 42, 4, 122: „Über seinen eigenen Fall schweigt Orig. vollkommen, und das hat Anlaß gegeben, seine eigene Selbstentmannung zu bezweifeln.“ S. auch W. Bauer in NTliche Studien für G. Heinrici 1914 S. 237 ff

14 ἀνθρωπίνοις H^{c} ανοις M ἀνθρωπίνης H^{a} 15 συγγινώσκουσιν + παρὸ H 16 φόβου ϱ φόβῳ M H 22 οἱ Kl, vgl. lat. οὐ M H 26 αὐτὸ H

1 quidem μ quidam G L qui B | ⟨qui⟩ Kl 8 se < L 8 f l. se eunuchizantes obiecerunt Koe 13 ⟨omni⟩ Diehl, vgl. gr.

Greek	Latin
ἀλλ' εὐνουχισμὸν ἡγήσαντο τὸν ἀπὸ λόγου ἐν τῷ τρίτῳ σημαίνεσθαι,	
ὅτε προθέσει τῆς τῶν οὐρανῶν βασιλείας τῷ τμητικωτάτῳ λόγῳ (5) *ἐκτεμόντες τὸ τῶν τοιούτων ἐπιθυμητικὸν*	quando spe regni caelestis [a] severissimo verbo praecidunt concupiscentiae passionem.
καταπεφρονήκασι τῶν ὕβρεων τοῦ σώματος, μὴ δυναμένων ἔτι νικῆσαι ψυχὴν τῷ λόγῳ ἐκτετμηκυῖαν τὴν (10) *ἐπιθυμίαν. χρὴ δὲ εἰδέναι ὅτι*	
οἱ μὲν πρότεροι τοῦ εὐαγγελικοῦ γενόμενοι φίλοι γράμματος καὶ μὴ ἐπιστήσαντες ὅτι καὶ ταῦτα ἐν παραβολαῖς ἐλάλησεν ὁ Ἰησοῦς	et primi quidem facti amatores evangelicae litterae et non intellegentes, quod etiam haec in parabolis locutus est Iesus,
(15) *καὶ πνεύματι εἴρηται,*	
ἀκολουθότερον μὲν νενοήκασι τὰ κατὰ τὸν τόπον τοῖς ὁμολογοῦσι τοὺς προτέρους δύο εὐνουχισμοὺς σωματικῶς λελέχθαι,	consequenter prioribus eunuchizationibus duabus corporalibus intellexerunt
(20) *ἐξωμάλισαν γὰρ ἀκολούθως τοῖς προτέροις δύο*	
τὸν τρίτον, οὐ πταίοντες μὲν ὡς πρὸς τὸ ἀκόλουθον τοῖς τρισίν, ἀναγκαίως δὲ πταίσαντες τῷ τὴν ἀρχὴν (25)	et tertiam: non quidem peccantes quantum ad consequentiam ⟨trium⟩, necessarie autem peccaverunt, quoniam ab initio
τῶν κατὰ τὸν τόπον παρεωρακέναι·	duas illas eunuchizationes corporaliter tantum intellegi putaverunt;
τῷ γὰρ σωματικῶς λελέχθαι τοὺς (30) *δύο ἕπεται καὶ τὸν τρίτον εἶναι σωματικόν.*	consequens enim erat postquam priores corporaliter intellexerunt, ut tertiam quoque corporalem aestimarent.
οἱ δὲ δεύτεροι	secundi autem interpretatores
τῷ μὲν τρίτῳ ὑγιῶς ἐπιβεβλήκασι (35) *τὴν ἀπὸ λόγου νομίσαντες δηλοῦσθαι ἐκτομὴν*	tertiam quidem eunuchizationem salubriter exposuerunt fieri verbi praecisione,

4 Vgl. Hebr. 4, 12

20 *ἐξομάλισαν* H | *γὰρ* MH *δὲ* Koe 23 *τρισὶ* M

3 [a] Kl 11 facti x* + sunt ϱ 17 corporalibus] lat. las *σωματικοὺς* 23 ⟨trium⟩ Diehl, vgl. gr.

τοῦ παθητικοῦ ἀπὸ τῆς ψυχῆς.
οὐκέτι δὲ τεθεωρήκασιν ὅτι ἁρμόζον
ἦν τῇ τοιαύτῃ ἐκδοχῇ καὶ τοὺς
προτέρους δύο εὐνουχισμοὺς ὁμοίως
5 τῷ τρίτῳ ἀλληγορῆσαι,

non autem consideraverunt, quoniam talis expositio conveniens erat etiam in prioribus eunuchizationibus duabus secundum similitudinem illius tertiae.

ἢ ἐξομαλίσαι παραπλησίως τοῖς
προτέροις δυσὶ καὶ τὸν τρίτον.
εἴπερ οὖν ἐπ' ἄλλων τινῶν οὐ
10 μόνον τῆς διαθήκης τῆς παλαιᾶς
ῥητῶν ἀλλὰ καὶ τῆς καινῆς ἁρμόζει
λέγειν· »τὸ γράμμα ἀποκτείνει, τὸ
δὲ πνεῦμα ζωοποιεῖ«, τοῦτο καὶ ἐπὶ
τῶν κατὰ τὸν προκείμενον τόπον
15 ὁμολογητέον· τηρηθὲν γὰρ τὸ γράμμα τῶν δύο εὐνουχισμῶν εἴποι τις
ἂν ὅτι ἀπέκτεινε τοὺς ἀκολούθως
τοῖς προτέροις τὸν τρίτον νοήσαντας
καὶ τολμήσαντας εἰπεῖν (ὡς κατὰ
20 τὸν λόγον τοῦ κυρίου χωροῦντας
αὐτὸ νοεῖν) ἐπὶ τῷ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν ὁμοίως τοῖς
προτέροις εὐνουχισθεῖσιν εὐνουχίσαι ἑαυτούς.

25 2. Εἰ δὲ βούλεταί τις καὶ ἄλλα
παραδείγματα λαβεῖν τῆς καινῆς
διαθήκης ἐχούσης γράμμα ἀποκ|τεῖνον, ἀκουέτω παραδείγματος
χάριν τίνα τρόπον ὁ σωτὴρ πρὸς τοὺς
30 ἀποστόλους εἶπεν· »ὅτε ἀπέστειλα
ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ
ὑποδημάτων, μή τινος ὑστερήσατε;«
οἷς ἐπιφέρεται τὸ

2. Cui autem displicet, quoniam est et evangelica littera occidens, audiat exempli gratia quod dixit ad apostolos suos: 653 »quando misi vos sine sacculo et pera et calciamentis, ne aliquid vobis defuit?

12. 27 II. Kor. 3, 6 — 30ff Luc. 22, 35f

8. 18 τὸν] τὸ M H 11 τῆς] τοῖς H 12 ἀποκτείνει v ἀποκτένει M H 14 τόπον Hu τρόπον M H 21 νοεῖν Kl ποιεῖν M H 23 εὐνουχίσαι Diehl εὐνουχίσθαι M H

25 cui Kl quibus x 28 dixit Kl, vgl. gr. dicit x 30 ne] an ne μ

»οἱ δὲ εἶπον· οὐδενός. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλησάτω
5 τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν«. εἴ τις γὰρ διὰ τὸ ταῦτα εἰρηκέναι τὸν Ἰησοῦν μὴ ἐνιδὼν τῷ βουλήματι τῶν λελεγμένων πωλῆσαι τὸ αἰσθητὸν ἑαυτοῦ
10 ἱμάτιον καὶ ἀγοράσαι μάχαιραν ἀνδροφόνον, ὡς λαβὼν »μάχαιραν« τοιαύτην καὶ παρὰ τὸ βούλημα τοῦ Ἰησοῦ ποιήσας, παρεκδεξάμενος αὐτοῦ τὸν λόγον ἀπολεῖται μέν, τάχα
15 δὲ καὶ »ἐν μαχαίρᾳ« ἀπολεῖται. ποδαπὴ δὲ ἡ μάχαιρα, οὐ τοῦ παρόντος ἐστὶ καιροῦ διηγήσασθαι. ἀλλὰ καὶ τὸ »μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε« εἴ τις μὴ ἐξε-
20 τάσας, τί βουλόμενος ὁ Ἰησοῦς τοῦτο προσέταξεν, ὡς ζηλῶν ἀποστολικὸν βίον »μηδένα κατὰ τὴν ὁδὸν« ἀσπάσοιτο, ἀπάνθρωπος ⟨καὶ μωρὸς⟩ ἂν εἶναι δόξαι τοῖς θεωροῦσιν
25 αὐτὸν τοιοῦτον·
οἵτινες τὴν αἰτίαν τοῦ οὕτως νοήσαντος ἐπὰν ἀναφέρωσιν ἐπὶ τὸν λόγον, δι' ὃν ἐκεῖνος ἔδοξε τοῦτο πράττειν,
30 ἐναχθεῖεν ἂν πρὸς τὸ μισεῖν τὸν

qui dixerunt: nihil. respondit Iesus: sed nunc qui habet sacculum accipiat, similiter et peram, et qui non habet vendat vestimentum suum et emat gladium«. si quis ergo litteram volens aspicere et non intellegens voluntatem verborum vendiderit vestimentum suum corporale et »emerit gladium ⟨homicidialem, quasi accipiens gladium⟩ talem, contra voluntatem Christi ⟨faciens et prave⟩ suscipiens verbum eius peribit, forsitan et »in gladio« peribit. de quo autem gladio dicat, non est loci huius exponere. sed et illud aspiciat, »neminem in via salutaveritis«, si quis non discutiens, quid volens Iesus hoc [loco] praecepit, quasi zelans vitam apostolorum »neminem« salutaverit »in via«, quasi inhumanus et stultus videbitur omnibus

et sic docebit odire omnes verba

11ff Vgl. Matth. 26, 52 — 18. 22 Luc. 10, 4

4 πειραν M^a 5 ἀγορασάτο H 9f πωλήσει ... ἀγοράσει H 9 αὐτοῦ M 23 ⟨καὶ μωρὸς⟩ Kl, vgl. lat. 28 ὃν] οὗ M^c ?

3 arripiat Diehl Koe 6 literam volens aspicere] lat. frei 10 ⟨homicidialem—gladium⟩ Kl, vgl. gr. 12 ⟨faciens et prave⟩ Kl Koe, vgl. gr. 17 l. [aspiciat] ? Kl, vgl. gr. 20 [loco] Diehl, vgl. gr. 30 docebit x* l. suadebit ? Kl

λόγον τοῦ θεοῦ. ὡς ἀγρίους καὶ
ἀπανθρώπους κατασκευάζοντα τοὺς
ἐν αὐτῷ.
καὶ τούτου τὴν αἰτίαν λαβὼν ὁ
5 »μηδένα κατὰ τὴν ὁδὸν« ἀσπαζό-
μενος
πάθοι ἂν προφάσει τοῦ γράμματος
θάνατον.
τοῦ γράμματος αὐτὸν ἀποκτείναντος.
10 εἰ δὲ καὶ τὸν δεξιὸν ὀφθαλμόν τις
ἐκκόπτοι
ὡς αἴτιον τοῦ κακῶς βλέπειν, ἢ τὴν
δεξιὰν τοῦ σώματος
χεῖρα
15 ἢ τὸν δεξιὸν κατὰ σάρκα
πόδα,
πάθοι ἂν μετὰ ***

τῶν ἀποκτιννυμένων διὰ τὸ γράμμα,
20 ὡς καὶ αὐτὸς μείνας ἐπὶ τοῦ γράμ-
ματος, δέον ἀναβαίνειν αὐτὸν ἐπὶ
τὸ πνεῦμα τοῦ λεγομένου.
Ἄλλοι μὲν οὖν τῶν πρὸ ἡμῶν οὐκ
ὤκνησαν ἰδίοις συγγράμμασιν ἀφορ-
25 μὰς παρασχεῖν τοῦ τὸν τρίτον εὐνου-
χισμὸν τολ|μῆσαί τινας παθεῖν προ- 654
φάσει βασιλείας οὐρανῶν, παρα-
πλήσιον ὄντα τοῖς προτέροις δυσίν.

Christi quasi agrestes et inhu-
manos docentia homines esse.

forsitan autem et morietur in
odium cunctorum deductus.
littera se occidente.
si autem et dextrum quis oculum
eiciat

aut manum

aut pedem,
post opprobrium insaniae infruc-
tuosum patietur interitum.

5 Vgl. Luc. 10, 4 — 7f. 17ff Vgl. II. Kor. 3, 6 — 10ff Vgl. Matth. 5, 29f
Parr.

9 ἀποκτείνοντος H 10 τὸν < H[a]
13 ἀξίαν M 17 *** Diehl, vgl. lat.
24 γράμμασιν M 28 δυσίν + οἶμαι
αἰνίττεσθαι αὐτὸν τὸ περὶ αὐτοῦ ἱστορού-
μενον, ὡς ἄρα διὰ τὸν λόγον τῆς εὐσεβείας
ἢ τὸν τῆς σωφροσύνης ἔρωτον (!) εὐνου-
χισμῷ σωματικῷ ἑαυτὸν ἐπιδέδωκεν H,
schon von Hu als Einschiebsel er-
kannt, vgl. S. 355, 22

7ff lat. kürzt

3. ἡμεῖς δὲ Χριστὸν (τὸν λόγον τοῦ θεοῦ) »κατὰ σάρκα« καὶ κατὰ τὸ γράμμα ποτὲ νοήσαντες, »⟨ἀλλὰ⟩ νῦν οὐκέτι« γινώσκοντες, οὐκ εὐδο-
5 κοῦμεν ὡς καλῶς ἐξειληφόσι τοῖς καὶ τὸν τρίτον εὐνουχισμὸν ἑαυτοῖς προφάσει τῆς βασιλείας τῶν οὐρανῶν ἐπάγουσι. καὶ οὐκ ἂν ἐπὶ πλεῖον προσδιετρίψαμεν τῇ ἀνα-
10 τροπῇ τοῦ τὸν τρίτον παραπλησίως τοῖς προτέροις δυσὶ σωματικῶς ἐκλαβεῖν θέλοντος, εἰ μὴ καὶ ἑωρά-κειμεν τοὺς τολμήσαντας καὶ ἐντετεύ-χειμεν τοῖς δυναμένοις θερμοτέραν
15 κινῆσαι ψυχὴν (καὶ πιστὴν μὲν οὐ λογικὴν δὲ) πρὸς τὸ τοιοῦτον τόλμη-μα. φησὶ δὴ Σέξτος ἐν ταῖς Γνώμαις, βιβλίῳ φερομένῳ παρὰ πολλοῖς ὡς δοκίμῳ· »πᾶν μέρος τοῦ σώματος
20 τὸ ἀναπεῖθόν σε μὴ σωφρονεῖν ῥῖψον· ἄμεινον γὰρ χωρὶς τοῦ μέρους ζῆν σωφρόνως ἢ μετὰ τοῦ μέρους ὀλε-θρίως«. καὶ πάλιν προβὰς ἐν τῷ αὐτῷ βιβλίῳ ἀφορμὴν διδοὺς ἐπὶ
25 τὸ παραπλήσιον λέγει· »ἀνθρώ-πους ἴδοις ἂν ὑπὲρ τοῦ τὸ λοιπὸν τοῦ σώματος ἔχειν ἐρρωμένον ἀπο-κόπτοντας αὐτῶν καὶ ῥίπτοντας μέρη· πόσῳ βέλτιον ὑπὲρ τοῦ σω-
30 φρονεῖν;« καὶ Φίλων δέ, ἐν πολλοῖς τῶν εἰς τὸν Μωσέως νόμον συν-τάξεων αὐτοῦ εὐδοκιμῶν καὶ παρὰ

2f Vgl. II. Kor. 5,16 — 17 Über dies Werk vgl. Harnack TU. 42, 4, 53 A. 1; Gesch. d. Altchr. Litt. II, 2, 190ff — 19. 25 Sextus Sent. Nr. 13 u. 273 — 30ff Philo quod det. pot. ins. sol. § 176

1 ἡμεῖς] μεῖς H (!) am Anf. d. Zeile 3 ⟨ἀλλὰ⟩ Kl 13 ἐνετετύχοι-μεν H 17 δὲ H 19 usw. μέρος] *membrum* usw. Sextus lat. 32 εὐδοκί-μων H

συνετοῖς ἀνδράσι, φησὶν ἐν βιβλίῳ ᾧ οὕτως ἐπέγραψεν· Περὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι, ὅτι »ἐξευνουχισθῆναι μὲν
5 ἄμεινον ἢ πρὸς συνουσίας ἐκνόμους λυττᾶν«.

Ἀλλ' οὐ πιστευτέον αὐτοῖς μὴ τὸ βούλημα τῶν ἱερῶν γραμμάτων περὶ τούτων ἐξειληφόσιν.
10 εἰ γὰρ ἐν τοῖς καρποῖς »τοῦ πνεύματος« κατείλεκται μετὰ ἀγάπης καὶ χαρᾶς καὶ μακροθυμίας καὶ τῶν λοιπῶν καὶ ἡ ἐγκράτεια, καρποφορητέον μᾶλλον τὴν ἐγκράτειαν
15 καὶ τὸ δεδομένον ἀπὸ θεοῦ σῶμα ἄρρεν τηρητέον, ἤπερ ἄλλο τι τολμητέον, ἵνα καὶ παραβαίνῃ τις τὸ καὶ ὡς πρὸς τὸ ῥητὸν χρησίμως λέγον· »οὐ φθερεῖς τὴν ὄψιν τοῦ
20 πώγωνός σου«, χρήσιμον εἰς ἀποτροπὴν θερμῶν μὲν τῇ ⟨δὲ⟩ πίστει νεωτέρων, οἷς ὁμολογεῖν χρὴ ὅτι ἔρωτα σωφροσύνης ἔχουσιν »ἀλλ' οὐ κατ' ἐπίγνωσιν«, καὶ τὸ »ἐὰν δὲ μάχωνται
25 ἄνθρωποι ἐπὶ τὸ αὐτό, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ ἑαυτοῦ« καὶ τὰ ἑξῆς, ἕως τοῦ »οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῇ«. εἰ γὰρ ἀποκόπτεται χεὶρ ἐπιλαβομένη διδύ-
30 μων ἀνδρός, πῶς οὐχὶ καὶ ὁ ἑαυτὸν δι' ἄγνοιαν ὁδοῦ φερούσης ἐπὶ σωφροσύνην τοιαύτῃ περιστάσει ἐπιδεδωκώς; | ἐπιλογισάσθω οὖν ὁ μέλ- 655

10 ff Vgl. Gal. 5, 22 — **19** Lev. 19, 27 — **23** Vgl. Röm. 10, 2 — **24** Deut. 25, 11 f

2 περὶ Kl ἐπὶ M H **4** μὲν] γε μὴν Philo **5** ἐννόμους M **13** καὶ < M **19** λέγων Mᵃ Hᵃ **20** εἰς] l. ⟨δ'⟩ εἰς ? Kl **21** ⟨δὲ⟩ Diehl **30** l. οὐχὶ ⟨κατακριθήσεται⟩ ? Kl **32** ἐπιδεδωκὼς ⟨τὸ αὐτὸ πάθοι ἄν;⟩ Koe

λων τὸ τοιοῦτον τολμᾶν. ἃ πείσεται
ὑπὸ τῶν ὀνειδιζόντων καὶ συγχρω-
μένων τῷ »οὐκ εἰσελεύσεται θλα-
δίας καὶ ἀποκεκομμένος εἰς ἐκ-
5 κλησίαν κυρίου«, συναριθμούντων
αὐτὸν τοῖς ἀποκεκομμένοις τὸν ἄν-
δρα. οὔπω λέγω καὶ ἃ πάθοι ἄν
τις παρὰ καιρὸν ἐμποδισθέντων
τῶν (ὡς ἰατρῶν παῖδές φασιν) ἀπὸ
10 κεφαλῆς καταβαινόντων ἐπὶ τοὺς
ἄρρενας τόπους σπερμάτων καὶ ἐν
τῷ καταβαίνειν διά τινων περὶ τὰς
παρειὰς φλεβῶν τῇ φυσικῇ τῶν κα-
ταβαινόντων θερμότητι τρίχας ποι-
15 ούντων φύειν τοὺς ἄνδρας περὶ τὰ
γένεια· ὧν τριχῶν στέρονται καὶ
οἱ νομίζοντες ἑαυτοὺς δεῖν σωμα-
τικῶς εὐνουχίζειν διὰ τὴν τῶν
οὐρανῶν βασιλείαν. τίνα δ' ἂν
20 πάθοιεν, ἢ καρηβαρίας ἢ σκοτώ-
σεις ἔσθ' ὅτε φθανούσας καὶ ἐπὶ
τὸ ἡγεμονικὸν καὶ ταραττούσας τὸ
φανταστικὸν ἀλλόκοτα φαντασιού-
μενον ἀπὸ τῆς τοιᾶσδε ὕλης; πρὶν
25 δὲ ἔλθω ἐπὶ τὴν διήγησιν τῶν κατὰ
τὸν τόπον, λεκτέον ὅτι, εἴπερ τι
ἀκόλουθον ἑαυτῷ ὁ Μαρκίων πε-
ποίηκε φάσκων μὴ δεῖν ἀλληγο-
ρεῖν τὴν γραφήν, καὶ τοὺς τόπους
30 τούτους ἠθέτησεν ὡς οὐχ ὑπὸ τοῦ
σωτῆρος εἰρημένους, νομίσας δεῖν

3 Deut. 23, 1 — 7ff Vgl. Hippocr. de natura pueri § 20? 12ff Vgl. Harnack TU. 42, 4, 104 — 28ff Vgl. Orig. comm. II, 13 in Rom. (Lomm. 6, 136): *Marcion sane, cui per allegoriam nihil placet intellegi.* Vgl. Harnack TU. 42, 4, 68f; Marcion[2] 260*

γημένους, οὐκ οἶδα ἐκ ποίας ὕλης, δεκτικοὺς τῆς καθίσεως τοῦ θεοῦ ἢ τοῦ Χριστοῦ ἢ τῶν καθεζομένων ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων 5 Χριστοῦ, οἷς ἡτοίμασε τὸ τοιοῦτον ὁ πατήρ. οὐκ οἶδα δὲ εἰ εὐαγές ἐστι σωματικὸν νομίζειν εἶναι τὸ »ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων« τοῦ θεοῦ ἑστηκέναι τὴν στρατιὰν | »τοῦ 10 οὐρανοῦ« σωματικῶς, ἢ πάλιν οἴεσθαι τοὺς μὲν σῳζομένους καὶ ἐπαινουμένους ἐν τοῖς σωματικοῖς εἶναι δεξιοῖς τοῦ βασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ. τοὺς δὲ ψεκτοὺς καὶ ἀπο-15 λουμένους ἐν τοῖς ἀνάλογον τούτοις σωματικοῖς εὐωνύμοις.

liter esse aedificatas de materia nescio qua, in quibus sedeat deus vel Christus eius vel qui *ad dexteram* eius sessuri sunt vel *ad sinistram*. quibus hoc a patre *paratum est*. et nescio si sit *** corporale quod dicitur militiam caeli stare ad dei »dexteram vel sinistram«, aut iterum aestimare, quoniam 716 qui salvantur quidem et laudabiles sunt, a dextris corporalibus sunt regis nostri Iesu, mali autem et perditi similiter in sinistris corporalibus.

5. Ἀλλὰ μήποτε τὸ μὲν ἀποκαταστῆναι ἐπὶ τὴν βασιλείαν ἀπολαβόντα τὴν ἑαυτοῦ ἀρχὴν Χριστόν, 20 καταργηθείσης τῆς βασιλευούσης ἐν τοῖς θνητοῖς σώμασι τῶν ἀνθρώπων ἁμαρτίας καὶ πάσης τῆς ἀρχούσης τῶν πονηρῶν ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, τοῦτ' ἔστι 25 τὸ καθεσθῆναι αὐτὸν »ἐπὶ θρόνου δόξης αὐτοῦ«· τὸ δὲ καὶ δεξιὰ ⟨καὶ εὐώνυμα⟩ ποιῆσαι πάντα τῷ θεῷ, ἵνα μηκέτι ᾖ σκαιόν τι πρὸς αὐτόν, 30 τοῦτ' ἔστι τὸ ἐσόμενον ἐν τοῖς »ἐκ δεξιῶν τῆς δυνάμεως« ἐσομένοις, πρὸς παράδειγμα μέλλουσι βλέπειν τὸ »ἐκ δεξιῶν τῆς δυνάμεως«

5. Sed vide, ne forte quod dicitur Christum restitui in regno suo recipientem proprium principatum. sic intellegere debeamus, ut destructo peccato. quod regnabat in corporibus mortalibus hominum, et omni principatu malignarum virtutum et potestate destructa, hoc sit sedere Christum »in sede gloriae suae«; quod autem deus omnia facit ad dexteram et ad sinistram, hoc est ut iam nullum malum sit ante eum.

8f Vgl. III. Regn. 22, 19 — 10f Vgl. Matth. 25, 33 — 19 Vgl. Luc. 19, 15 — 20f Vgl. Röm. 6, 12 — 25 Vgl. Matth. 19, 28 — 30. 33 Vgl. Marc. 14, 62

6 δὲ < H 17 ἀλλὰ + *vide* lat. 19 Χριστόν, *** Koe, vgl. lat. 26 αὐτοῦ *v* 27 ⟨καὶ εὐώνυμα⟩ Kl, vgl. lat. | ποιῆσαι] ποιηθῆναι Koe

6 *** Kl, vgl, gr. 9 aut Kl, vgl. gr. et x 21/22 regnabat y* < L 23 et y* est et L 23 24 malignarum y* alienarum L 27 et + si B

καθέζεσθαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων αὐτοῦ ἐν τῇ βασιλείᾳ Χριστοῦ τοῦ λόγου· οὓς ἀποκαθίστησιν ὁ θεὸς συνεργήσας αὐτοῖς καὶ ἑτοιμάσας τὸ ἐγγίζειν τῇ Χριστοῦ ὑπεροχῇ, ἵν' ὁ μὲν προηγούμενος τῶν ⟨ἄλλων τῶν Χριστῷ⟩ ἐγγιζόντων ᾖ ἐκ δεξιῶν καὶ οἷον ἁπτόμενος αὐτοῦ καὶ κολλώμενος τοῖς τοῦ λόγου δεξιοῖς, ὁ δὲ ὑποδεέστερος ἐγγὺς τῶν ἀριστερῶν αὐτοῦ. δεξιὰ δὲ ὅρα εἰ δύνασαι νοῆσαι Χριστοῦ τὰ ἀόρατα ὀνομαζόμενα κτίσματα, ἀριστερὰ δὲ τὰ ὁρατὰ καὶ σωματικά. ἀλλὰ Χριστὸς μὲν πάντων βασιλεύει· ἤδη δὲ τῶν ἐγγιζόντων αὐτῷ οἱ μὲν κεκλήρωνται τὰ δεξιὰ καὶ νοητά, οἱ δὲ τὰ ἀριστερὰ καὶ αἰσθητά. καὶ μήποτε ἡ ἀληθινὴ μήτηρ τῶν υἱῶν Ζεβεδαίου (οὓς ἐκάλεσε Βοανεργὲς ὁ σωτήρ, »ὅ ἐστιν υἱοὶ βροντῆς«), ἡ βροντὴ ⟨αὐτή⟩. μεγάλα κρίνασα περὶ τῶν υἱῶν

intellegat ergo, qui potest, eminentiam quidem regni in hominibus Christum recepisse et glorificatum esse ad gloriam, quam habuit »priusquam esset mundus«, priusquam peccarent qui peccaverunt, et habebat gloriam apud patrem: eorum autem, qui adpropiant in primo vel in secundo vel in tertio loco, quasi homines constituti secundum mensuram suam habentes sedere *ad dexteram* vel ⟨*ad*⟩ *sinistram* Christi *in regno* eius, quos restituet deus cooperans eis et parans eis ut adpropient eminentiae Christi. qui quidem praecellunt prae ceteris adpropinquantibus Christo, sunt *a dextris* Christi, videlicet qui tangunt eum et coniuncti sunt dextris ipsius verbi, qui autem inferiores sunt *a sinistris* sunt eius. dexteram autem vide si potes intellegere Christi invisibilem creaturam ⟨nominatam⟩, sinistram autem visibilem et corporalem. et Christus quidem omnibus regnat; adpropinquantium autem ei quidam dextera sortiuntur et intellegibilia, alii autem sinistra et sensibilia. et ne forte vera *mater filiorum Zebedaei* (quos appellavit filios tonitrui Christus) magniloquentia ipsa, iudicans magna de *filiis suis* Ia-

4ff Vgl. Joh. 17, 5 — **24f** Vgl. Röm. 1, 20 — **32ff** Vgl. Marc. 3, 17

19 ⟨ἄλλων—Χριστῷ⟩ Kl nach Diehl Koe, vgl. lat. **34** ἡ] ᾖ M | βροντή] *magniloquentia* lat. | ⟨αὐτή⟩ Diehl, vgl. lat.

13 ⟨ad²⟩ ϱ **14** Christi ⟨verbi⟩ ? Diehl, vgl. gr. **19. 22** a] ad G **23** eius sunt L **25** ⟨nominatam⟩ Diehl, vgl. gr. **27** et] l. sed ? Kl. vgl. gr. **29** dexteram γ

αὐτῆς Ἰακώβου καὶ Ἰωάννου (καὶ γὰρ ἦσαν μεγάλοι) καὶ ὑπολαβοῦσα αὐτοὺς τὰ πρωτεῖα δύνασθαι ἔχειν παρὰ πᾶσαν γεννητὴν φύσιν ὡς
5 χωρήσαντας τὴν μεγαλοφωνίαν αὐτῆς, προσελθοῦσα | ἠξίου τὸν κύριον, ἵνα ἱδρύσῃ τὸν μὲν ἕτερον αὐτῶν *ἐκ δεξιῶν*, τὸν δ' ἄλλον *ἐξ εὐωνύμων*. ὁ δὲ σωτὴρ διελέγχων καὶ τὴν
10 τηλικαύτην μεγαλόφωνον μητέρα τοῦ Ἰακώβου καὶ Ἰωάννου ὡς ἀγνοοῦσαν, τίνες οἱ ὑπερέχοντες καὶ ὅτι ἡ τηλικαύτη δωρεὰ χάρις ἐστὶ ⟨μόνου⟩ τοῦ ἐπὶ πᾶσι θεοῦ συμπνέον-
15 τος καὶ συνεργοῦντος καὶ ἱδρύοντος ἐν τῇ τοιαύτῃ ὑπεροχῇ, οὓς εἶδεν ἐπιτηδείους, εἶπε τὸ *οὐκ οἴδατε τί αἰτεῖσθε καί· τὸ καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων*
20 *οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου.*
ἐπιστήσει δὲ ὁ δυνάμενος τίνα μὲν ὑπὸ τοῦ σωτῆρος δίδοται, τίνα δὲ
25 ὑπὸ τοῦ πατρός, ὁρῶν ὅτι ἔστι τινὰ ἃ οὐ δοίη ἂν ὁ υἱός, ἀλλ' αὐτὸς ὁ πατήρ. εἰ δὲ τοιοῦτόν τι παρίστησι καὶ τὰ εὐαγγέλια, ὅπου μὲν εἰσάγοντα τὸν σωτῆρα εὐ-
30 χόμενον περί τινων δυνάμεων ἵνα αὐτῷ ὑπαρχθῇ τὰ αἰτήματα ἀπὸ τοῦ πατρός, ὅπου δὲ χωρὶς εὐχῆς ποιοῦντα ὡς ἤδη ἔχοντα ἐκεῖνα περὶ ὧν ἠξίωτο, τολμηρὸν μὲν

cobo et Iohanne (nam et vere magni erant) et aestimans eos primatum habere posse super omnem naturam humanam, quasi qui potuerunt capere magniloquium eius, accedens dominum 717 precabatur, ut confirmaret unum quidem *a dextris*, alterum *a sinistris*. salvator autem reprehendens etiam huiusmodi magniloquentem matrem Iacobi et Iohannis quasi ignorantem, qui essent eminentiores et quoniam huiusmodi donum solius dei est qui super omnia est, conspirantis et cooperantis et confirmantis in huiusmodi eminentia quos viderit aptos, [et] ideo dixit: *nescitis quid petatis* ⟨et:⟩ *sedere ad dexteram meam et sinistram non est meum dare vobis, sed quibus paratum est a patre meo.*

2 γὰρ + *vere* lat. 8 ἄλον H 14 ⟨μόνου⟩ Diehl, vgl. lat. 16 οἶδεν H 17 εἶπε] *ideo dixit* lat. 24 δὲ < H 26 δοίη Koe δώη M H | ἂν ὁ υἱὸς] ἄνος M

3 prima G L 6 dominum Kl, vgl. gr. deum x 10/11 magniloquentem Koe, vgl. gr. magniloquentiam x 14 donum + χάρις gr. 18f [et] ... ⟨et:⟩ Kl, vgl. gr. 19 ad —sinistram] autem mecum L

<table>
<tr><td></td><td>ζητῆσαι, ὅμως δὲ ὁ δυνάμενος μετὰ εὐλαβείας καὶ ταῦτα ἐξεταζέτω.</td><td></td></tr>
<tr><td>5
10</td><td>παραστῆσαι δ' οἶμαι βουλόμενος τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου καὶ αὐτοῖς, ὅτι καὶ ἔλειπεν αὐτοῖς πρὸς τὸ τελειῶσαι τὰ ἐν ἀνθρώποις ἐφικτὰ οὐ τὰ τυχόντα, ἀποκριθεὶς εἶπε μετὰ τὸ οὐκ οἴδατε τί αἰτεῖσθε τὸ δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν</td><td>arbitror autem, quod volens ostendere matri filiorum Zebedaei et ipsis, quoniam adhuc minus habebant de perfectione quam homines possunt habere non mediocres, ideo respondit postquam dixerat: nescitis quid petatis: potestis bibere calicem quem ego bibiturus sum</td></tr>
<tr><td>15</td><td>(ἢ ὡς ὁ Μᾶρκος ἀνέγραψε· »δύνασθε τὸ ποτήριον πιεῖν ὃ ἐγὼ πίνω</td><td></td></tr>
<tr><td></td><td>ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι;«)</td><td>aut baptismum baptizari quod ego baptizabor?</td></tr>
<tr><td>20</td><td></td><td>denique cum dixissent possumus, non ita respondit Christus: calicem quidem meum bibere potestis, sed ad futuram eorum perfectionem respiciens dixit: calicem quidem meum bibetis et baptismum baptizabimini.</td></tr>
<tr><td>25</td><td>6. Καὶ ἐν τούτοις δὲ ζητήσει τις τί τὸ ποτήριον καὶ τί τὸ βάπ-</td><td>6. Adhuc autem quaerere oportet in loco hoc, quid est calix et</td></tr>
</table>

13ff Zum Text vgl. Hautsch TU. 34, 2[a], 69, der mit Griesbach annimmt, daß Origenes die Worte ἢ—βαπτισθῆναι bei Matthäus nicht gelesen habe, trotzdem aber in der Erklärung die ausführlichere Form des Gedankens aus Markus behandle. Ein Versuch, mit lat. (s. auch S. 471, 21 f) im griechischen Text die Worte ἢ ὡς ὁ Μᾶρκος ἀνέγραψε· »δύνασθε τὸ ποτήριον πιεῖν ὃ ἐγὼ πίνω« Z. 13—15 in Klammern zu setzen und die Fortsetzung Z. 16f ἢ τὸ—βαπτισθῆναι zum Matthäustext zu schlagen, scheitert an S. 485, 13ff — Marc. 10, 38. 39

6 *καὶ*] *adhuc* lat. **13—482, 1** größtenteils zerstört in M **25** *δὲ* Kl, vgl. lat. *τε* M H

8, 9 mediocres] lat. hat *τὰ τυχόντα* mißverstanden Koe **11** calicem bibere G **16** baptismum ... quod Kl, s. S. 471, 22 baptismo ... quo x **17** baptizor L **22** dicit L **26** hoc < GL

τισμα, ὡς ἕτερα ἀλλήλων <ὄντα ἀμφότερα καὶ οὕτως ὠνομασμένα> καὶ δεόμενα οὐ τῆς τυχούσης δυνάμεως τῆς τοῦ πιομένου ἢ τοῦ (5) βαπτισθησομένου, καὶ πιομένου οὐκ ἄλλο ποτήριον ἢ ὃ ἔμελλε πίνειν ὁ Ἰησοῦς βαπτισθησομένου τε παραπλησίως βάπτισμα, ὃ αὐτὸς ἔμελλε βαπτίζεσθαι ὁ κύριος.

quid est baptismum. quasi distent enim ab invicem, sic utrumque est nominatum.

(10) οἱ πολλοὶ μὲν οὖν τὰ ἀμφότερα ἄγουσιν εἰς τὴν κατὰ τὸ μαρτύριον οἰκονομίαν, οὐ παριστάντες οὔτε εἰ δύο ἐπινοίας ἔχει δηλουμένας διὰ τῶν δύο ὀνομάτων ἓν τῇ ὑποστάσει (15) τυγχανόντων, οὔτ' εἰ δύναται καὶ δύο δηλοῦσθαι ἐν τούτοις πράγματα.

multi enim utrumque dicunt ad passionem martyrii pertinere non adtendentes, quoniam nisi duos et diversos intellectus ostenderent calix et baptismum, numquam utrumque nominaretur.

ἡμεῖς δὲ | οὐκ ἀποδοκιμάζομεν μὲν καὶ ταύτην τὴν ἐκδοχήν, ἐφίσταμεν δὲ (20) εἰ δύναται καὶ ἄλλο τι δηλοῦν παρὰ ταῦτα τὰ δύο ὀνόματα. καὶ ἐπεὶ πολύ ἐστι τὸ νῦν ἀκριβῶς διαλαβεῖν περὶ αὐτῶν, ὀλίγα εἰς τὸ στῆναι τὰ ἐμφαινόμενα ἡμῖν παραστήσομεν (25) εἰς τὸν τόπον.

nos autem et istam quidem traditionem non reprobamus, alteram autem statuimus: [718]

καὶ εἰς μὲν τὸ δηλοῦσθαι ἐν τούτοις τὸ μαρτύριον οὐ μόνῳ χρήσεταί τις τῷ »πάτερ, εἰ δυνατόν, παρένεγκε

quoniam calix quidem ipsa passio intellegitur esse dolorum. quod confirmatur non solum eo exem-

21ff Vgl. Hier. in Matth. 155 C: *»calicem« in scripturis divinis passionem intellegimus: »pater, si possibile est, transeat calix iste a me«, et in psalmo: »quid retribuam domino pro omnibus quae retribuit mihi? calicem salutaris accipiam et nomen domini invocabo«, statimque infert, quis iste sit calix: »pretiosa in conspectu domini mors sanctorum eius«* — 28 Matth. 26, 39 vgl. Marc. 14, 36

1 <ὄντα—ὠνομασμένα> Koe, vgl. lat. 4 τῆς < M 7 ὁ < H[a] 11 l. λέγουσιν? Kl, vgl. lat. u. Eph. 5, 32 <ἀν>άγουσιν Koe 14 ἓν] ἐν M

1 baptismus B 10 l. ducunt? Diehl, vgl. gr. 18 alteram x* alterum ϱ 26 calix qu. ipse . . . dolorum] gr. kürzt?

τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ«, ὡς
ἐπιπόνως πινόμενον ὑπὸ τοῦ ἀνα-
δεχομένου τοὺς ἐν τῷ μαρτυρίῳ
ἀγῶνας, ἕως τις ἐκπίῃ ὑπομείνας
5 τὰ κατὰ τὸν ἐν τῷ μαρτυρίῳ πει-
ρασμὸν πάντα τὰ προσαγόμενα αὐτῷ,
ἀλλὰ καὶ τῷ ἐν ἑκατοστῷ πεντεκαι-
δεκάτῳ Ψαλμῷ εἰρημένῳ· »τί ἀντα-
ποδώσω τῷ κυρίῳ περὶ πάντων
10 ὧν ἀνταπέδωκέ μοι; ποτήριον σω-
τηρίου λήψομαι, καὶ τὸ ὄνομα κυ-
ρίου ἐπικαλέσομαι«. »τὰς εὐχάς μου
τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς
τοῦ λαοῦ αὐτοῦ«. »τίμιος ἐναντίον
15 κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ«.
οὐδὲν γὰρ δυνάμεθα πλεῖον ἀπο-
δοῦναι τῷ κυρίῳ ἐφ' οἷς εὐηργε-
τήθημεν ἢ τὸ τοῦ σωτηρίου πο-
τήριον προθύμως λαβεῖν καὶ ἐπι-
20 καλέσασθαι τὸ τοῦ κυρίου ὄνομα
εἰς τὸ πιεῖν αὐτό· ἐν ᾧ ἐκπινομένῳ
ἀποδίδωσί τις τὰς εὐχὰς αὐτοῦ
πάσας »τῷ κυρίῳ ἐναντίον παντὸς
τοῦ λαοῦ αὐτοῦ«. σαφῶς δὲ ἐδίδαξεν
25 ἐν τούτοις ὅτι τὸ ποτήριον ⟨τὸ
μαρτύριόν⟩ ἐστιν ὁ ἐπαγαγὼν τοῖς
κατὰ τὸ ποτήριον τὸ »τίμιος ἐναν-
τίον κυρίου ὁ θάνατος τῶν ὁσίων
αὐτοῦ«. τῇ δὲ ἐπινοίᾳ τὸ μαρτύριον
30 δύο ἐστίν, ὧν τὸ μὲν ἓν καλεῖται
»ποτήριον σωτηρίου«, τὸ δὲ λοι-
πὸν βάπτισμα. καὶ καθὸ μὲν
ὑπομένει τις τοὺς πόνους, ποτή-

plo quod dicit: pater, si possibile
est, transfer calicem hunc a me«,
qui cum doloribus bibitur ab eo,
qui suscipit certamen martyrii,
donec biberit eum sustinens in
temptatione martyrii universa
quae inferuntur; sed etiam eo,
quod in alio loco dicitur: »quid
retribuam domino pro omnibus
quae retribuit mihi? calicem salu-
taris accipiam, et nomen domini
invocabo«. »vota mea domino red-
dam in conspectu omnis populi
eius«. »pretiosa in conspectu do-
mini mors sanctorum eius«. nihil
enim dignum reddere possumus
deo pro omnibus bonis, quae fecit
in nobis, nisi ut calicem salutaris
prompte suscipiamus et nomen
domini invocemus, ut possimus
magnanimiter bibere eum; in quo
bibendo vota nostra reddimus
»domino in conspectu omnis po-
puli eius«. manifeste autem osten-
dit in his, quoniam calix marty-
rium est, ex eo quod statim prop-
ter bibitum calicem addidit sic:
»pretiosa in conspectu domini
mors sanctorum eius«. intellectu
autem omne martyrium duplex
est, quorum unum vocatur »calix
salutaris«, reliquum autem bap-
tisma. et hoc quidem quod quis

8 Ps. 115, 3f — 12 Ps. 115, 9 — 14. 23. 27 Ps. 115, 6

5 [τὰ] Koe 16 πλεῖον] *dignum* lat. 21 τὸ + *possimus magnanimiter* lat. 22 ἀποδίδοσι H 25/26 ⟨τὸ μαρτύριον⟩ Kl nach Hu. vgl. lat. 27 τὸ[1] + *bibitum* lat. 29 τὸ] *omne* lat. 30 δύο] *duplex* lat.

7 inferuntur + item G 8 dicitur in alio loco G 18 salutaris Diehl Kl. vgl. gr. salutarem x 19 accipiamus B L

ριόν ἐστιν ἐκπινόμενον ὑπὸ τοῦ φέροντος πάντα τὰ προσαγόμενα εἰς ἑαυτόν,
ἀναλαμβάνοντος καὶ οἱονεὶ πίνοντος
5 τὰς ἀλγηδόνας
καὶ μὴ ἀπωθουμένου αὐτὰς μηδὲ ἀποβάλλοντος ἢ ἐμοῦντος. καθὸ δὲ ἄφεσιν λαμβάνει ἁμαρτημάτων ὁ ὑπομείνας, βάπτισμα ἐστιν· εἰ 10 γὰρ τὸ βάπτισμά ἄφεσιν ἁμαρτημάτων ἐπαγγέλλεται, καθὼς παρειλήφαμεν περὶ τοῦ ἐν ὕδατι καὶ πνεύματι βαπτίσματος, ἄφεσιν δὲ λαμβάνει ἁμαρτημάτων καὶ ὁ τὸ | 15 τοῦ μαρτυρίου ὑπομείνας βάπτισμα, βάπτισμα τὸ μαρτύριον εὐλόγως λέγοιτ᾽ ἄν.

Ὅτι δὲ ἄφεσις ἁμαρτημάτων γίνεται ⟨παντὶ⟩ τῷ τὸ μαρτύριον 20 ὑπομείναντι, δῆλον ἐκ τοῦ »πᾶς ὃς ἐὰν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς«. ὁμολογεῖ δὴ 25 ἔμπροσθεν τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς ὁ σωτὴρ πάντα τὸν ὁμολογήσαντα,

κἂν τύχῃ πρὸ τῆς ὁμολογίας ὁτιποτ30 οῦν ἁμαρτών· εἰ γὰρ τοὺς ὁτιποτοῦν

perfert dolores, *calix* est quem bibit omnis, qui sustinet omnia sibi inlata

nec ⟨reppulit nec⟩ reicit nec evomit aliquid eorum. quod autem quis in passione remissionem accipit peccatorum, baptismum est. si enim baptismum indulgentiam peccatorum promittit, sicut accepimus de baptismate aquae et spiritus, remissionem autem accipit peccatorum et qui martyrii 719 suscipit baptismum, sine dubio ipsum martyrium rationabiliter baptismum appellatur.

Quoniam autem remissio fit peccatorum omni martyrium sustinenti, manifestum est ex eo quod ait: »omnis qui confessus fuerit in me coram hominibus, et ego confitebor in illo coram patre meo qui est in caelis«. confitetur ergo coram patre suo salvator omnem hominem, qui confessus fuerit

eum coram hominibus,

etsi fuit ante confessionem aliqua habens peccata. si enim eos, qui

20 Matth. 10, 32

6 καὶ μὴ] μὴ δὲ M | ἀποθουμένου M 7 ἢ Koe vgl. lat. καὶ M H 11 ἐπαγγέλεται M 16 βάπτισμα τὸ] *sine dubio ipsum . . . baptismum* lat. 19 ⟨παντὶ⟩ Kl nach Koe, vgl. lat. u. Z. 26 24 δὴ Kl, vgl. lat. δὲ M H 26 τὸν] *hominem* lat. 29 ὁμολογήσεως M

2 bibet G L 6 ⟨reppulit nec⟩ Kl, vgl. gr. | nec[3]] aut B 7 aliquid eorum] lat. las αὐτῶν τι für αὐτάς? 22 f in me . . . in illo] me . . . illum B

ἁμαρτ⟨όντας ὁμολογ⟩ήσαντας οὐχ ὁμολογήσει.

οὐκ ἔσται ἀληθὲς τὸ »πᾶς οὖν ὅστις
5 ὁμολογήσει ἐν ἐμοὶ« καὶ τὰ ἑξῆς. οὐκ οἶμαι δ' ὅτι ἔμπροσθεν τοῦ ἐν οὐρανοῖς πατρὸς ὁμολογήσει ὁ σωτὴρ τὸν ὁποιωποτοῦν ἔνοχον ἁμαρτήματι· παρρησιαζομένου γὰρ ⟨υἱοῦ⟩
10 ἐνώπιον πατρός ἐστιν ἡ ὁμολογία ἐπὶ τῷ ὁμολογουμένῳ ὡς ἀξίῳ τῆς ⟨Χριστοῦ⟩ ἐπὶ τοῦ πατρὸς ὁμολογίας. μὴ σαινέτω δὲ ἡμᾶς εἰ ὁ σωτὴρ παρὰ τῷ Μάρκῳ καὶ τὸ ποτήριον πίνει,
15 καὶ τὸ βάπτισμα βαπτίζεται· καὶ γὰρ ἡνίκα ὁ Ἰωάννης »ἦλθεν εἰς πᾶσαν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν«, καὶ Ἰησοῦς »παραγίνεται
20 πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ« οἱονεὶ ἀπολουόμενος τὰ ἡμέτερα ἁμαρτήματα, ἵν' ἡμεῖς τῷ λουτρῷ αὐτοῦ καθαρισθῶμεν. μᾶλλον δὲ ἐμφαίνεται τὸ καθαρίζεσθαι
25 ἡμᾶς ἐπὶ τῷ μαρτυρίῳ αὐτῷ, καθὸ ἐβαπτίζετο ἀναλαβὼν ἡμῶν τὰς ἁμαρτίας, ἵνα αὐτὰς λύσῃ καὶ ἀφ' ἡμῶν καὶ ἀφ' ἑαυτοῦ· διόπερ »ὃ ⟨ἀπέθανεν,⟩ ἀπέθανε τῇ ἁμαρτίᾳ« ἡμῶν,
30 ἐπεὶ αὐτὸς ἀπέθανε »τῇ ἁμαρτίᾳ« οὐ τῇ ἑαυτοῦ ἀλλὰ τῇ ἡμετέρᾳ, εἴ γε ἔχειν λόγον τὸ τοιοῦτον δόξει τισί.

aliqua habentes peccata confessi sunt, non confitetur et Christus coram patre suo, iam non erit verum quod dixit: omnis qui ⟨in⟩ me confessus fuerit« et cetera. alias autem peccatorem nescio si confitetur Christus coram patre suo. confessio enim filii gloriantis est in conspectu paterno super eo, quem confitetur quasi dignum Christi confessione ad patrem.

4 Matth. 10, 32 — 16 Luc. 3, 3 — 19 Vgl. Matth. 3, 13 — 28 Röm. 6, 10

1 ἁμαρτ⟨όντας ὁμολογ⟩ήσαντας Diehl Kl, vgl. lat. 9 ⟨υἱοῦ⟩ Kl nach Koe, vgl. lat. 12 ⟨Χριστοῦ⟩ Diehl, vgl. lat. 22 ἡμεῖς + καὶ H 28/29 ⟨ἀπέθανεν⟩ Kl 32 δόξει Kl δόξαι M H

2. 7 l. confite⟨bi⟩tur? Kl, vgl. gr. 5 ⟨in⟩ Diehl Kl, vgl. gr. 6 autem ... nescio] lat. las οὐκ οἶδα δ' Diehl 11 digno L

Greek	Latin
πεπώκασι δὲ ⟨κατὰ ταῦτα, ὡς ἐμοὶ δοκεῖν, καὶ τὸ⟩ ποτήριον καὶ τὸ βάπτισμα ἐβαπτίσθησαν οἱ τοῦ Ζεβεδαίου υἱοί, ἐπείπερ Ἡρῴδης μὲν (5) *ἀπέκτεινεν »Ἰάκωβον τὸν ⟨ἀδελφὸν⟩ Ἰωάννου μαχαίρᾳ«, ὁ δὲ Ῥωμαίων βασιλεὺς (ὡς ἡ πα|ράδοσις διδάσκει) κατεδίκασε τὸν Ἰωάννην μαρτυροῦντα διὰ τὸν τῆς ἀληθείας* (10) *λόγον εἰς Πάτμον τὴν νῆσον. διδάσκει δὲ τὰ περὶ τοῦ μαρτυρίου ἑαυτοῦ Ἰωάννης, μὴ λέγων τίς αὐτὸν κατεδίκασε,*	secundum haec videntur et calicem bibisse et baptismo baptizati esse filii Zebedaei, quoniam Herodes quidem interfecit »Iacobum fratrem Iohannis gladio«, imperator autem Romanorum (sicut docet traditio) condemnavit Iohan- [720] nem dantem testimonium verbo dei in insulam Patmon, sicut ipse de suo martyrio docet, non dicens quis eum condemnavit,
	sed ubi fuit condemnatus.
(15) *φάσκων ἐν τῇ Ἀποκαλύψει ταῦτα· »ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν Ἰησοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτ-* (20) *μῳ διὰ τὸν λόγον τοῦ θεοῦ«*	dicit autem in Revelatione sua hoc modo: »Iohannes, frater vester et socius in tribulatione et in regno et in patientia Iesu, fui in insula, quae vocatur Patmos, propter verbum dei
	et propter testimonium Iesu Christi. et fui in spiritu in die dominico, et audivi post me vocem magnam quasi tubam«
(25) *καὶ τὰ ἑξῆς. καὶ ἔοικε τὴν ἀποκάλυψιν*	et cetera. et ex hoc intellegitur, quoniam revelationem hanc in
ἐν τῇ νήσῳ τεθεωρηκέναι.	insula constitutus vidit.
7. *Ὁ δὲ προστιθεὶς μετὰ τὴν ἀποδεδομένην διήγησιν*	7. Adhuc autem addimus iuxta ea quae diximus:
(30) *εἰς τὸ ποτήριον καὶ τὸ βάπτισμα τοιαῦτά φησιν·*	

1—10 Vgl. *Π* 225, 7—10 — **1ff** Vgl. Hier. in Matth. 155 E: *quaeritur quomodo calicem martyrii filii Zebedaei, Iacobus videlicet et Iohannes, biberint* etc. — **5** Vgl. Act. 12, 2 — **5ff** Vgl. Harnack TU. 42, 4, 24 A. 2 — **16** Apoc. 1, 9f

1 ⟨*κατὰ—τὸ*⟩ Koe, vgl. lat. **2** *καί*[2] < M[a] **5/6** ⟨*ἀδελφὸν*⟩ Kl, vgl. lat. u. *Π* **15** *ἀποκαλύψει* + *sua* lat. **25/26** *ἀποκάλυψιν* + *hanc . . . constitutus* lat. **27** *τεθαρρηκέναι* H

3 esse y* < L **8** verbo y* verbi L **14** fuit] fuerat G fuerit B **22/23** dominica B

ὥσπερ ἔστι τι βρῶμα τοῦ σωτῆρος,
περὶ οὗ λέγει· »ἐμὸν βρῶμά ἐστιν ἵνα
ποιήσω τὸ θέλημα τοῦ πέμψαντός
με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον«,
5 οὕτως ἀνάλογόν ἐστι ποτήριον ἐκεί-
νῳ τῷ βρώματι. ὃ τολμηρὸν μὲν διο-
ρίσαι ἀπὸ τοῦ βρώματος καὶ παρα-
στῆσαι πραγματικῶς. ὅμως δὲ ὁ
δυνάμενος ἐπιστησάτω μήποτε τὸ
10 μὲν πρακτικόν ἐστι τὸ βρῶμα τὸ δὲ
θεωρητικὸν τὸ πόμα. κατὰ γὰρ τὸ
ἐσθίειν τὸν Χριστόν, ἐν τῷ ποιεῖν »τὸ
θέλημα τοῦ πέμψαντος« αὐτὸν καὶ
τελειοῦν ἐκείνου »τὸ ἔργον«, τὸ καὶ
15 πίνειν ⟨αὐτόν ἐστιν, ἐν τῷ νοεῖν⟩ »τὸ
θέλημα τοῦ πέμψαντος« αὐτὸν καὶ
τελειῶσαι αὐτοῦ τὴν γνῶσιν. εἰ δὲ
δύναται ἢ μὴ εἰς ταύτην τὴν διαφορὰν
ἀναφέρεσθαι ⟨καὶ⟩ τὸ »ἡ σάρξ μου
20 ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά
μου ἀληθῶς ἐστι πόσις«,
καὶ σὺ κρινεῖς. λέγοι γὰρ ἄν τις
ὅτι ἀληθῶς μὲν βρῶσις
ἡ πρᾶξις, ἀληθῶς δὲ πόσις ἡ θεωρία,
25
καὶ ὁ τοῦτο φάσκων ἐρεῖ ὅτι
διὰ τοῦτο πρῶτον δίδωσι τὸν »ἄρτον
εὐλογήσας« καὶ κλάσας »τοῖς μαθη-
ταῖς« — ἐπεὶ πρώτη ἐστὶν ἡ πρᾶξις,
30 καὶ μετὰ τοῦτο »λαβὼν ποτήριον, εὐ-
χαριστήσας ἔδωκεν αὐτοῖς λέγων·

sicut est aliqua esca Christi, de
qua dicit: »mea est esca ut faciam
voluntatem eius qui me misit et
perficiam opus ipsius«, sic secun-
dum aestimationem escae illius
est etiam potus. quod temeritatis
quidem est ab esca dirimere et re-
bus ipsis ostendere, tamen qui
potest intellegat ne forte quod est
in actu esca sit, quod autem in
consideratione potus. manducare
est enim Christi: facere volun-
tatem eius qui misit eum et per-
ficere opus eius, bibere autem:
sapere secundum voluntatem eius
qui misit eum et perficere notitiam
eius. secundum hanc differentiam
intellegitur et quod ait: »caro mea
vera est esca, et sanguis meus
verus est potus«.

esca enim vera est animarum
actus, verus autem potus est
agnitio veritatis.

ideo et primum dat »panem bene-
dicens« et frangens »discipulis suis«,
quoniam in primo loco est actus;
et post hoc »accipiens calicem et
gratias agens dixit: bibite ex hoc

2. 12f Joh. 4, 34 — 19ff Joh. 6, 55 — 26ff Matth. 26, 26. 27

2ff *περὶ ποτηρίου καὶ βαπτίσματος* H i. m. 5 *ἐστι* + *etiam* lat. 11f *τὸ ἐσθίειν τὸν Χριστὸν* Kl, vgl. lat. *τὸν ἐσθίοντα ἐστιν* M H 15 ⟨*αὐτὸν — νοεῖν*⟩ Kl, vgl. lat. u. Hu 19 ⟨*καὶ*⟩ Koe, vgl. lat. 20ff *ἀληθῶς*] *vera* o. *verus* lat. 23 *βρῶσις* + *animarum* lat. *θεωρία* + *veritatis* lat. 30 *ποτήριον* + *et* lat.

5 escae Kl esca y* < L 10 sit < L 11ff lat. las *καὶ γὰρ τὸ ἐσθίειν τοῦ Χριστοῦ ἐστιν ἐν τῷ ποιεῖν ..., τὸ δὲ πίνειν ἐν τῷ σωφρονεῖν κατὰ τὸ θέλημα κτλ.* Koe 23 animarum vera est L 31 ⟨dedit eis et⟩ dixit Koe, vgl. gr.

πίετε ἐξ αὐτοῦ πάντες« — ἐπεὶ δεῖ τὰ τῶν πράξεων ῥυθμίσαντα καὶ τὸ πρακτικὸν κατορθώσαντα οὕτως ὁδεύειν διὰ τῶν πραγμάτων καὶ ἐπὶ 5 θεωρίαν αὐτῶν. καὶ γὰρ κατὰ τὸν προφήτην λέγεται τὸ »σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς«, ἵνα πρῶτον πράξωμεν τὸ δέον· καὶ μετὰ τοῦτό φησι· 10 »φωτίσατε ἑαυτοῖς φῶς γνώσεως«, ⟨ὡς⟩ ὁδῷ γάρ τις μετὰ τὸ τὰ ἤθη καθᾶραι ὁδεύοι ἂν ἐπὶ τὴν γνῶσιν καὶ φωτίζοιτο

omnes«, quoniam convenit primum quae sunt actus inplere et opus bonum delectare et sic ⟨per opera et⟩ ad scientiam rerum venire. et secundum prophetam sic dicit⟨ur⟩: »seminate vobis ad iustitiam et vindemiate fructum vitae«, ut primum bona opera faciamus; post hoc autem quod dicit: »inluminate vobis lumen scientiae«, quasi per viam enim quandam postquam emendaverit quis mores suos proficiscatur ad scientiam et inluminetur.

15 ἐν αὐτῇ. | 721

Καὶ ταῦτα δὲ παρεκβατικῶς λέλεκται διὰ τὴν περὶ τοῦ ποτηρίου βαθυτέραν ἐξέτασιν.

Et

καὶ ἐν εἰκοστῷ δευτέρῳ Ψαλμῷ λέ- 20 λεκται πρῶτον μὲν τὸ »ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με«,

in Psalmo vicesimo secundo dictum est primum: »praeparasti in conspectu meo mensam adversus eos qui tribulant me, inpinguasti in oleo caput meum«,

ἑξῆς δὲ καὶ τό· »ποτήριόν σου με- 25 θύσκον με ὡσεὶ κράτιστον«. μὴ ὑπολαμβανέτω δ' ἡμᾶς ὁ ἐντυγχάνων τῇδε τῇ γραφῇ κρατεῖν ὅτι ἐχρῆν πως διηγήσασθαι τὰ περὶ τῶν ἀναγεγραμμένων καθίσεων τοῦ θεοῦ ἢ 30 τοῦ Χριστοῦ. ἀπολογούμεθα γὰρ ὅτι δυσωπῆσαι μόνον ἀπὸ τῶν ῥητῶν προέκειτο τὰ περὶ καθίσεως καὶ

et post hoc et: »poculum tuum inebrians quam praeclarum est«. non autem reprehendat nos qui legit haec verba, quoniam oportuit interpretari quodammodo quae de sessionibus dicta sunt dei vel Christi. respondemus enim, quoniam placare tantummodo de scripturis propositum fuit de ses-

6. 10 Hos. 10, 12 — **20** Ps. 22, 5 — **24** Ps. 22, 5

1 δεῖ + *primum* lat. **9** l. mit Koe τοῦτο ⟨ὅ⟩, vgl. lat.? **11** ⟨ὡς⟩ Kl, vgl. lat. **19** εἰκοστῷ + δὲ M **25** με < lat. **32** καθίσεως (wie S. 477, 25; 489, 4 vom Begriff) sessionibus lat. (wie 474, 7; 488, 29 von den Schriftstellen) Elt

3 delectare? Kl | ⟨per opera et⟩ Kl nach Diehl, vgl. gr. **5** sic] qui L | dicit⟨ur⟩ Kl, vgl. gr. **8** opera < G **9** l. [quod]? Kl, vgl. gr. **11** enim < B L **26** reprehendat? Koe **32** propositus y | fui B

ἀποστῆσαι τὸν ἐντυγχάνοντα ἀπὸ
τῆς ταπεινοτέρας ἐκδοχῆς. ἄλλῳ γὰρ
καιρῷ ἐχρῆν προηγουμένην τινὰ
σκέψιν ποιήσασθαι περὶ καθίσεως
5 καὶ στάσεως καὶ περιπάτου θεοῦ ἢ
τοῦ Χριστοῦ, ὅπερ οὐκ ἀπαιτεῖ ἡ
παροῦσα διήγησις·
μεγίστη γὰρ ἂν καὶ ἄκαιρος ἐγένετο
ἡ παρέκβασις. 8. πλὴν τούτων λεχ-
10 θέντων ὑπὸ τοῦ σωτῆρος πρὸς τὴν
ἀξίωσιν τῆς μητρὸς Ἰωάννου καὶ
Ἰακώβου ἢ αὐτῶν τῶν υἱῶν Ζεβε-
δαίου
ἀκούσαντες (φησὶν) οἱ δέκα
15 ἠγανάκτησαν περὶ τῶν δύο
ἀδελφῶν ὡς ἀξιωσάντων προτι-
μηθῆναι τῶν λοιπῶν. παρατήρει
δ᾽ ὅτι καὶ Ἰούδας ἐν τοῖς ἀγανακτοῦ-
σιν ἦν
20 (καὶ ἀνέγραψε τοῦτο καὶ ὁ Μᾶρκος).
εἰ δὲ ἐν τοῖς ἀγανακτοῦσιν ἦν μετὰ
τῶν λοιπῶν ἐννέα, μήποτε ἔτι οὐδέ-
πω βεβλήκει ὁ διάβολος »εἰς τὴν καρ-
δίαν« αὐτοῦ, »ἵνα αὐτὸν« τὸν κύριον
25 ἡμῶν »παραδῷ«, ἀλλ᾽ ἔτι καὶ τῇ
προαιρέσει εἷς τῶν ἀποστόλων ὁ
Ἰούδας ἦν.
πολλὰ δὲ περὶ αὐτοῦ ἐν τοῖς πρὸ τού-
των εἰπόντες, νῦν οὐκ ἐπαναλαμβά-
30 νομεν περὶ τοῦ κατασκευάσαι ὅτι
Ἰούδας προαιρέσεως ὢν ὁποίας καὶ
οἱ λοιποὶ πέπτωκε καὶ ἐνέπεσεν εἰς
τὴν παγίδα τοῦ πονηροῦ, καὶ φιλαρ-
γυρήσας καὶ προδοὺς τὸν σωτῆρα.

sionibus et legentem avertere ab humili illa traditione. alterius autem temporis est principalem expositionem facere de sedere dei <aut Christi> et stare et ambulare, quod non exigit expositio praesens.

8.

et audientes decem contristati sunt de duobus fratribus, quoniam rogaverunt ceteris se praeponi. et vide, quoniam et Iudas erat inter indignantes.

et si inter indignantes ceteros erat, ne forte necdum inmiserat diabolus »in cor« eius, »ut traderet« dominum. sed in ipso proposito quo et ceteri apostoli erat.

14f Vgl. Marc. 10, 41 — **22ff** Vgl. Joh. 13, 2 — **32** Vgl. I. Tim. 3, 7

2 *γὰρ*] *δὲ* Koe, vgl. lat. 6 *ἀπαιτεῖ v*, vgl. lat. *ἀπήτει* M H 20 *καὶ —Μᾶρκος*] ~ Hu nach Z. 17 *λοιπῶν*

5 <aut Christi> Diehl Kl Koe, vgl. gr. 16/17 se praeponi y* praeponi L 21 ceteros <novem> ? Kl, vgl. gr. 25 erat Kl erant x

Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν· οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν
5 καὶ ⟨τὰ⟩ ἑξῆς

Iesus autem convocans eos dixit: scitis quia principes gentium dominantur eorum,

et qui maiores sunt potestatem exercent in eis. non ita erit inter vos; sed quicumque voluerit inter vos maior esse, erit vester minister, et quicumque voluerit inter vos primus esse, erit vester servus.

10 ἕως τοῦ
καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν (20, 25—28). τούτοις τὰ ἰσοδυναμοῦντα καὶ ὁ Μᾶρκος ἀνέγραψεν. ἐτηρήσαμεν δὲ
15 ὥσπερ ἐπ' | ἄλλων πλειόνων καὶ τὴν τάξιν τῶν ἀναγεγραμμένων τηροῦντας Ματθαῖον καὶ Μᾶρκον, εἴτε θεραπειῶν εἴτε λόγων, οὕτως καὶ ἐνταῦθα. ἑξῆς γὰρ τὰ ἀπὸ τοῦ »μέλ-
20 λων δὲ ὁ Ἰησοῦς ἀναβαίνειν εἰς Ἱεροσόλυμα [καὶ] παρέλαβε τοὺς δώδεκα κατ' ἰδίαν« μέχρι τοῦ »εὐθέως δὲ ἀποστέλλει αὐτοὺς« πάντα τῇ τάξει τετήρηκε καὶ ὁ Μᾶρκος ἀπὸ τοῦ
25 »ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα« μέχρι τοῦ »εὐθέως αὐτὸν ἀποστέλλει πάλιν ὧδε«. σὺ δὲ παραθεὶς τὰ εὐαγγέλια ἀλλήλοις κατὰ τοὺς τόπους τούτους καὶ συγ-
30 κρίνων αὐτοὺς εὑρήσεις τὸ λεγόμενον. καὶ ὁ Λουκᾶς μέντοι ἐκ μέρους τὸ ὅμοιον ἀνέγραψε προτάξας αὐτῶν τὸ »ἐγένετο δὲ φιλονεικία αὐτῶν, τὸ

722

1ff Zum Text vgl. Hautsch TU. 34, 2ᵃ, 69f; doch vgl. lat. — **14** Vgl. Marc. 10, 45 — **19** Matth. 20, 17 — **22** Matth. 21, 3 — **25** Marc. 10, 32 — **26** Marc. 11, 3 — **33** Luc. 22, 24

5 ⟨τὰ⟩ ϱ **21** [καὶ] Hu
27 αὐτὸν < M

τίς αὐτῶν ⟨ἂν εἴ⟩η μείζων«. ἐν τούτοις
γὰρ ἐπιφέρει· »ὁ δὲ εἶπεν αὐτοῖς· οἱ
βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐ-
τῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν
5 εὐεργέται καλοῦνται. ὑμεῖς δὲ οὐχ
οὕτως« καὶ τὰ ἑξῆς. ταῦτα μὲν οὖν
λελέχθω, ἵν᾽ ἡμᾶς μὴ λανθάνῃ τὰ
περὶ τῆς ἰσοδυναμίας τῶν κατὰ τὸν
τόπον τετηρημένης Ματθαίῳ καὶ
10 Μάρκῳ, καὶ ἐκ μέρους τῷ Λουκᾷ.
ἤδη δὲ καὶ τὴν διάνοιαν τῶν λεγο-
μένων ἡμῖν ἐξεταστέον.

Προείρηται ὅτι τῶν παρὰ τῷ
Ἰησοῦ πρωτείων ἐπεδικάζοντο Ἰά-
15 κωβος καὶ Ἰωάννης, καὶ ἠξίουν λα-
βεῖν τὸ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ
εὐωνύμων αὐτοῦ ἐν τῇ βασιλείᾳ αὐ-
τοῦ (ἢ ἡ μήτηρ αὐτῶν τοῦτο ᾔτει
περὶ αὐτῶν), καὶ λέλεκται

20 ὅτι	quoniam
ἐπὶ τούτοις, ὡς καὶ αὐτοὶ τῶν παρὰ τῷ Ἰησοῦ πρωτείων ἐπιδικαζόμενοι, οἱ λοιποὶ »ἠγανάκτησαν δέκα«, εἰ ὑφαρπάζειν βούλονται Ἰάκωβος κα 25 Ἰωάννης,	duo fratres
ὡς ὑπὲρ τοὺς λοιποὺς δέκα ὄντες, τὴν πρὸς τὸν Ἰησοῦν κατὰ τὴν δόξαν ἐγγύτητα.	super ceteros apostolos sibi gloriam percipere voluerint
τούτων δὲ προειρημένων 30 κατὰ τὸ εὔλογον ὁ Ἰησοῦς προσκα-λεῖται ἤτοι τοὺς ἀγανακτήσαντας δέκα,	indignantibus ceteris, inde occa-sionem accipiens Iesus
ἢ καὶ μετὰ τῶν λοιπῶν δύο,	
35 καὶ διδάσκει τὴν ὁδὸν καθ᾽ ἣν μέγας καὶ πρῶτός τις ἔσται παρὰ τῷ θεῷ.	regulam iustitiae fidelibus ponit, quomodo quis apud deum potest obtinere primatum.

2 Luc. 22, 25f — 15ff Vgl. Marc. 10, 35ff; Matth. 20, 20ff

1 ⟨ἂν εἴ⟩η Koe, vgl. N T cod. D 7 ἵνα M 31 Iesus] dn̄s y

τὸ δὲ λεγόμενον τοιοῦτον ἦν ὅτι
οἱ μὲν τῶν ἐθνῶν ἄρχοντες
(ἢ »δοκοῦντες« αὐτῶν »ἄρχειν«)
οὐκ ἀρκούμενοι τῷ κυριεύειν τῶν
5 ὑποτεταγμένων, βιαιότερον αὐτῶν
κρατεῖν θέλοντες
καὶ κατακυριεύουσιν αὐτῶν.
ὁμοίως | δὲ καὶ οἱ ὡς κατὰ τὴν ἐν
τῷ βίῳ τούτῳ ἀξίαν ἐν τοῖς ἔθνεσι
10 μεγάλοι οὐχ ἵστανται ἐπὶ τοῦ
ἐξουσιάζειν τῶν ὑπηκόων, ἀλλὰ
κατεξανιστάμενοι αὐτῶν κατεξου-
σιάζουσιν αὐτῶν.
ἐν ὑμῖν δὲ τοῖς ἐμοῖς γνωρίμοις μὴ
15 ἔστω ταῦτα, μηδὲ
οἱ ἀρχήν τινα ἐγκεχειρισμένοι τῶν
εἰς ἐμὲ πιστευόντων ἢ
ἐξουσίαν ἐν ἐκκλησίᾳ τοῦ πατρός
μου καὶ θεοῦ ἔχειν νενομισμένοι
20 κατακυριευέτωσαν τῶν ἰδίων ἀδελ-
φῶν ἢ κατεξουσιαζέτωσαν τῶν
ἐπὶ τὴν δι' ἐμοῦ θεοσέβειαν κατα-
πεφευγότων.

25

30

ἀλλ' εἴπερ βούλεταί τις παρὰ τῷ
πατρί μου κριθῆναι μέγας καὶ
συγκρίσει τῶν ἑαυτοῦ ἀδελφῶν ὑπερ-
35 έχων, πᾶσι διακονείτω ὧν βούλεται

principes gentium

non contenti regere tantum suos
subiectos violenter eis dominari
nituntur.

723

inter vos autem qui estis mei ⟨noti⟩
non erunt haec, ne forte

qui videntur habere aliquem in
ecclesia principatum dominentur
fratribus propriis vel potestatem
in eos exerceant.

quoniam sicut omnia carnalia in
necessitate sunt posita non in vo-
luntate, spiritalia autem in volun-
tate non in necessitate, sic et qui
principes sunt spiritales, principa-
tus eorum in dilectione subiecto-
rum debet esse positus, non in
timore corporali.
sed et qui voluerit apud patrem
meum *maior* esse conparatione
fratrum suorum ceterorum, effi-
ciatur minister eorum, quibus

3 Vgl. Marc. 10, 42

18 ἐξουσίαν + *aliquem* lat. 19 νενομισμένοι Hu, vgl. lat. νενομισμένον M H

14 ⟨noti⟩ Diehl, vgl. gr. 27 qui < B 28 sunt < L

εἶναι μείζων. εἰ δὲ καὶ τῶν παρ'
ἐμοὶ πρωτείων τις ὀρέγεται, ἴστω
μηδενὸς ἔσεσθαι πρῶτος, ᾧ παρὸν
δουλεύειν μὴ ἐδούλευσε δουλείαν τὴν
5 καὶ ἐν μετριότητι καὶ τῇ ἐπαινετῇ τα-
πεινότητι, τόν τε δουλεύοντα ὠφελῆ-
σαι δυναμένην ὀνῆσαι δὲ ἢ ἀναπαῦ-
σαι καὶ τοὺς δουλευομένους. ὁ δὲ
Λουκᾶς βασιλεῖς καὶ ἐξουσιά-
10 ζοντας ἐθνῶν παραλαμβάνει εἰς τὸν
λόγον, ἀποτρέπων τὸν βουλόμενον
εἶναι ἐν τοῖς ἀδελφοῖς μείζονα μιμεῖ-
σθαι τὴν βασιλικὴν ἐξουσίαν ἢ τὴν
τῶν ἐξουσιαζόντων τῆς κολακείας
15 ἐπιθυμίαν, διδάσκων ⟨δ'⟩ ἡμᾶς ἵν'
ὁ μὲν ἀληθῶς ἐν ἡμῖν »μείζων« γένη-
ται »ὡς ὁ νεώτερος« (τουτέστιν ὡς
παιδίον) ἁπλότητος καὶ ἰσότητος
χάριν, ὁ δὲ »ἡγούμενος (οὕτω δὲ οἶμαι
20 ὀνομάζειν τὸν καλούμενον ἐν ταῖς
ἐκκλησίαις ἐπίσκοπον) ὡς ὁ« τοῖς
ὑπηρετουμένοις διακονούμενος.

Καὶ ταῦτα μὲν ὁ τοῦ θεοῦ δι-
δάσκει ἡμᾶς λόγος. ἡμεῖς δὲ ἤτοι
25 μὴ νοοῦντες τὸ βούλημα τῆς διδα-
σκαλίας ἐν τούτοις Ἰησοῦ ἢ κατα-
φρονοῦντες τῶν τηλικούτων ὑπο-
θηκῶν τοῦ σωτῆρος, τοιοῦτοί ἐσμεν
ὡς ἐνίοτε καὶ τὸν τῶν κακῶς ἀρχόν-
30 των ἐν τοῖς ἔθνεσιν ὑπερβάλλειν τῦ-
φον καὶ μονονουχὶ ζητεῖν ὡς οἱ βασι-
λεῖς δορυφόρους, καὶ φοβεροὺς ἑαυ-
τοὺς καὶ δυσπροσίτους μάλιστα τοῖς
πένησι κατασκευάζοντες, τοιοῦτοί

vult esse maior. et qui principatum desiderat ecclesiae, debet fieri omnium servus in humilitate servili, ut obsequatur omnibus in his quae pertinent ad salutem.

Et haec docet nos sermo divinus. nos autem sive non intellegentes voluntatem dei positam in scripturis sive contemnentes talem commendationem Christi tales sumus, ut etiam malorum principum mundi excedere superbiam videamur, et non solum quaerimus sicut reges acies praecedentes et terribiles nos et accessu difficiles maxime pauperibus exhibemus, et tales sumus ad eos, qui nos

9ff. 16ff Vgl. Luc. 22, 25ff — **28ff** Vgl. zu dieser Schilderung von Bischöfen Harnack TU. 42, 4, 137f

14 κολακίας H **15** ⟨δ'⟩ Kl **25f** τῆς — Ἰησοῦ = lat. *dei — scripturis*? **30** non solum] falsch verstandenes μονονουχὶ Koe

ἐσμεν πρὸς αὐτούς, ἐντυγχάνοντας
ἡμῖν καὶ περί τινων ἀξιοῦντας, ὡς
οὐδὲ οἱ τύραννοι καὶ ὠμότεροι τῶν
ἀρχόντων πρὸς τοὺς ἱκέτας. καὶ ἔστι
5 γε ἰδεῖν ἐν πολλαῖς νομιζομέναις
ἐκκλησίαις, καὶ μάλιστα ταῖς τῶν
μειζόνων πόλεων, τοὺς ἡγουμένους
τοῦ λαοῦ τοῦ θεοῦ μηδεμίαν ἰσο-
λογίαν | ⟨ἔχοντας ἢ πρὸς αὐτοὺς
10 ἔχειν⟩ ἐπιτρέποντας, ἔσθ' ὅτε καὶ
τοῖς καλλίστοις τῶν Ἰησοῦ μαθη-
τῶν *** εἶναι πρὸς αὐτούς. καὶ ὁ μὲν
ἀπόστολος τοῖς κυρίοις περὶ τῶν
οἰκετῶν ἐντολὴν δίδωσι λέγων· »οἱ
15 κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα
τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι
καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ«·
διδάσκει δὲ καὶ ἀνιέναι τὴν ἀπειλὴν
τοὺς δεσπότας κατὰ τῶν οἰκετῶν.
20 ἔστι δέ τινας ἰδεῖν ⟨ἐπισκόπους⟩
ὠμῶς ἀπειλοῦντας, ὁτὲ μὲν προ-
φάσει ἁμαρτίας, ὁτὲ δὲ τῷ κατα-
φρονεῖν τῶν πτωχῶν,
παρὰ τὸν ἀποστολικὸν λόγον ἐν ᾧ
25 λέλεκται· »δεξιὰς ἔδωκαν ἐμοὶ καὶ
Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ
ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν·
μόνον τῶν πτωχῶν ἵνα μνημονεύω-
μεν«, καὶ πάλιν τὴν πρὸς τοὺς ὑπο-
30 χειρίους ἰσότητα μήτε ἐννοοῦντας
μήτε φανταζομένους ὅτι καθήκει

interpellant vel propter aliquid
deprecantur, sicut nec tyranni et
crudeliores principibus mundiali-
bus ad subiectos. et est videre
in quibusdam ecclesiis, praecipue
civitatum maximarum, principes
populi Christiani nullam adfabili-
tatem habentes vel habere ad se
permittentes. 724

et apostolus quidem etiam do-
minis dat mandatum de servis
dicens: »domini, quod iustum
est et aequum servis praestate,
scientes quia et vos habetis do-
minum in caelis«, docet autem
et remittere minas.

episcopi autem quidam crudeliter
comminantur, aliquando quidem
occasione peccati, aliquando au-
em contemnentes pauperum cu-
am,

14 Kol. 4, 1 — 25 Gal. 2, 9f

2 καί] ἢ Koe 4 ἱκέτας = *subiectos* oder las lat. οἰκέτας? 9 ⟨ἔχοντας —ἔχειν⟩ Kl Koe, vgl. lat. 12 *** Koe, der vermutet ⟨ἀπειπόντας⟩ ἰέναι πρὸς κτλ. 13 ἀπόστολος + *et iam* lat. 20 ⟨ἐπισκόπους⟩ Kl, vgl. lat. 21 ὁμῶς H 30 μήτε ... μήτε Koe μηδὲ ... μηδὲ M H

1 vel] l. et? Kl, vgl. gr. 3 principibus] lat. verstand wohl τῶν ἀρχόντων = ἢ οἱ ἄρχοντες (Diehl), sonst l. ⟨ex⟩ principibus Kl 16 quia] quoniam L 16/17 dominum] dm̄ G L

ἀτυφίαν καὶ ἰσότητα μάλιστα Χριστιανοῖς ἐμπολιτεύεσθαι, καὶ ἐξαιρέτως ἐν τοῖς ὑπεροχήν τινα ὀνόματος ἐκκλησιαστικοῦ φοροῦσι·
5 γέγραπται γάρ· »ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν, καὶ ἔναντι κυρίου εὑρήσεις χάριν«.
ἐχρῆν δ' ἡμᾶς εἰδέναι καὶ τὸ ἐν Παροιμίαις οὕτως εἰρημένον·
10 »πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρός, καὶ πρὸ δόξης ταπεινοῦται«,
ἐκκλίνειν δὲ καὶ τὸ περιπεσεῖν τῷ ⟨μέγα⟩ φρονῆσαι ἢ εἰπεῖν λόγον, ὃν εἶπεν ὁ »θέλων ἑαυτὸν δικαιῶσαι«
15 πρὸς τὸν Ἰησοῦν διδάξαντα τὸ »ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν«, ὃς οὐκ ᾐδέσθη τῷ σωτῆρι εἰπεῖν· »καὶ τίς ἐστί μου πλησίον;«
ἔδει δὲ καὶ ἀπὸ Παύλου ἀνεγνω-
20 κέναι τὸ »δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι, ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν. ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα«. ἐχρῆν μιμήσασθαι καὶ τὸ »ἢ ἁμαρτίαν ἐποίησα
25 ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε«;

cum sit scriptum: »quantum magnus es tantum humilia te, et invenies gratiam coram domino«,

item in Proverbiis: »ante contritionem extollitur cor viri, et ante gloriam humiliatur«.

Οἱ ἄρχοντες οὖν τῶν μὲν ἐθνῶν κατακυριευέτωσαν αὐτῶν, τῆς δὲ ἐκκλησίας δουλευέτωσαν αὐτῇ.
30 ἀλλὰ καὶ οἱ μεγάλοι μὲν τῶν ἐθνῶν κατεξουσιαζέτωσαν αὐτῶν, τῶν δὲ πιστῶν ἀκουέτωσαν τοῦ

Principes ergo *gentium* dominentur *eorum*. *principes* autem ecclesiarum serviant subditis. sed et *maiores gentium* potestatem exerceant, fidelium autem audiant eum qui dicit: »discite ex me

5 Sir. 3, 18 — 10 Prov. 18, 12 — 14 Luc. 10, 29 — 16 Luc. 10, 27. Vgl. Matth. 22, 39; Marc. 12, 31 — 18 Luc. 10, 29 — 20 I. Thess. 2, 7 — 24 II. Kor. 11, 7

5 ὅσον H 13 ⟨μέγα⟩ Koe 29 ἐκκλησίας ⟨οἱ ἄρχοντες⟩ Koe, vgl. lat. 32 τοῦ] *eum qui dicit* lat.

5 quanto B L 6 tanto B 31 autem audiant y* ~ L 32 ex] a L

»μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν«. παιδευόμεθα δὲ καὶ πρὸς τὸ 5 μὴ ἀποδέχεσθαι κολακείας μηδὲ ἡδέως καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφ' οἷς ἂν δόξωμεν εὖ τινας πεποιηκέναι, »εὐεργέται«. οὐ ταῦτα δέ φαμεν 10 ἀνεπιστημόνως, ταπεινοῦν ἑαυτοὺς θέλοντες »ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ« καὶ κατὰ τὸν λόγον αὐτοῦ ὑπὸ τὴν ἐκκλησιαστικὴν διακονίαν· ἔστι δ' ὅτε χρὴ (κατὰ τὴν ἀποστολι- 15 κὴν φωνὴν) »τοὺς ἁμαρτάνοντας | ἐνώπιον πάντων« ἐλέγχειν, »ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν«. ἔστι δ' ὅτε δεῖ χρησάμενον τῇ ἐξουσίᾳ »παραδοῦναί« τινα »τῷ σατανᾷ εἰς ὄλεθρον τῆς 20 σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου«. σπανίως δὲ τὸ τοιοῦτο ποιητέον· νουθετητέον γὰρ »τοὺς ἀτάκτους« καὶ παραμυθητέον »τοὺς ὀλιγοψύχους« καὶ ἀνθεκτέον 25 »τῶν ἀσθενῶν« καὶ »πρὸς πάντας« δὲ μακροθυμητέον καὶ οὐδενὶ »κακὸν ἀντὶ κακοῦ« ἀποδοτέον. καὶ οὐ χρὴ ἡγεῖσθαι ἐχθρὸν εἶναι τὸν ἁμαρτάνοντα, 30 ἀλλ' ἀκουστέον τοῦ ἀποστόλου λέγοντος· »μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν«. καὶ ταῦτα πάντα μοι λέλεκται βουλομέ-

quia mitis sum et humilis corde«.

non ista dicimus

ut inclinemus

ecclesiasticum principatum; est enim interdum quando (secundum vocem apostolicam) »peccantes coram omnibus arguant, [725] ut et ceteri timorem habeant«, est aliquando, ut utens potestate sua tradat peccantem »satanae in interitum carnis, ut spiritus salvetur in die domini Iesu«. tamen raro hoc fieri debet; corripiendi enim sunt inquieti, consolandi autem »pusillanimes«, sustinendi infirmi, et »ad omnes« magnanimitas est habenda, nulli »malum pro malo« reddendum, ut non aestimetur inimicus qui peccat,

sed corripiatur ut frater. haec autem diximus volentes ostendere

1 Matth. 11, 29 — 8 Vgl. Luc. 22, 25 — 11 I. Petr. 5, 6 — 12f Vgl. I. Kor. 16, 15f? — 15 I. Tim. 5, 20 — 18 I. Kor. 5, 5 — 22—27 Vgl. I. Thess. 5, 14f — 31 II. Thess. 3, 15

4 ὑμῶν v ἡμῶν M H 19 τινα] *peccantem* lat. 31 ἡγεῖσθαι H

9ff lat. verkürzt u. umschreibt Elt 16 arguantur B 20 interitu y 21 domini + nostri L

νῳ κατὰ τὸν λόγον παραστῆσαι ὅτι
οὐ μιμητέον τῷ ἄρχοντι τῆς ἐκκλη-
σίας τὸν ἄρχοντα τῶν ἐθνῶν,
οὐδὲ ζηλωτέον τοὺς κατακυριεύον-
5 τας καὶ κατεξουσιάζοντας καὶ βασι-
λεῖς·
ἀλλ' ὅση δύναμις καὶ ἐν τούτοις
Χριστὸν μιμητέον τὸν εὐεντευκτό-
τατον καὶ γυναιξὶν ὁμιλοῦντα καὶ
10 παιδίοις ἐπιτιθέντα χεῖρας.
εἰ καὶ μείζονα δὲ ἔχει λόγον τὸ Ἰη-
σοῦν βεβληκέναι »ὕδωρ εἰς νιπτῆρα«
καὶ »τοὺς πόδας τῶν μαθητῶν« κεκα-
θαρκέναι,
15 οὐδὲν ἧττον καὶ κατὰ τὴν λέξιν
ἀκουστέον αὐτοῦ περὶ τούτων λέγον-
τος· »ὑμεῖς φωνεῖτέ με· ὁ διδάσκαλος
καὶ ὁ κύριος, καὶ καλῶς λέγετε· εἰμὶ
γάρ« καὶ τὰ ἑξῆς· διὰ τούτων γὰρ δι-
20 δάσκει μιμητὰς αὐτοῦ τῆς ἐπαινετῆς
ταπεινότητος γίνεσθαι τοὺς μαθη-
τάς.
τάχα δὲ καὶ ἐπεὶ κύριος ὢν ἐδούλευ-
σεν ὑπὲρ ἀνθρώπων σωτηρίας τῷ
25 γένει ἡμῶν, κατὰ τοῦτο λέγεται
»μορφὴν δούλου« ἀνειληφέναι καὶ τε-
ταπεινωκέναι ἑαυτὸν γενόμενον »ὑπή-
κοον μέχρι θανάτου«. καὶ εἴπερ διὰ
τοῦτο »ὁ θεὸς αὐτὸν ὑπερύψωσεν«,
30 ὁ βουλόμενος ὑψοῦσθαι τὰ παρα-
πλήσια ποιησάτω τῷ διὰ τάδε τινὰ
ὑπερυψοῦσθαι.
Καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώ-

quod ecclesiarum principes principum mundialium imitatores esse non debent.

sed imitari debent Christum accessibilem et mulieribus loquentem et pueris manus inponentem

et discipulis suis pedes lavantem atque tergentem,

exemplum eis dantem, ut et ipsi similiter faciant fratribus suis.
forsitan autem et, quoniam dominus constitutus serviebat pro salute hominum generi nostro, propterea dicitur »formam servi« suscepisse et humiliasse se ⟨»oboediens factus⟩ usque ad mortem, propter quod et deus eum superexaltavit«. qui vult ergo exaltari, similia faciat, ut exaltetur per ea.

Sicut et filius hominis non

12 ff Vgl. Joh. 13, 5 — **17** Joh. 13, 13f — **23 ff** Vgl. Hier. in Matth. 157 B: *quando »formam servi accepit«* etc. — **26 ff** Vgl. Phil. 2, 8f — **33 ff** Vgl. Hier. in Matth. 157 B: *nota, quod crebro diximus, eum, qui ministret, filium appellari hominis*

11 τὸ] τὸν H **13** κεκαθαρκέναι] *lavantem atque tergentem* lat. **22** suis < G **27** ⟨oboediens factus⟩ Kl, vgl. gr. **29** deus Kl, vgl. gr., dominus x **33** et < L

που ⟨οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι· ἐπεὶ⟩ εἰ καὶ διηκονήθη, ἡνίκα »ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ« καὶ πάλιν
5 διηκονήθη ὑπὸ τῆς Μάρθας, ἀλλ' οὐ διὰ τοῦτο ἐλήλυθε τὸ διακονηθῆναι·
ἐπεδήμησε γὰρ τῷ γένει τῶν ἀνθρώπων,
10 ἵνα διακονήσῃ καὶ ἐπὶ τοσοῦτον ὁδεύσῃ διακονῶν ἡμῶν τῇ σωτηρίᾳ, ὡς δοῦναι | τὴν ἑαυτοῦ ψυχὴν λύτρον ἀντὶ πολλῶν τῶν πιστευσάντων εἰς αὐτόν.
15 καὶ εἰ καθ' ὑπόθεσιν πάντες ἐπίστευον εἰς αὐτόν, δεδώκει ἂν τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πάντων.
τίνι δὲ ἔδωκε τὴν ψυχὴν αὐτοῦ
20 λύτρον ἀντὶ πολλῶν; οὐ γὰρ δὴ τῷ θεῷ· μήτι οὖν τῷ πονηρῷ; οὗτος γὰρ ἐκράτει ἡμῶν, ἕως δοθῇ τὸ ὑπὲρ ἡμῶν αὐτῷ λύτρον ἡ τοῦ Ἰησοῦ ψυχή, ἀπατηθέντι ⟨δηλονότι
25 καὶ φαντασθέντι⟩ ὡς δυναμένῳ αὐτῆς κυριεῦσαι καὶ οὐχ ὁρῶντι ὅτι οὐ φέρει τὴν ἐπὶ τῷ κατέχειν αὐτὴν βάσανον. διὸ καὶ »θάνατος αὐτοῦ« δόξας κεκυριευκέναι »οὐκέτι κυριεύει« γενομένου
30 ⟨μόνου⟩ »ἐν νεκροῖς« ἐλευθέρου καὶ ἰσχυροτέρου τῆς τοῦ θανάτου ἐξου-

venit ministrari, sed ministrare; nam etsi angeli ministraverunt ei, quando »accesserunt et ministrabant ei«, etsi Martha ministravit ei. tamen non ideo venit *ut ministretur*,

sed ut ministret; et tantum crevit ministrans, ut *animam suam daret redemptionem pro multis* qui credi- 726 derunt in eum.

cui dedit *animam suam redemptionem pro multis*? nec enim convenit dicere: deo. ne forte ergo maligno? ille enim dominabatur in nobis, donec daretur ei pro nobis *redemptio* anima Iesu, decepto videlicet et aestimanti quasi possit dominari eius, et non videnti quia non poterit sustinere in tenendo eam tormenta. propter quod et »mors« putans se dominari eius, dominata non est, quoniam erat solus inter omnes »mor-

3 Matth. 4, 11 — 5 Vgl. Joh. 12, 2 — 12ff Vgl. Hier. in Matth. 157 B: *et non dixit »animam suam redemptionem dare« pro omnibus, sed »pro multis«, id est pro his, qui credere voluerint* — 28f Vgl. Röm. 6, 9 — 30 Vgl. Ps. 87, 6

1 ⟨οὐκ—ἐπεί⟩ Kl, vgl. lat. 11 ὁδεύσῃ] *crevit* lat. 21 δή = *convenit dicere* lat. 24 ⟨δηλονότι καὶ φαντασθέντι⟩ Diehl Koe, vgl. lat. 30 ⟨μόνου⟩ Kl, vgl. lat. | ἐν + *omnibus* lat.

21 ne < R G 23 pro x* < ϱ 26 posset B 27 quia] quoniam B 31 omnes y* < L

σίας, καὶ ἐπὶ τοσοῦτον ἰσχυροτέρου ὥστε καὶ πάντας τοὺς βουλομένους αὐτῷ ἀκολουθεῖν τῶν κρατουμένων ὑπὸ τοῦ θανάτου δύνασθαι ἐλευθε-
5 ροῦν, οὐδὲν ἰσχύοντος κατ' αὐτῶν ἔτι τοῦ θανάτου. πᾶς γὰρ ὁ μετὰ τοῦ Ἰησοῦ ⟨ὢν⟩ ἀνεπίληπτός ἐστι τῷ θανάτῳ.

tuos liber« et fortior omni potestate mortis, et usque adeo fortior, ut et omnes sequi se volentes qui tenebantur a morte liberaret a morte, nihil valente in eis postmodum morte. omnis enim qui sequitur Iesum, inconprehensibilis est a morte.

ἐν μὲν οὖν τοῖς ἐξεταζομένοις τοῦ
10 εὐαγγελίου ῥητοῖς γέγραπται ὁ σωτὴρ ἡμῶν δεδωκέναι τὴν ἑαυτοῦ ψυχὴν λύτρον ἀντὶ πολλῶν. παρὰ δὲ τῷ Πέτρῳ εἴρηται ὅτι »οὐ φθαρτοῖς, ἀργυρίῳ καὶ χρυσίῳ, ἐλυ-
15 τρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι« καὶ ὁ ἀπόστολός δέ φησι· »τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων«. οὐκοῦν ἠγο-
20 ράσθημεν μὲν τῷ τιμίῳ τοῦ Ἰησοῦ αἵματι, δέδοται δὲ λύτρον ὑπὲρ ἡμῶν ἡ ψυχὴ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οὔτε τὸ πνεῦμα αὐτοῦ (πρότερον γὰρ αὐτὸ παρέθετο τῷ πατρὶ λέγων·
25 »πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου«) οὔτε τὸ σῶμα (οὐδὲν γὰρ εὕρομέν πω τοιοῦτον περὶ αὐτοῦ γεγραμμένον).

καὶ ἐπεὶ δέδοται ἡ ψυχὴ αὐτοῦ λύ-
30 τρον ἀντὶ πολλῶν, οὐκ ἔμενε δὲ παρ' ἐκείνῳ ᾧ ἐδέδοτο λύτρον ἀντὶ πολλῶν,

data autem anima eius *in redemptionem pro multis* non mansit apud eum, cui fuerat data.

διὰ τοῦτό φησιν ἐν πεντεκαιδεκάτῳ Ψαλμῷ τὸ »οὐκ ἐγκαταλείψεις τὴν
35 ψυχήν μου εἰς ᾅδην«.

propter hoc dicit propheta quoniam »non derelinques animam meam in infernum«.

13 I. Petr. 1, 18f — 18 I. Kor. 7, 23 — 25 Luc. 23, 46 — 34 Ps. 15, 10

4 5 ἐλευθεροῦν Kl, vgl. lat. ἀκολουθεῖν M H 7 ⟨ὢν⟩ Diehl 20 μὲν < M 33 ἐν πεντεκαιδεκάτῳ ψαλμῷ] *propheta* lat.

5 a morte] lat. las: ὑπὸ τοῦ θανάτου ⟨ἀπὸ τοῦ θανάτου⟩ Koe 35 inferno B

Γενόμενος δὲ ἅπαξ κατὰ τὸν τό-
πον ὑπομνήσαιμ' ἂν τοὺς φαντασίᾳ
δοξολογίας τῆς περὶ τοῦ Χριστοῦ
συγχέαντας τὰ περὶ τοῦ πρωτοτόκου
5 πάσης κτίσεως τοῖς περὶ τῆς ψυ-
χῆς καὶ τοῦ σώματος Ἰησοῦ, τάχα
δὲ καὶ τοῦ πνεύ|ματος αὐτοῦ, καὶ 727
ἓν πάντῃ ἀσύνθετον οἰομένους εἶναι
τὸ ὀφθὲν καὶ ἐπιδημῆσαν τῷ βίῳ,
10 ὅτι μὴ ὑγιῶς λέγουσι. πυθώμεθα γὰρ
αὐτῶν εἰ ἡ θειότης τῆς εἰκόνος »τοῦ
θεοῦ τοῦ ἀοράτου« καὶ ἡ ὑπεροχὴ τοῦ
πρωτοτόκου »πάσης κτίσεως«, εἰ
ἐκεῖνος ἐν ᾧ »ἔκτισται τὰ πάντα τὰ
15 ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς,
εἴτε ὁρατὰ εἴτε ἀόρατα, εἴτε θρόνοι
εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξου-
σίαι« λύτρον ἐδόθη ἀντὶ πολλῶν·
καὶ τίνι ἐδόθη ἐκείνη λύτρον πολε-
20 μίῳ κατέχοντι ἡμᾶς αἰχμαλώτους
ἕως λάβῃ τὸ λύτρον, καὶ εἰ ἐχώρει
τὸ τηλικοῦτον καὶ τοσοῦτον ἐκεῖνος
λύτρον ἀντὶ τῶν αἰχμαλώτων λα-
βεῖν. καὶ οὐ ταῦτά φημι ὡς κατα-
25 φρονῶν τῆς ψυχῆς Ἰησοῦ καὶ σμι-
κρύνων αὐτήν, ἀλλὰ βουλόμενος ταύ-
την μὲν κατὰ τὸ ἐνδεχόμενον λύ-
τρον δεδόσθαι ὑπὸ τοῦ ὅλου σωτῆ-
ρος, τὴν δὲ ὑπεροχὴν καὶ τὴν θεό-
30 τητα ἐκείνην μηδ' ἂν δεδυνῆσθαι
λύτρον δοθῆναι. πλὴν σήμερον οὐ
λύω τὸν Ἰησοῦν ἀπὸ τοῦ Χριστοῦ,
ἀλλὰ πολλῷ πλέον οἶδα ἓν εἶναι
Ἰησοῦν τὸν Χριστὸν καὶ τὴν ψυχὴν
35 αὐτοῦ πρὸς τὸν πρωτότοκον »πάσης

4f. 11ff Vgl. Kol. 1, 15f — **35f** Vgl. Kol. 1, 15

5 τῆς < H **7** αὐτοῦ ρ
10 πυθώμεθα Elt πυθόμεθα MH

κτίσεως« ἀλλὰ καὶ τὸ σῶμα αὐτοῦ, ὡς πλέον (εἰ δεῖ οὕτως ὀνομάσαι) εἶναι ἓν ὅλον τοῦτο, ἤπερ »ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν«.

5 9. Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν« καὶ ⟨τὰ⟩ 10 ἑξῆς (20, 29–30 [34]).

9. Et egredientibus eis ab Hiericho secutae sunt eum turbae multae.

Ἔστω μὲν καὶ τὰ τῆς ἱστορίας τῶν κατὰ τὸν τόπον ἀληθῆ, καὶ ἐκπορευομένῳ ἀπὸ τῆς Ἱεριχὼ τῷ Ἰησοῦ μετὰ τῶν μαθητῶν 15 ἠκολουθηκέναι αὐτῷ ὄχλον πολύν. καὶ τυφλοὶ δύο παρὰ τὴν ὁδὸν καθεζόμενοι τῆς ἀπὸ Ἱεριχὼ ἐξόδου ἀκούσαντες ὅτι Ἰησοῦς παρέρχεται τὸν τόπον ἐκεῖνον, καὶ αὐτοὶ 20 κράξαντες εἰρηκέτωσαν· ἐλέησον ἡμᾶς, κύριε, υἱὲ Δαυΐδ« καὶ συμπεφωνηκέτωσαν ἐν τῷ κεκραγότας τὸ ἀναγεγραμμένον εἰρηκέναι. καὶ διὰ τοὺς τυφλοὺς ἀξιώσαντας 25 ἐλεηθῆναι στὰς ὁ Ἰησοῦς πεφωνηκέτω αὐτούς, ἵνα μὴ παράγων καὶ παρερχόμενος αὐτοὺς καλῇ ἀλλὰ καὶ ἑστηκώς, καὶ πυνθανόμενος εἰρηκέτω αὐτοῖς· τί θέλετε ἵνα ποιή-30 σω ὑμῖν; τήν τε ἀξίωσιν ἰδικώτερον ἤδη παριστάντες οἱ τυφλοὶ εἰρηκέτωσαν αὐτῷ θέλειν ἵνα ἀνοι-

Quae sunt secundum historiam huius loci, in aperto consistunt.

3 I. Kor. 6, 17

3 ὅπερ H 9 ⟨τὰ⟩ v 11 ἔστω] vorher περὶ τῶν δύο τυφλῶν H | μὲν < M 13 l. καὶ ⟨ἔστω⟩? Kl 21 υἱός H 22/23 κεκραγότας Kl Koe, vgl. S. 502, 8 κεκραγότες M H 28 καὶ[1] < M

5 Et] XIIII secundum mathm. In illo tempore L | eis] illis L

γῶσιν ἀπὸ τοῦ Ἰησοῦ οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ὁ φιλάνθρωπος ἡμῶν καὶ συμπαθὴς σωτὴρ σπλαγχνισθεὶς ἐπὶ τοῖς τυφλοῖς, σπλαγχνι-
5 σθεὶς δ' (οἶμαι) τῷ προειληφέναι ἐκείνους τὸ προκαλούμενον τὸν (ἵν' οὕτως ὀνομάσω) ἔλεον τοῦ Ἰησοῦ. | 728
ὅπερ ἦν τὸ κεκραγότας εἰρηκέναι· ἐλέησον ἡμᾶς, κύριε, υἱὲ Δα-
10 υἱδ καὶ πεπιστευκότας ἠξιωκέναι ἵνα ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ αὐτῶν. ἁψάμενος αὐτῶν τῶν ὀφθαλμῶν ⟨καὶ⟩ δύναμιν διὰ τῆς ἀφῆς ἰατικὴν ἐνιεὶς τοῖς ὀφθαλμοῖς πε-
15 ποιηκέτω τοὺς τυφλοὺς ἀναβλέπειν, κἀκεῖνοι εὐχαρίστως ἠκολουθηκέτωσαν τῷ Ἰησοῦ. καὶ πιστεύσας τις τούτοις καὶ γινώσκων δὲ τὸ »ἐὰν μὴ πιστεύσητε, οὐ μὴ συνῆτε«, ἐκ τοῦ
20 πεπιστευκέναι »κατὰ τὴν ἀναλογίαν τῆς πίστεως« τὸ συνιέναι εἰληφέτω, καὶ εἰληφὼς λεγέτω τὰ περὶ τούτων κατὰ τὸν περὶ αὐτῶν τῆς πίστεως θεμέλιον περὶ αὐτῶν ἑρμηνεύων
25 κατὰ τὸ »ἐπίστευσα, διὸ ἐλάλησα«, καὶ ἔστω ὁ τοιοῦτος οὐ μόνον πιστεύων τῷ Ἰησοῦ καὶ τοῖς κατὰ τὸν τόπον τοῦτον ἀναγεγραμμένοις, ἀλλὰ καὶ γινώσκων τὸν περὶ αὐτῶν νοῦν.
30 ὁ γὰρ μένων ἐν τῇ τῆς πίστεως ἀληθείᾳ καὶ διὰ τῶν ἔργων τοῦ λόγου ἐμμένων »τῷ λόγῳ« κατὰ τὴν Ἰησοῦ ἐπαγγελίαν γινώσκει »τὴν ἀλήθειαν« καὶ ὑπ' αὐτῆς ἐλευθεροῦται.

18 Jes. 6, 9? — 20 Vgl. Röm. 12, 6 — 23f Vgl. Hebr. 6, 1; II. Tim. 2, 18. 19? — 25 Ps. 115, 1 — 31ff Vgl. Joh. 8, 31f

13 ⟨καὶ⟩ Koe 14 ἰατρικὴν ϱ 16 ηὐχαρίστως M 23 κατὰ M w. e. sch. μετὰ H 24 ⟨τὰ⟩ περὶ Koe 29 τὸν] τῶν H 30 μένον H 32 ἐμμένον H

Καὶ ἡμεῖς δέ, ἐπεὶ μὴ πιστεύοντες μὲν οὐ συνίεμεν τοῦ βουλήματος τῶν λεγομένων συνιέντες δὲ ἐκ τοῦ πιστεύειν συνίεμεν, φέρε τὰ ὑποπίπτοντα ἡμῖν εἰς τὸν τόπον, εὐξάμενοι τῷ ῥυομένῳ ἡμᾶς ἀπὸ τοῦ κεκαλύφθαι ἡμῖν »τὸ εὐαγγέλιον«, καθὸ χωροῦμεν παραστήσωμεν.

Quae autem spiritaliter nobis videntur,

καὶ πρῶτόν γε κατανοήσωμεν τί τὸ ἐκπορευομένων ἀπὸ Ἱεριχὼ τῶν μαθητῶν τοῦ Ἰησοῦ μετὰ τοῦ σωτῆρος ἠκολουθηκέναι αὐτῷ πολὺν ὄχλον. ὅρα τοίνυν εἰ δύνασαι, μεμνημένος τῶν ἡμῖν ὑπαγορευθέντων εἰς τὴν ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ παραβολὴν τὴν »ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ περιέπεσε λῃσταῖς«, ἐπιστήσας λέγειν μήποτε καὶ ἐνταῦθα Ἱεριχὼ σύμβολόν ἐστι τοῦ περιγείου τόπου συνήθως καλουμένου κατὰ τὴν γραφὴν κόσμου.

dicamus. et primum consideremus, quid est quod dicit: *egredientibus* discipulis Iesu cum ipso Iesu *ab Hiericho secutae sunt cum turbae multae.* vide ergo, si memos eorum quae a nobis sunt dicta apud Lucam in parabola de homine descendente »ab Hierusalem in Hiericho« et incidente »in latrones«, potes dicere: ne forte et hic *Hiericho* intellegitur mundus iste terrenus;

ὁ μὲν οὖν καταβαίνων »ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ« Ἀδὰμ (τουτέστιν ἄνθρωπος) περιπέπτωκε »λῃσταῖς«.

qui ergo »ab Hierusalem in Hiericho« descendit, fuit Adam (id est homo), qui incidit »in latrones«. propter

διὰ δὲ τοὺς ἐν Ἱεριχὼ πολλοὺς (πολὺς γὰρ ὄχλος ἐν Ἱεριχὼ) ὁ Ἰησοῦς ἡμῶν ἅμα τοῖς μαθηταῖς γενόμενος ἐν αὐτῇ ἐκπορευέσθω πραγματευόμενος (διὰ δὴ τοῦ εἰς τὴν Ἱεριχὼ εἰσεληλυθέναι) τὸ τοὺς βου-

quem Iesus cum discipulis suis descendit in eam et egressus est mercatus

multos in ea fide-

6f Vgl. II. Kor. 4, 3 — 13ff Vgl. Orig. hom. XXXIV in Luc. (IX, 201, 17ff) — 16 Luc. 10, 30 — 27 Die Bemerkung über die »volkreiche Stadt« erscheint als exegetischer Schluß, anders Harnack TU. 42, 4, 84 A. 2

θρεύειν »ἅρματα ἐξ | Ἐφραΐμ«,
παραπλήσια τυγχάνοντα ἅρμασι Φα-
ραώ.
20 *ὅτε »ἅρματα Φαραὼ καὶ τὴν δύ-*
ναμιν αὐτοῦ
ἔρριψεν εἰς θάλασσαν«. ἤρχετο δὲ
καὶ »ἵππον« ἐξολοθρεύων τὸ πολε-
μικὸν ζῷον ἀπὸ τῆς Ἱερουσαλήμ,
25 *ἵνα εἰρήνην ποιήσῃ τῷ Ἰσραὴλ*
ἐπιστρέφων τὰ ἀπολωλότα αὐτοῦ
πρόβατα.
εἰρήνην δὲ καὶ τῇ Ἱερουσαλὴμ
ἐπανάγων αὐτῆς ἐκπεσόντα τὰ τέ-
30 *κνα.*
πῶς δὲ οὐκ ἔμελλε μεγάλης χαρᾶς
εἶναι ἄξιον τὸ οὕτως ἔρχεσθαι τὸν

valde gaudere et extendere gaudium (fructum »spiritus sancti«) filiam dei Sion et filiam eius Hierusalem praedicare. veniebat enim ei »rex iustus et salvans«, et non simpliciter »salvans« sed »iustus et salvans«, id est cum iudicio et iustitia salvans.

veniebat »sedens super asinam et pullum novellum«, quos diximus, visitans Israel et exterminans »currus ex Ephraem«, similes consti- 742 tutos curribus Pharaonis

quos »proiecit in mare«. veniebat autem, ut exterminet etiam »equum« animal bellicum de Hierusalem, ut pacem faciat Israel convertens perditas oves ipsius.

quomodo non erat res digna gaudio magno sic venire regem iustum

2 Vgl. Gal. 5, 22 — 2ff Vgl. Sach. 9, 9 — 13 Sach. 9, 9 — 17 Vgl. Sach. 9, 10 — 20 Exod. 15, 4 — 23 Vgl. Sach. 9, 10 — 23f Vgl. Siegfried, Philo 183 — 25f Vgl. Matth. 10, 6 — 28 Vgl. Jes. 54, 13?

1 *αὐτοῦ*] *αὐ* M 6 *αὐτῆς* M 7 ⟨*καὶ* — *σῴζων*⟩ Kl vgl. lat. 8—11 *ἀλλὰ* — *εὐτρεπίζων* < H 8f ⟨*δίκαιος* — *τουτέστι*⟩ Diehl, vgl. lat.

17 effratre L^a effrem L^c

δίκαιον βασιλέα καὶ σῴζοντα καὶ
πρᾶον εἰς τὴν Ἱερουσαλήμ, ὅτε
ἔμελλεν ἐξολοθρεύεσθαι πᾶν »τόξον
πολεμικόν«. ἵνα μηκέτι »οἱ ἁμαρτω-
5 λοὶ« ἐκτείνωσι τόξα μηδὲ ἑτοιμάζωσι
»βέλη εἰς φαρέτραν τοῦ κατατοξεῦσαι
ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρ-
δίᾳ«; ἔμελλε δὲ τότε »καὶ πλῆθος
καὶ εἰρήνη« εἶναι ἀπὸ τῶν πιστευ-
10 όντων καὶ σῳζομένων »ἐθνῶν«, κατάρ-
χοντος »ὑδάτων ἕως θαλάσσης« τοῦ
σωτῆρος, κατάρχοντος δὲ καὶ »πο-
ταμῶν διεκβολὰς γῆς« καὶ διεξόδους
ποιουμένων καὶ ποτιζόντων τὰ πολλὰ
15 αὐτῆς.

Ὁ δὲ θέλων ἁπλούστερον ἐπὶ
τοῦ ⟨τῶν Ἰουδαίων⟩ λαοῦ οἷς
ἐπιδεδήμηκεν ὁ σωτὴρ
ἀκούειν τὸ »θύγατερ Σιών« καὶ
20 »θύγατερ Ἱερουσαλήμ«
φήσει ὅτι ὁ λόγος μὲν προστάσσει
χαίρειν τῇ θυγατρὶ Σιὼν καὶ κη-
ρύσσειν τῇ θυγατρὶ Ἱερουσαλήμ·
εἰ δέ τινες ἠπείθησαν οὐ τὰ τοῦ
25 χαίρειν ποιήσαντες ἄξια οὐδὲ πα-
ραδεξάμενοι τὸ περὶ τοῦ κηρύσσειν
πρόσταγμα, αὐτοὶ γεγόνασιν ἑαυτῶν
αἴτιοι τοῦ παθεῖν ἃ πεπόνθασιν,
ὥστε λεχθῆναι αὐτοῖς· »ὑμῖν ἦν
30 ἀναγκαῖον καταγγεῖλαι τὸν λόγον

atque salvantem ⟨et mitem⟩ in
Hierusalem, ex qua erat exter-
minandus omnis »arcus bellicus«,
ut iam numquam »peccatores« in
ea intendant »arcum« neque prae-
parent »sagittas in pharetra, ut
sagittent in obscuro rectos corde«.
erat ⟨autem⟩ tunc *** pax futura
ex fide gentium salvatarum, do-
mino principante »aquarum usque
ad mare«, id est populorum, princi-
pante autem et »fluminum emis-
siones terrae« et exitus facien-
tium et inrigantium multa ipsius.

Qui autem simpliciter vult
intellegere Sion populum Iudae-
orum, ad quos venit salvator,

sic dicere potest, quoniam ver-
bum quidem dei praecipit gau-
dere filiam Sion et praedicare
filiam Hierusalem; si autem aliqui
eorum discrediderunt, non digna
gaudio opera facientes neque
suscipientes praedicandi prae-
ceptum, ipsi sibi causa sunt facti,
ut patiantur ea quae passi sunt,
ut recte dicatur ad eos: »vobis

3 Vgl. Sach. 9, 10 — 4 Ps. 10, 2 — 8ff. 11ff Vgl. Sach. 9, 10 —
19f Vgl. Sach. 9, 9 — 24 Vgl. Röm. 3, 3? — 29 Act. 13, 46

2 ὅτε] lat. las ὅθεν Koe 4 ἁμαρ-
τωλοὶ + *in ea* lat. 11 θαλάσσης
+ *id est populorum* lat. 17 ⟨τῶν
Ἰουδαίων⟩ Koe, vgl. lat. 29 ὑμῖν
+ *quidem primum* lat.

1 ⟨et mitem⟩ Kl, vgl. gr. 8 ⟨au-
tem⟩ Diehl, vgl. gr. | *** Kl, vgl. gr.
11 principante x* principata ϱ
12 fluminum x* fluminis ϱ | emis-
siones L[a] emissionis y L[c] 17 po-
pulum x* populos μ 24 filiam μ
filiae x 25 discrediderint L

τοῦ θεοῦ· ἐπεὶ δὲ ἀναξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη«.

5 χρὴ δὲ καὶ τοῦτο εἰδέναι ὅτι πέντε περιτυχόντες ἐκδόσεσι τοῦ Ζαχαρίου παρὰ μὲν τοῖς Ἑβδομήκοντα καὶ τῷ Ἀκύλᾳ εὕρομεν τὸ »αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ 10 πῶλον νέον« ἢ »ἐπὶ ὄνου καὶ πώλου υἱοῦ ὀνάδων«, παρὰ δὲ Θεοδοτίωνι· »αὐτὸς ἐπακούων καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὄνου«, παρὰ δὲ Συμμάχῳ· »αὐτὸς πτωχὸς καὶ 15 ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὀνάδος«. ἐν δὲ τῇ πέμπτῃ ἐκδόσει· »αὐτὸς πτωχὸς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον υἱὸν ὄνων«. καὶ δύναταί γέ τις ταῦτα 20 ἐφαρμόζειν τῇ κατὰ τὸν ἐξεταζόμενον τοῦ εὐαγγελίου τόπον ἱστορίᾳ, ὅτε πρᾶος καὶ ἐπακούων καὶ πτωχὸς ἐλήλυθεν εἰς τὴν Ἱερουσαλὴμ ὁ σωτήρ· »ἐπτώχευσε« γὰρ 25 »πλούσιος ὤν, ἵνα« οἱ | ἀκούοντες αὐτοῦ τοῦ ἐπακούοντος ἡμῶν »τῇ πτωχείᾳ« αὐτοῦ πλουτήσωσιν.

17. Ἴδωμεν δὲ περὶ τῆς Βηθφαγὴ μὲν κατὰ Ματθαῖον, Βη- 30 θανίας δὲ κατὰ τὸν Μᾶρκον, Βηθφαγὴ δὲ καὶ Βηθανίας κατὰ τὸν Λουκᾶν. ταῦτα δὲ ἦν »πρὸς τὸ ὄρος

quidem primum missum fuerat verbum dei, sed quia indignos vos iudicatis aeternae vitae, ecce convertimur ad gentes«.

743

17. Videamus autem et de nomine *Bethphage* secundum Matthaeum, Bethaniae autem secundum Marcum, Bethphage autem et Bethaniae secundum Lucam.

8—19 Vgl. Field, Orig. Hexapl. II, 3, 1024 — 24f Vgl. II. Kor. 8, 9 — 29ff Vgl. Marc. 11, 1 var. lect. — Vgl. Luc. 19, 29 — 32 Luc. 19, 29

2 ἑαυτούς + *aeternae vitae* lat. 11 ὀνάδ⟩ M 16 τῇ < H 17 καὶ < H 27 πτωχία H | πλουτίσωσιν M 28 δὲ + *et* lat.

1 primum y* < L 2 dei verbum L

τὸ καλούμενον Ἐλαιῶν«. ἑρμηνεύεσθαι δέ φαμεν τὴν Βηθφαγὴ μὲν ΟΙΚΟΝ ΣΙΑΓΟΝΩΝ (ἥτις τῶν ἱερέων ἦν χωρίον),
5

Βηθανία δὲ ΟΙΚΟΣ ΥΠΑΚΟΗΣ. ἐπὶ τὸν οἶκον οὖν τῆς ὑπακοῆς
10 ἄγεται τὰ λυόμενα ἢ τὸ λυόμενον,

ἵν' ἐκεῖθεν ἐπιβῇ αὐτοῖς ὁ Ἰησοῦς, ἢ ἐπὶ τὸν οἶκον τῆς σιαγόνος. περὶ
15 ἧς ἔστιν εἰπεῖν λαβόντα ἀφορμὰς καὶ ἀπὸ τῶν Κριτῶν, ἐν οἷς πηγή ἐστιν ἐπίκλητος σιαγόνος. ἀφ' ἧς ἔπιεν ὁ Σαμψὼν διψήσας, ἢ τάχα ἐπεὶ »τῷ τύπτοντι εἰς τὴν σιαγόνα« δεῖ παρέχειν
20 καὶ τὴν ἑτέραν, σύμβολον τῆς τῶν σωζομένων ἀνεξικακίας ἡ Βηθφαγὴ ἦν,

25 ὅθεν ἐκαθέζετο ὁ Ἰησοῦς ἐπὶ τῶν ὑπὸ τῶν μαθητῶν κατὰ τὴν πρόσταξιν τοῦ Ἰησοῦ λυθέντων.

καὶ τὸ ὄρος δὲ τῶν Ἐλαιῶν

et hic erat locus »in monte, qui vocabatur Oliveti«. interpretatur autem Bethphage quidem DOMUS MAXILLARUM (erat autem villa sacerdotum, quoniam maxilla propria erat pars sacerdotum ex lege),

Bethania autem DOMUS OBOEDIENTIAE. in domum ergo oboedientiae adducuntur omnes, qui solvuntur a vinculo peccatorum suorum,

vel ad domum sacerdotalem maxillarum vel patientiae, ut inde ascendat dominus, in quo possumus dicere maxime occasionem accipientes de libro Iudicum, quoniam in his erat fons qui vocabatur fons maxillae, de quo biberat Samson cum sitisset; aut forsitan fons ille mysterium erat patientiae fidelium, ad quos dominus dicit: »qui te percusserit in maxillam unam, praebe illi et alteram«.

super eos, quos secundum praeceptum eius solverunt discipuli eius et perduxerunt ad eum.

mons autem *Olivarum* est ecclesia,

1ff Vgl. C[1] Nr. 225 Or. C[p] Nr. 66 Or. Ferner Orig. tom. X, 30 in Joh. (IV, 203, 34ff) u. besonders hom. XXXVII in Luc. (IX, 217ff). Hier. in Matth. 159 C: *cumque adpropinquaret Hierosolymis et venisset Bethphage, ad domum maxillarum, qui sacerdotum viculus erat* etc. Vgl. Wutz Onom. sacra 39 — 3f Vgl. Harnack TU. 42, 4, 84 A. 2 — 8 Vgl. Wutz Onom. sacra 39 — 8ff Vgl. C[luc] Nr. 46 Or.? — 16ff Vgl. Iudic. 15, 19 — 18 Vgl. Luc. 6, 29

2 l. φασιν? Kl 14 ἢ Kl nach Koe, vgl. lat. καὶ MH 29 ἐλεῶν H

7 pars erat L 8—15 Bethania —dominus] hier Kl nach Diehl (Koe z. T.), vgl. gr.; hinter *et alteram* Z. 24 x 15 dominus] Iesus Pasch 27 eius[1] < L

⟨ἡ ἐκκλησία⟩ ἐστίν,
αἵτινες λέγουσι καρποφοροῦσαι καλ-
λιέλαιος οὖσαι· »ἐγὼ δὲ ὡσεὶ ἐλαία
κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ«·
5 καὶ οἱ ἀρχόμενοι δὲ καὶ εἰσαγόμενοι
ἐν αὐτοῖς
εἰσιν »ὡσεὶ νεόφυτα ἐλαιῶν κύκλῳ
τῆς« Χριστοῦ »τραπέζης«, τεκνία
καὶ »υἱοὶ« ὄντες αὐτοῦ. εἰ δὲ δεῖ
10 ἐπιστῆσαι καὶ τοῖς δύο μαθηταῖς,
οὓς ἀπέστειλεν ὁ Ἰησοῦς
ἐπὶ τὴν δεδεμένην ὄνον καὶ τὸν
μετ' αὐτῆς πῶλον, ἵνα λύ-
σαντες ἀγάγωσιν αὐτῷ,
15 λεκτέον ⟨τάχα οὐκ ἀλόγως⟩ μή-
ποτε δύο μαθηταὶ Πέτρος εἰσὶ καὶ
Παῦλος, δεξιὰς διδόντες ἀλλήλοις
»κοινωνίας«, ἵνα Πέτρος μὲν εἰς
τὴν περιτομὴν πρὸς τὸ ὑποζύγιον
20
γένηται, τὸν ὑπὸ | τὸν ζυγὸν τοῦ νόμου
γεγενημένον ⟨λαόν⟩, Παῦλος δὲ εἰς
τὰ ἔθνη, τὸν νέον καὶ ἀδάμαστον
πῶλον. καὶ ἦσαν ἀμφότεροι (λέγω
25 δέ· τὸ ὑποζύγιον καὶ ὁ πῶλος) πρὸ
τοῦ Ἰησοῦ ἐν κώμῃ καὶ οὐ πόλει,
ἔνθα ἦσαν δεδεμένοι.
30 ἀλλ' οἱ τοῦ Ἰησοῦ μαθηταὶ λύουσι
καὶ ἄγουσι πρὸς τὸν Ἰησοῦν ἀμφό-
τερα.
Ἔτι δ' ἐπανάγων τῷ λόγῳ

in quo fructificantes fideles
dicere possunt: »ego autem sicut
oliva fructifera in domo dei«. qui
autem in primis adducuntur ad
eum habentes initia fidei,
sunt »sicut novella olivarum in
circuitu mensae« Christi, quia
sunt filii eius. si autem oportet et
duorum discipulorum quos domi-
nus *misit* enarrare mysterium,

forsitan non inrationabiliter di-
cere possumus fuisse eos in my-
sterio Petri et Pauli, qui dextras
sibi dederunt »societatis«, ut Pe-
trus quidem in circumcisionem ad
subiugalem iret,
praedicaturus populo Iudaeorum
sub iugo legis degenti, Paulus 744
autem ad gentes, ad novellum et
indomitum pullum. erant autem
ambo (id est populus Iudaeorum
et populus ex gentibus) in villa
et non in civitate
Sion vel Hierusalem.

sed *discipuli* Christi solvunt utrum-
que, et ad Christum perducunt

2 Vgl. Röm. 11, 24 — 3 Ps. 51, 10 — 5 Vgl. Hebr. 5, 12? — 7ff Ps. 127, 3 — 18—24 Vgl. Gal. 2, 9

1 ⟨ἡ ἐκκλησία⟩ Kl, vgl. lat. 15 ⟨τάχα—ἀλόγως⟩ Koe, vgl. lat. und Orig. IV, 202, 13 16 Πέτρος κτλ.] *in mysterio Petri* etc. lat. 22 ⟨λαόν⟩ Diehl Koe, vgl. lat.

7 novellae ϱ 25 Iudaeorum] ex iudeis G L

τοὺς δύο μαθητὰς φήσεις ὅτι ἐστὶ μὲν ἓν τάγμα τῶν διακονουμένων τοῖς ἐκ περιτομῆς, ἄλλο δὲ τοῖς ἀπὸ τῶν ἐθνῶν. πλὴν κοινωνία ἐστὶ τῶν ἔργων αὐτῶν, λυόντων τὰ προστεταγμένα ὑπὸ τοῦ Ἰησοῦ λύεσθαι· ὧν λυόντων, ἐάν τις λέγῃ αὐτοῖς· »τί λύετε τὸν πῶλον;« ἢ ὁτιποτοῦν, λέγει περὶ ἀμφοτέρων· κηρύσσομεν ὅτι ὁ κύριος αὐτῶν τῶν πρότερον δεδεμένων χρείαν ἔχει. χρείαν δὲ αὐτῶν ἔχει ἐπιβαίνων αὐτοῖς, λελυμένοις ἀπὸ τῶν ἁμαρτημάτων καὶ ἄφεσιν αὐτῶν εἰληφόσι· δεδεμένοις γὰρ ἔτι καὶ »σειραῖς τῶν ἰδίων ἁμαρτιῶν« σφιγγομένοις ὁ Ἰησοῦς οὐκ ἐπικαθέζεται. κατὰ μέντοι τὸν Μᾶρκον καὶ τὸν Λουκᾶν ⟨καὶ⟩ πῶλός ἐστι δεδεμένος, »ἐφ' ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισεν«· οὐδὲν γὰρ λογικὸν καὶ κατὰ τρόπον ⟨ἀνθρώπινον⟩ γινόμενον ἐπέπρακτό ⟨ποτε⟩ καὶ ἵδρυτο τῷ ἀπὸ τῶν ἐθνῶν πώλῳ. καὶ οὗτος ἐφ' ᾧ οὐδὲν λογικὸν πρότερον ἐφίδρυτο εὐτύχησε θεὸν αὐτῷ ἐπικαθεσθῆναι λόγον,

ut ascendat super eos, cum soluti fuerint a peccatis accipientes remissionem eorum. super alligatis autem adhuc et »vinculis peccatorum suorum« constrictis non sedet Iesus. secundum Marcum autem et Lucam etiam pullus introducitur alligatus, »super quem nemo hominum sedit«; nihil enim rationabile neque quod secundum mores humanos fieri solet, in gentibus factum fuerat aliquando neque fundatum in eis aliquid disciplinae, sed contra meritum suum a deo sunt consecuti, ut verbum dei super eos sederet,

τὸν υἱὸν τοῦ θεοῦ,
ἵνα ὑπ' αὐτοῦ ἀγόμενος ἡνιοχοῦντος

ut eo ducente ascendant in Hieru-

8 Luc. 19, 33 — **13ff** Vgl. Hier. in Matth. 159 D: *alligata erat asina multis vinculis peccatorum* — **16** Vgl. Prov. 5, 22 — **16f** Vgl. *Π* 231, 9 — **18ff** Marc. 11, 2; Luc. 19, 30

7 λέγει H **11** δεδεμένον H **13** l. ἐπιβαίνειν? Kl, vgl. lat. **19** ⟨καὶ⟩ Kl, vgl. lat. **22** ⟨ἀνθρώπινον⟩ Kl, vgl. lat. **23** l. πέπρακτο? | ⟨ποτε⟩ Diehl Koe, vgl. lat. | ἢ ἵδρυτο ⟨εὐταξίας τι ἐν⟩ Koe, vgl. lat. **23 24** ὕδρυτο τῶν H

13 ascendens G L[a] **16** autem] l. enim? Kl, vgl. gr. **20** alligatus y* alligandus L **31f** lat. frei? **31** ducente ⟨et agitante⟩ Diehl, vgl. gr.

καταντήσῃ ἐπὶ τὴν Ἱερουσαλὴμ τοῦ θεοῦ.
τοσαῦτα μὲν ἡμεῖς εἰς τὸν τόπον ἐπὶ τοῦ παρόντος εἴδομεν· ὁ δὲ
5 δυνάμενος καὶ χωρῶν μείζονα εἰς τὸν τόπον χάριν λεγέτω μείζονα καὶ βελτίονα, κἀκεῖνος μᾶλλον ἀκουέσθω ὑπὸ τῶν διψώντων εὐαγγελικῆς σαφηνείας.

salem dei.

10 18. *Πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον*
15 *καὶ τὰ ἑξῆς*

18. *Euntes autem discipuli fecerunt sicut praecepit eis Iesus. et adduxerunt asinam et pullum,*

et inposuerunt super eum vestimenta sua, et sedit super eum.

ἕως τοῦ ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας (Matth. 21, 6—11). ὁ δὲ Μᾶρκος οὕτω κατὰ τὸν τόπον ἐξέ-
20 θετο· »καὶ ἀπελθόντες εὗρον πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτὸν« καὶ τὰ ἑξῆς ἕως τοῦ »εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν
25 Δαυΐδ· εἰρήνη ἐν τοῖς ὑψίστοις«. καὶ ὁ Λουκᾶς δὲ τοιαῦτά φησιν· »ἀπελθόντες δὲ οἱ | ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς ἑστῶτα τὸν πῶλον« καὶ τὰ ἑξῆς ἕως τοῦ »ἐὰν οὗτοι
30 σιωπήσωσιν, οἱ λίθοι κεκράξονται«. Ἀκολούθως τοῖς ἀποδεδομένοις περὶ τῶν ἀποσταλέντων δύο μαθητῶν ἐπὶ τὸ λῦσαι τὴν *δεδεμένην* ὄνον καὶ τὸν πῶλον τὸν *μετ'* αὐτῆς
35 καὶ πᾶσι τοῖς εἰς τὸν τόπον εἰρημένοις, διηγησόμεθα καὶ τὰ ἐκκεί-

745

20 Marc. 11, 4 — 23 Marc. 11, 10 — 26 Luc. 19, 32 — 29 Luc. 19, 40

17 ὁ < M

μενα, ἐν οἷς λέλεκται ὅτι πορευ-
θέντες οἱ δύο μαθηταὶ καὶ
ποιήσαντες τὰ ὑπὸ τοῦ σωτῆρος
αὐτοῖς προστεταγμένα
5 ἤγαγον πρὸς αὐτὸν τὴν ὄνον καὶ
τὸν πῶλον· οὓς οὐκ ἀφήκασι
γυμνοὺς ἀλλὰ κόσμον αὐτοῖς περιέ-
θηκαν ἐν ἱματίοις εὐσχημοσύνην
περιποιοῦσι, κοσμήσασι τὴν ὑπ'
10 αὐτῶν λελυμένην ὄνον καὶ τὸν
μετ' αὐτῆς πῶλον οἷς καὶ αὐτοὶ
ἦσαν κεκοσμημένοι καὶ ἐσκεπασμένοι.
[καὶ] ἵνα κεκοσμημένοις τῇ ὄνῳ
καὶ τῷ πώλῳ τοῖς ἐνδύμασι τῶν
15 διδαξάντων μαθητῶν ἐπανα<βῇ καὶ
ἀνα>παύσηται καὶ ἐφιδρυνθῇ ὁ τοῦ
θεοῦ λόγος, γινόμενος ἐπάνω μόνος
καὶ ἡνίοχος τῶν λελυμένων καὶ
βασταζόντων αὐτόν. ἀλλὰ τοῖς μὲν
20 ἐκ τῶν διδαξάντων ἱματίοις ἐπιτε-
θεῖσι τῇ ὄνῳ καὶ τῷ πώλῳ ὁ Ἰησοῦς
ἐπικαθέζεται.
ἐπειδὴ ἕκαστον ἐχρῆν συμβαλέσθαι
τι Χριστῷ πραεῖ βασιλεῖ ἐπιβεβηκότι
25 ὑποζυγίῳ καὶ πώλῳ νέῳ ***

Adducentes ergo ad Christum *asinam et pullum* nudos eos non dimiserunt, sed ornamenta eis inposuerunt quibus ipsi fuerant adornati et vestibus quibus ipsi fuerant cooperti honestatem eis adicientes, quos suo studio solverant ipsi:
ut super ornatos vestibus discipulorum Christi Christus ascendat et requiescat in eis et apud eos dei verbum fundetur,

quoniam unumquemque discipulorum decebat aliquid Christo conferre regi mansueto ***,
ut possint dicere, quoniam Christi sumus operis participes.

5ff Vgl. Hier. in Matth. 160 D: *pullus iste et asina, quibus apostoli insternunt vestimenta sua, ut Iesus mollius sedeat, ante adventum salvatoris nudi erant . . . postquam vero apostolicas suscepere vestes, pulchriores facti dominum habuere sessorem* — **6—537. 22** Vgl. *Π* 233, 8ff — **24f** Vgl. Sach. 9, 9 — **26f** Vgl. Hebr. 3, 14

13 [καὶ] Koe, vgl. lat. **15f** ἐπανα<βῇ καὶ ἀνα>παύσηται Kl, vgl. lat. **23** ἐπειδὴ Kl, vgl. lat. ἐπεὶ δὲ M H | ἕκαστον + *discipulorum* lat. **24** Χριστῷ Koe, vgl. lat. τῷ M H **25** *** Kl, Koe ergänzt nach Hebr. 3, 14 <ἵνα δύνωνται εἰπεῖν ὅτι Χριστοῦ ἐσμεν ἔργου μέτοχοι>, vgl. lat.

8ff lat. stellt z. T. um und kürzt **8** ipsi x* < μ **25** *** Diehl, vgl. gr.

⟨Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ
5 ἐστρώννυον ἐν τῇ ὁδῷ.⟩ ἦν δὴ πλεῖστος ὄχλος ὁ συνεισερχόμενος εἰς Ἱερουσαλὴμ τῷ Ἰησοῦ. καὶ οὗτοι ἔδειξαν καρπὸν τῆς τοῦ σωτῆρος ἀποδοχῆς ἐν τῷ τὰ
10 ἑαυτῶν ἱμάτια ὑποστρῶσαι, καὶ ὃν εἶχον κόσμον
καὶ σκέπην, τῷ ἐπικαθεζομένῳ τῇ ὄνῳ καὶ τῷ πώλῳ.
ἐν τῇ ὁδῷ τοίνυν καθ' ἣν ἦγε
15 τὴν ὄνον καὶ τὸν πῶλον
ἐπὶ τὰ Ἱεροσόλυμα, ἔστρωσαν τὰ ἑαυτῶν ἱμάτια ὁ πλεῖστος ὄχλος,
ἵνα καθαροῖς γῆς καὶ γηΐνων πραγ-
20 μάτων ⟨ποσὶ⟩ καὶ μηδαμῶς ἔχουσι κονιορτὸν ἡ ὄνος καὶ ὁ πῶλος ἐπιβῇ τῇ Ἱερουσαλήμ. καὶ τρίτον δέ τι τάγμα τὸ παρὰ τοὺς δύο μαθητὰς καὶ τὸν ὑποστρώσαντα |
25 πλεῖστον ὄχλον τὰ ἱμάτια ἐν τῇ ὁδῷ νῦν κατείλεκται· ἄλλοι γὰρ ὡραιότητά ⟨τινα⟩ περιεποίουν τῇ ὁδῷ δι' ἧς ὥδευεν ἐπὶ τὰ Ἱεροσόλυμα ὁ Ἰησοῦς
30 ὀχούμενος τοῖς προειρημένοις· ἡ δὲ ὡραιότης ἦν κοπτομένων κλάδων ἀπὸ δένδρων καὶ στρωννυμένων

Plurima autem turba straverunt vestimenta sua in via, alii autem caedebant ramos de arboribus, et sternebant in via. multus ergo *populus* cum Christo ascendebat in Hierusalem, qui et ipsi fructum susceptionis Christi demonstraverunt, *vestimenta sua* et quaecumque habuerant ornamenta sternentes

in via, per quam *asina et pullus* transibat,

videlicet ut munde incedentes terram et rerum terrenarum pulverem nequaquam contingant vel patiantur in via illa, qua in Hierusalem ascendebant. et tertium agmen post ⟨*duos*⟩ *discipulos* 746 et plurimam turbam sternentem *vestimenta sua in via* introducitur, qui pulchritudinem aliquam itineri faciebant, per quod proficiscebatur in Hierusalem Iesus.

1—5 ⟨Ὁ—ὁδῷ⟩ Kl, vgl. lat. 5f ἦν δὴ Kl, vgl. lat. ἦν δὲ M H 8 οὗτοι] *ipsi* lat. 18 ὄχλος + *videlicet* lat. 20 ⟨ποσὶ⟩ Kl nach Koe 27 ⟨τινα⟩ Diehl, vgl. lat.

9 habuerunt ϱ 14 et pullus Pasch < x 19f lat. verstand falsch (καθαρῶς?) 21 vel patiantur] Erklärung des Übersetzers? Koe 24 lat. las μετὰ st. παρὰ Koe | ⟨duos⟩ Diehl, vgl, gr. 26 in via y* < L

παρ' ἑκάτερα τῶν ἐστρωμένων ἱματίων· εἰ μὴ ἄρα τοῦτο τέταρτον τάγμα ἦν. ἄλλοι γὰρ οἱ λύοντες μαθηταί, ⟨καὶ⟩ ἄλλη ἡ λυομένη 5 ὄνος καὶ ὁ μετ' αὐτῆς πῶλος, καὶ τρίτοι ὁ πλεῖστος ὄχλος, καὶ τέταρτοι οἱ κόπτοντες τοὺς κλάδους ἀπὸ τῶν δένδρων καὶ στρωννύντες ἐν τῇ ὁδῷ. νόει δέ 10 μοι ἀπὸ τούτων καὶ πέμπτον καὶ ἕκτον τάγμα κατειλεγμένον τῶν τὸν Ἰησοῦν προαγόντων καὶ τῶν ἀκολουθούντων αὐτῷ.

15 *turba autem quae praecedebat et quae sequebatur, clamabant dicentes: Osanna filio David; benedictus qui venit in nomine domini; Osanna in excelsis.*

καὶ προάγοντας μὲν φήσεις ἀπὸ τῶν 20 πρὸ τῆς παρουσίας εἶναι ἐκ τοῦ λαοῦ, δικαίων τάχα καὶ προφητῶν· ἀκολουθοῦντας δὲ τοὺς ἀπὸ τῶν μετὰ τὴν παρουσίαν ἑπομένων τῷ λόγῳ καὶ ἀκολουθούντων αὐτῷ εἴτε 25 δικαίων εἴτε καὶ ἀποστόλων Χριστοῦ. πλὴν οὐκ ἄλλα μὲν ἔλεγον οἱ προάγοντες, ἄλλα δὲ οἱ ἀκολουθοῦντες· ἔκραζον γὰρ πάντες ἅμα ὡς χορὸς συνᾴδων καὶ σύμφωνος 30 καὶ ἔλεγον, καὶ τὸ ἀνθρώπινον ὑμνοῦντες τοῦ σωτῆρος ἐν τῷ ὡσαννὰ τῷ υἱῷ Δαυῒδ καὶ τὴν δευτέ-

et praecedentes quidem ante Iesum dices, qui ante adventum fuerunt sancti prophetae et ceteri iusti; sequentes autem, qui fuerunt post adventum ipsius apostoli ceterique fideles qui secuti sunt verbum dei. tamen non aliud dicebant qui praecedebant, aliud autem qui sequebantur, sed omnes clamabant simul ⟨ut⟩ consona voce humanam quidem Christi dispensationem laudantes in eo, quod dicebant: *osanna filio David*

19—26 Vgl. C[1] Nr. 226 Or. *Π* 233, 14ff — 26ff Vgl. Hier. in Matth. 161 D: *et praecedentes ac sequentes non brevi et silenti confessione, sed clamore plenissimo resonant:* »*Osanna*« etc.

4 ⟨καὶ⟩ ἄλλη Hu 19 φήσεις ⟨τοὺς⟩ ? Kl 25 26 χριστοῦ] αὐτοῦ M

14 praecedebant . . . sequebantur B 20 adventum + christi G[c] B L 28 insimul L | ⟨ut⟩ Diehl, vgl. gr.

ραν αὐτοῦ ἐπιδημίαν ⟨ἐν τῷ⟩ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου καὶ τὴν εἰς τὰ ἅγια ἀποκατάστασιν ἐν τῷ ὡσαννὰ
5 ἐν τοῖς ὑψίστοις.

19.

10

Τούτων δὴ τῶν τριῶν ἐκφωνήσεων λεγομένων ὑπὸ τῆς συμφωνίας τῶν προαγόντων καὶ ἀκολουθούντων τῷ Ἰησοῦ, ὁ μὲν
15 εἰσῄει εἰς τὰ ἀληθινὰ Ἱεροσόλυμα· ξενισθεῖσαι δὲ αἱ οὐράνιαι δυνάμεις, αἵτινες λέγονται πᾶσα εἶναι ἡ πόλις, ἔφασκον τίς ἐστιν οὗτος; ἀνάλογον τοῖς προφητευ-
20 θεῖσιν ἐν εἰκοστῷ τρίτῳ Ψαλμῷ περὶ τῆς ἀναλήψεως τοῦ σωτῆρος καὶ τοῦ ξενισμοῦ τῶν οὐρανίων δυνάμεων ξενιζομένων ἐπὶ τῷ καινῷ τοῦ σωματικοῦ αὐτοῦ ὀχήματος
25 θεάματι. ἔχει δὲ οὕτως ἐν τῷ Ψαλμῷ· »ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης«

benedictus qui venit in nomine domini, restitutionem autem eius in sancta in eo, quod dicebant: *osanna in excelsis*.

19. *Et cum intrasset Iesus in Hierosolymam, commota est universa civitas dicens: quis est hic? turba autem dicebat: hic est Iesus propheta a Nazareth Galilaeae.* in istis nunc duobus clamoribus dictis ex consensu praecedentium et sequentium Iesum ipse quidem intravit *in Hierosolymam* veram, admirantes autem virtutes caelestes, quae appellantur ⟨*universa*⟩ *civitas*, dicebant: *quis est iste?* secundum quod fuerat prophetatum in Psalmo de ascensione ipsius et de admiratione virtutum caelestium ⟨admirantium⟩ propter novum vehiculum corporis eius. habet autem ita: »tollite portas, principes, vestras, et elevamini, portae aeternales, et introibit rex gloriae.

26 Ps. 23, 7

1 ⟨ἐν τῷ⟩ λ **11** τριῶν] *duobus* lat. **27** ἡμῶν M

6f „beim Lateiner wird durch das Lemma der Zusammenhang gestört“ Koe **6** et] secundum mathm. In illo tempore L | Iesus < G^{a} B | in < L **9** turba—galilaeae] Omelia Origenis de eadem lectione L **17** ⟨universa⟩ Kl, vgl. gr. **18** iste] hic L **21** ⟨admirantium⟩ Diehl, vgl. gr. **22** vehiculum] lat. las ὀχήματι st. ὀχήμα(τος θεάμα)τι Koe

καὶ τὰ ἑξῆς.

quis est iste rex gloriae? dominus fortis et potens, dominus potens in proelio«.

καὶ ἐν Ἡσαΐᾳ δὲ παραπλήσια προ-
5 *φητεύεται περὶ τῆς μετὰ τὴν οἰκονο-*
μίαν ἀνόδου τοῦ σωτῆρος· γέ-
γραπται γάρ· »τίς οὗτος ὁ παραγε-
νόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱμα-
τίων αὐτοῦ | ἐκ Βοσόρ· οὗτος
10 *ὡραῖος ἐν στολῇ;«*
τὰ δὲ κατὰ τὸν τόπον ὅλα καὶ σὺ
δυνήσῃ ἀναλεξάμενος κατανοῆσαι,
τί τε λέγουσιν αἱ ξενιζόμεναι δυ-
νάμεις ἐπὶ τῆς τοῦ σωτηρίου σώ-
15 *ματος ἀνόδου καὶ τί αὐταῖς ἀπο-*
κρίνεται.

et in Esaia similia quaedam prophetantur de reditu eius in caelum post dispensationem passionis ipsius hoc modo: »quis est iste qui venit ex Edom, rubra vestimenta habens ex Bosor, iste for- 747 mosus in stola?«

ταῦτα δέ μοι παρείληπται βου-
λομένῳ σῶσαι τὴν ἀκολουθίαν τῆς
κατὰ τὴν γραφὴν τροπολογίας ὅτι
20 *εἰσελθόντος αὐτοῦ εἰς Ἱερο-*
σόλυμα ἐσείσθη πᾶσα ἡ πόλις
λέγουσα· τίς ἐστιν οὗτος;
μετὰ δὲ τοῦτο ἑξῆς γέγραπται ὅτι
πολλοὶ ἔλεγον· οὗτός ἐστιν Ἰη-
25 *σοῦς ὁ προφήτης ὁ ἀπὸ Να-*
ζαρὲτ τῆς Γαλιλαίας, ὁμολο-
γοῦντες τὸν προφητευθέντα ὅτι »Να-
ζωραῖος κληθήσεται« ὁ κυρίως τῷ
θεῷ ἀεὶ ἀνακείμενος. ἀλλὰ κατὰ
30 *τὴν διήγησιν ταύτην περιγεγράφθω*
τὰ κατὰ τὸν τόπον καὶ ἀρχή τις
ἔστω ἑτέρας περικοπῆς τὰ ἐπιφε-
ρόμενα, ἵνα μὴ ἀναγκάζηταί τις
(συνάπτων καὶ τὴν περὶ ἐκείνων
35 *διήγησιν τοῖς προτέροις) ζητεῖν*

hoc autem diximus, ut ostendamus mysterium eius quod dicitur, quoniam *ascendente eo in Hierusalem commota est omnis civitas dicens: quis est iste?*

1 Ps. 23, 8 — 7 Jes. 63, 1 — 27 Matth. 2, 23

4 *παραπλήσια* + *quaedam* lat.   20 omnis] universa L
8 *ἐρύθημα* v *ἐρύθιμα* M H

ἐκβαλλομένους ἀπὸ τοῦ ἱεροῦ τοῦ θεοῦ τινας τοὺς ἐπιπλήττομένους ὡς πεποιηκότας τὸν »τῆς προσευχῆς« οἶκον »λῃστῶν σπήλαιον«. οὐκ οἶδα 5 δὲ εἰ, κἂν βιάσηταί τις, δύναται ἀκολούθως τῷ »χαῖρε σφόδρα, θύγατερ Σιών« σῶσαι τὴν πᾶσαν καὶ τῶν ἑξῆς τοῖς ἐκκειμένοις ἀκολουθίαν.

10 Μετὰ ταῦτα ἐξετάσωμεν καὶ τὸ ὡσαννὰ τῷ υἱῷ Δαυΐδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις ποῖον ἔχει νοῦν. σαφῶς 15 μὲν οὖν τὸ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου αὐταῖς λέξεσι κεῖται ἐν τῷ πρὸ τοῦ μεγίστου Ψαλμοῦ Ψαλμῷ, λεγομένῳ ἔν τισιν ἀντιγράφοις ἑκατοστῷ 20 ἑπτακαιδεκάτῳ. δοκεῖ δέ μοι τὰ ἀντὶ τοῦ »ὦ κύριε, σῶσον δή« προτεταγμένα τοῦ »εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου« ἑβραϊκῶς ἐκκεῖσθαι ἐν τῷ »ὡσαννὰ τῷ υἱῷ Δαυΐδ«· 25 οὕτω δὲ καὶ εἶχεν ἡ ἑβραϊκὴ λέξις· ΑΝΝΑ ΑΔΩΝΑΙ ΩΣΙΑΝΝΑ, ΑΝΝΑ | ΑΔΩΝΑΙ ΑΣΑΙΑΝΝΑ, 748 ΒΑΡΟΥΧ ΑΒΒΑ ΒΣΑΙΜ ΑΔΩ-

1ff Vgl. Matth. 21, 13 — 6 Sach. 9, 9 — 10ff Vgl. C[1] Nr. 227 Or. = C[P] Nr. 66 Chrys. — 14ff Vgl. Hier. in Matth. 162 A: *in centesimo decimo septimo psalmo . . . pro eo quod in Septuaginta habetur interpretibus . . . in Hebraeo legimus: anna adonai osianna* etc. Vgl. auch Hier. ep. XX (ad Damasum) — 21ff Ps. 117, 25f

8 ἐγκειμένοις M 18/19 λεγωμένω H[a] 23 ἐγκεῖσθαι M 26 ΩΣΙΑΝΝΑ Kl (wie schon bei Field) ὡσειεννάν M H 27 ΑΣΑΙΑΝΝΑ Kl (s. zu Z. 26) ἀσαῒ ἀννὰ M H 28 ΑΒΒΑ ΒΣΑΙΜ Kl (s. zu Z. 26) ἀββὰβ σαῒμ H ἀββᾶ σαῒμ M

ΝΑΙ. εἶτα δοκεῖ μοι ὑπὸ Ἑλλήνων
συνεχῶς γραφόμενα τὰ εὐαγγέ-
λια μὴ εἰδότων τὴν διάλεκτον,
συγκεχύσθαι ἐν τοῖς κατὰ τὸν τόπον
5 ἔχουσι ταῦτα ἀπὸ τοῦ προειρημένου
Ψαλμοῦ. εἰ δὲ τὸ ἀκριβὲς βούλει
μαθεῖν τῆς λέξεως, ἄκουε Ἀκύλου
ἑρμηνεύσαντος ὧδί· »ὢ δὴ κύριε, σῶ-
σον δή· ὢ δὴ κύριε, εὐόδωσον δή·
10 εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
κυρίου«. ἀλλὰ γὰρ ἐπανακεφαλαιω-
σώμεθα τὰ κατὰ τὸν τόπον καὶ
λέγωμεν ὅτι ἤτοι Παῦλος καὶ Πέ-
τρος ἢ ἄλλα δύο εἴδη τῶν διδασκόν-
15 των, λύσαντες ἀπὸ τῶν δεσμῶν
κατὰ τὴν τοῦ Ἰησοῦ πρόσταξιν
τοὺς ἀπὸ περιτομῆς καὶ τοὺς ἀπὸ
ἀκροβυστίας, ἐκόσμησαν αὐτοὺς καὶ
πεποιήκασιν εὐπρεπεῖς πρὸς τὸ ὀχή-
20 σασθαι αὐτοῖς τὸν λόγον ἀνιόντα εἰς
τὴν Ἱερουσαλήμ. καὶ ⟨οὕτως καὶ⟩
τὰ λοιπὰ κατὰ μὲν μίαν ἔσται
διήγησιν. κατὰ δὲ ἑτέραν ἀεὶ ἐνέ-
στηκε *** τῶν ἀποδεχομένων τὸν
25 Ἰησοῦν στρωννύντων αὐτῷ διὰ τῶν
ἰδίων ἐνδυμάτων τὴν ὁδὸν καὶ κοσ-
μούντων αὐτὴν τοῖς κλάδοις καὶ προ-
αγόντων καὶ ἐπακολουθούντων. καὶ
ἄλλως δὲ ἕκαστος διὰ μὲν τῶν ἤδη
30 πεπραγμένων προάγει τὸν Ἰησοῦν,
διὰ δὲ τῶν πραχθησομένων ἐπακο-
λουθεῖ αὐτῷ καὶ λέγει τὰ ἀναγε-

1f Vgl. Harnack TU. 42, 4, A. 4; Harnacks Zweifel dürfte dadurch behoben sein, daß die Ἕλληνες, die die Evangelien »schreiben«, nicht die Verfasser, sondern die Abschreiber sind — 8ff Vgl. Field, Orig. Hexapl. II, 1, 270 — 13—21 Vgl. C[luc] Nr. 47 Or.

14 ἄλλα Koe τὰ M H 21 ⟨οὕτως καὶ⟩ Kl nach Koe 22 μὲν < M 24 *** Koe, ergänze etwa ⟨πλεῖστος ὄχλος⟩ nach S. 537, 5—22 Elt

γραμμένα. καὶ εἰς ταῦτα δὲ ἡμεῖς μὲν τοσαῦτα εἴδομεν· ὁ δὲ ἡμῶν διαφέρων πλείονα καὶ βλεπέτω καὶ διδασκέτω. πλὴν ἔν τινι τῶν εἰς τὸ κατὰ 5 *Ἰωάννην εὐαγγέλιον ἐπὶ ποσὸν καὶ ταῦτα ἐξητάσαμεν, ὅτε προέκειτο διηγήσασθαι τὸ »τῇ ἐπαύριον οὖν ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν« καὶ τὰ ἑξῆς.*

10 20. *Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ καὶ τὰ ἑξῆς* (Matth. 21, 12—13).
15

20. *Et intravit Iesus in templum dei et eiciebat omnes vendentes et ementes in templo,*

et mensas nummulariorum evertit et cathedras vendentium columbas, et dixit eis: scriptum est: domus mea domus orationis vocabitur, vos autem fecistis eam speluncam latronum.

20 *Τὰ δὲ κατὰ τὸν τόπον καὶ οἱ λοιποὶ τρεῖς εὐαγγελισταὶ ἐξέθεντο, ὧν τὴν πρὸς ἀλλήλους διαφορὰν οὐ τοῦ προκειμένου καιροῦ ἐστι διηγήσασθαι· ἀρκέσει γὰρ τὸ ἐν τῷ* 25 *ἐξεταζομένῳ εὐαγγελίῳ κατὰ τὸ δυνατὸν ἡμῖν σαφηνίσαι. τῶν τεσσάρων ⟨δὲ⟩ εὐαγγελιστῶν ἀναγραψάντων τὰ κατὰ τὸν τόπον, πλείονα [τὰ] κατὰ τὸ δυνατὸν ἡμῖν ἐξήτασται* 30 *ὑπαγορεύουσιν εἰς τὸ κατὰ Ἰωάννην καὶ ὡς οἷόν τε ἦν σαφηνίζουσι τὸ »καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστε-*

4ff Nicht erhalten — **7** Joh. 12, 12 — **28ff** Vgl. Orig. tom. II, 20—30 in Joh. (IV, 191ff. 201—204) — **32** Joh. 2, 14

4 *τινι ⟨κεφαλαίῳ⟩* Koe **10** vorher: *περὶ τῶν ἐκβληθέντων ἀπὸ τοῦ ἱεροῦ* H **27** ⟨*δὲ*⟩ Kl **29** [*τὰ*] Kl **16** est + enim B

ρὰς« καὶ τὰ ἑξῆς. ἔνθα κατεσκευάζομεν
οὐκ ἐλάττονα | τῶν παραδόξων δυνάμεων εἶναι τοῦ Ἰησοῦ καὶ τὴν προ-
5 κειμένην ὅτι τέκτονος μὲν νομιζόμενος εἶναι υἱὸς τοσαύτῃ παρρησίᾳ καὶ ἐξουσίᾳ ἐχρήσατο. ἐκβάλλων ἐν πανηγύρει ἀπὸ τοῦ ἱεροῦ τοὺς ἀναγεγραμμένους, ὁποίᾳ οὐδ' ὁ τοῦ ἔθνους
10 ἡγούμενος χρώμενος εὐχερῶς ἂν ἤνυσε τοῦθ' ὅπερ Ἰησοῦς πεποίηκε.
καὶ ἐτροπολογήσαμέν γε δουλεύσαντες τῇ λέξει, ὡς ἐχωροῦμεν, τὸ Ἰωάννου βούλημα. ἀλλ' ἐπεὶ καὶ νῦν ὁ
15 εἱρμὸς ἡμᾶς ἀπαιτεῖ εἰπεῖν κατὰ τὴν Ματθαίου λέξιν περὶ τῶν ἐκκειμένων, τὸν πατέρα τῆς σοφίας ἐπικαλεσάμενοι φέρ' ἴδωμεν εἰ ἄξιόν τι δυνάμεθα
20 τῆς Ἰησοῦ μετὰ θάρσους πράξεως εἰπεῖν εἰς τὸν τόπον.
καὶ πρῶτον ⟨μὲν⟩ λεκτέον τί τὸ ἱερὸν τοῦ θεοῦ. ὅπερ ὁμολογῶν ὁ θεὸς εἶπεν ἐν τῷ προφήτῃ·
25 ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται. ἀνάλογον μὲν οὖν τῇ κατὰ σάρκα περιτομῇ καὶ ταῖς σωματικαῖς τοῦ νόμου ἑορταῖς καὶ θυσίαις ἱερὸν ἐνομίζετο τοῦ θεοῦ εἶναι
30 τὸ ἐκ λίθων ἀναισθήτων κατασκεύασμα οἰκοδομηθὲν ὑπὸ Σολομῶντος πρῶτον καὶ ἀνοικοδομηθὲν ἔτι ὑπὸ Ἔσδρα, πλὴν μετὰ τὴν τοῦ σωτῆρος οἰκονομίαν ὑπὸ Ῥωμαίων καθαιρε-

Supra mensuram dignitatis **749** Christi fuerat, secundum quod videbatur filius esse fabri, ut tanta fiducia uteretur et potestate, eiciens nundinam de templo, qua nec princeps alicuius gentis utens facile poterat explicare quod fecit Iesus.

et haec diximus secundum simplicem intellectum.

secundum moralem autem talia dicemus.

et primum quidem de templo ⟨dei⟩, de quo per prophetam dixit deus: *domus mea domus orationis vocabitur*. ergo secundum corporalem circumcisionem carnis et secundum corporales legis festivitates et sacrificia, consequenter et *templum dei* aestimabatur, quod ex lapidibus insensatis erat constructum, primum quidem a Salomone, deinde reparatum ab Esdra, postea vero post Christi adventum a Romanis destruc-

5 Vgl. Matth. 13, 55 — 25 Orig. führt das Matthäuszitat auf den Ursprungsort Jes. 56, 7 zurück

6 παρουσία καὶ M 12 γε Lo δὲ M H 22 ⟨μὲν⟩ Kl, vgl. lat.

8 alicuius] lat. las ὅτου (= ὁτινὸς) ἔθνους? 22 ⟨dei⟩ Diehl, vgl. gr. 33 esdra μ ezdra G ezra B L

θέν. καὶ οἶκος ἐκεῖνος ὑπελαμβάνετο εἶναι εὐχῆς, οὗ καθαιρεθέντος ἀναγκαῖον Ἰουδαίους, ὡς μηκέτι ἔχοντας οἶκον προσευχῆς, λέγειν (5) μηκέτι ἔχειν τὸ ἐξαίρετον τῆς ἐπισκοπῆς τοῦ θεοῦ,

tum. et illa aestimabatur *domus* esse *orationis*, qua destructa necesse est ut Iudaei quasi iam non habentes domum *orationis* iam non habeant privilegium speculationis dei

ὃ ἔχειν ᾤοντο παρὰ τὸ ἐν τῷ οἴκῳ τῆς προσευχῆς εὔχεσθαι,

μηδὲ τὸ τὰ τῆς νομικῆς λατρείας (10) ἐπιτελεῖν. καὶ ἐκβεβληκέτω σωματικῶς ἀπ' ἐκείνου ὁ καὶ σύμβολα ποιήσας τῶν ἰδίων πνευματικῶν πράξεων σωτὴρ ἡμῶν

nec possint secundum legem deo servire. hoc ergo facto omnia Christus eiecit in mysterio spiritalium actuum suorum

(15)

et tunc fecit visibiliter, quod semper invisibiliter agit,

τοὺς πωλοῦντας καὶ ἀγοράζοντας καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καταβεβληκέτω καὶ τὰς καθέδρας τῶν πωλούντων (20) τὰς περιστερὰς καὶ εἰρηκέτω τὰ ἐκκείμενα εἰς ἐπιστροφὴν τοῦ τότε λαοῦ, ἀντὶ σεμνῆς πανηγύρεως ἐπιτελουμένης ἐν ὀνόματι θεοῦ σχολαζόντων τῷ πωλεῖν καὶ ἀγοράζειν, (25) οὐκ ἐν τῇ καθηκούσῃ χώρᾳ ἐν ᾗ ἔδει πωλεῖν καὶ ἀγοράζειν, ἀλλ'

eiciens vendentes et ementes de templo et *mensas nummulariorum* evertens et *cathedras vendentium columbas* *** ad correptionem populi, ut non pro mundis festivitatibus ⟨celebratis⟩ in nomine dei emptionibus et venditionibus vacent in loco non competenti, in quo non debent vendere et emere, sed

ἐν τῷ ἱερῷ, ἔνθα ἐχρῆν μὲν συνερχομένους εὔχεσθαι ὡς ἐν οἴκῳ προσευχῆς,

orationibus tantum vacare, qui congregantur quasi in domo *orationis.*

(30)

ἐποίουν δὲ τὰ ἐναντία τῇ εὐχῇ ἐν αὐτῷ, ὡς ἐν οἴκῳ ἐμπορικῷ πωλοῦντες καὶ ἀγοράζοντες καὶ ἀργύρια κολλυβίζοντες καὶ ἐπὶ καθεδρῶν καθ(35)εζόμενοι, ἵνα πωλῶσι περιστεράς.

9 *μηδὲ* Koe, vgl. lat. *μετὰ* MH

3/4 non iam L 19 *** Kl, vgl. gr. | correctionem B 20 mundis y multis R mundi L 21 ⟨celebratis⟩ Diehl, vgl. gr. 28 tantum y* < L

καὶ τὸ ἄσεμνον τῶν γινομένων παρὰ
Ἰουδαίοις τότε ὁ Ἰησοῦς ἡμῶν
καθηρη|κέτω. ἐλέγξας τοὺς ἀντὶ (750)
τοῦ κατὰ τὸν νόμον ἑορτάζειν ἐμ-
5 πορευομένους καὶ σωματικῶς τρυ-
φῶντας.

21. Καὶ νῦν δὲ νομίζω ἱερὸν
ἐκ λίθων ζώντων οἰκοδομηθὲν εἶναι
τὴν ἐκκλησίαν, καὶ εἶναι ἐν αὐτῇ
10 τινας οὐχ ὡς ἐν ἐκκλησίᾳ ζῶντας
ἀλλ' ὡς »κατὰ σάρκα« στρατευομέ-
νους, οἵτινες καὶ ποιοῦσι τὸν τῆς
προσευχῆς ἐκ ζώντων λίθων ⟨οἰκο-
δομηθέντα⟩ οἶκον λῃστῶν διὰ τὴν
15 αὐτῶν κακίαν σπήλαιον.

21. Nunc autem arbitror esse *templum dei* ex lapidibus vivis constructum ecclesiam Christi. sunt autem multi in ea non sicut decet viventes spiritaliter sed »secundum carnem« militant⟨es⟩, qui et *domum orationis* de lapidibus vivis constructam faciunt *speluncam* esse *latronum* actibus suis non ecclesia dei dignis, sed spelunca *latronum*.

τίς γὰρ κατανοήσας τὰ ἔν τισιν ἐκ-
κλησίαις ἁμαρτανόμενα ὑπὸ τῶν
20 ⟨τοιούτων Χριστιανῶν τῶν⟩ νομι-
ζομένων »πορισμὸν εἶναι τὴν« ἑτέρων
»εὐσέβειαν«, καὶ δέον »ἐκ τοῦ εὐαγγε-
λίου« μόνον διαζῆν,

qui enim considerat in multis ecclesiis talium Christianorum peccata, qui arbitrantur »quaestum esse pietatem«, et cum deberent »de evangelio vivere«

25

secundum quod vivere decet servos dei,

τοῦτο μὲν μὴ ποιούντων, πλοῦτον δὲ
καὶ πολλὴν κτῆσιν συναγόντων. οὐκ
ἐρεῖ σπήλαιον λῃστῶν γεγονέναι
τὸ τηλικοῦτον τῆς ἐκκλησίας μυστή-
30 ριον; ὥστ' ἂν εἰπεῖν τὸν Ἰησοῦν

hoc non faciunt, sed divitias et multas possessiones adquirunt, nonne dicet *speluncam latronum* factam esse sub illis ecclesiam, ut recte dicat Christus ad eos

8. 13 Vgl. I. Petr. 2, 5 — 11 Vgl. II. Kor. 10, 3 — 21 Vgl. I. Tim. 6, 5 — 22 Vgl. I. Kor. 9, 14

7 ἱερὸν + *dei* lat. 10. 18 τινας ... τισιν] *multi* ... *multis* lat. 10 ὡς ἐν ἐκκλησίᾳ] *sicut decet spiritaliter* lat. 13 λίθον H | ⟨οἰκοδομηθέντα⟩ Koe, vgl. lat. 20 ⟨τοιούτων — τῶν⟩ Kl, vgl. lat. 27 κτίσιν H 30 ἂν + *recte* lat.

12 militant⟨es⟩ Kl, vgl. gr. 16 ecclesia ϱ ecclesiae x 28 dicet ϱ dices x

ἐπὶ τοῖς ἁμαρτανομένοις ἐν ᾧ ᾠκοδόμησεν ἱερῷ ζῶντι τό τε ἀπὸ τῶν Ψαλμῶν οὕτως ἔχον·
»τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ
5 *καταβῆναί με εἰς διαφθοράν;« καὶ τὸ ἀπὸ τοῦ (ὡς οἶμαι) Ὠσηέ,*
ἔνθα ἡ τοῦ Ἰησοῦ ψυχὴ λέγει δυσαρεστουμένη τῷ βίῳ τῶν ἁμαρτανόντων καὶ ἐν τῷ ἱερῷ εἶναι δοκούντων
10 *τὸ*
»οἴμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ. οὐκ ὄντος στάχυος τοῦ φαγεῖν τὰ πρωτόγονα. οἴμοι ψυχή.
15 *ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς. καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει«. καὶ ἐὰν προσκόπτῃς γε τῷ ταῦτα λέγειν τὸν Ἰησοῦν καὶ πενθοῦντα ἡμῶν τὰ πταίσματα φάσκειν*
20 *τὸ »οἴμοι ψυχή«. συνεξέτασον τούτοις τὸ ἀπὸ τοῦ εὐαγγελίου. ἔνθα γέγραπται ὅτι ἰδὼν τὴν Ἱερουσαλὴμ »ἔκλαυσεν ἐπ᾽ αὐτῇ. καὶ εἶπε«. καὶ μᾶλλόν γε. εἴπερ εὐλόγως ἔκλαυσεν*
25 *ἐπὶ Ἱερουσαλήμ, εὐλογώτερον κλαύσεται ἐπὶ τὴν ἐκκλησίαν. οἰκοδομηθεῖσαν μὲν ἵνα οἶκος προσευχῆς ᾖ, γενομένην δὲ διὰ τὴν αἰσχροκέρδειαν καὶ τρυφήν τινων (ἀλλ᾽ εἴθε μὴ*
30 *καὶ τῶν ἡγουμένων τοῦ λαοῦ) σπήλαιον λῃστῶν.*

propter dissipationem ecclesiae suae:

»quae utilitas in sanguine meo, dum descendo in corruptionem? item ipse per Osee tali modo:

»vae mihi quoniam factus sum sicut qui colligit stipulam in messe et sicut racemum in vindemia, cum non sit botrio ad manducandum primogenita. vae animae meae. quia periit timoratus a terra. et qui corrigat in hominibus non est«. et cum intellexeris Iesum dicentem talia et lugentem peccata nostra ***, aspice simul et illud. quod in evangelio scribitur: »cum vidisset Hierusalem. flevit super eam et dixit«. et si rationabiliter flevit super Hierusalem, rationabilius flebit super ecclesiam aedificatam quidem ut esset *domus orationis*, factam autem propter turpia lucra et luxum quorundam (quod utinam non esset principum populi) *speluncam latronum*.

4 Ps. 29, 10 — 6ff Vgl. Micha 7,1f — 11. 20 Micha 7, 1 — 23 Vgl. Luc. 19, 41

3 *ἔχων* H[a] 5 *καταβαίνειν με* H 6 *Ὠσηέ*] so schon im Archetypus, vgl. lat. 7 *ἡ ψυχὴ αὐτοῦ* M 13 *στάχυος*] lat. las *βότρυος* (vgl. LXX) 21 *τὸ*] *et illud* lat.

6 osee y* micheam L 12 sicut x* + qui *μ* 14 botris R G[c.r.] botrio G[a] B L 18 19 intellexeris] lat. las *προσέχῃς*? Koe 20 *** Diehl Kl. vgl. gr. 29 luxum (G)B luxus L

Ἀλλὰ τότε μὲν εἰσῆλθεν Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ καὶ ἐκάθαρεν αὐτὸ ἐκβα|λὼν πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καταστρέψας μετὰ τῶν καθεδρῶν ἐν αἷς ἐκαθέζοντο οἱ πωλοῦντες τὰς περιστεράς. νῦν δέ, ὅσον μὲν οὐκ ἐπισκοποῦνται, οἱ ⟨ἐν⟩ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ γινόμενοι »ἐπὶ τὸ αὐτὸ« ἐν συναγωγαῖς εἰσιν οἱ πωλοῦντες καὶ ἀγοράζοντες ἐν τῷ ἱερῷ καὶ τὰ λοιπὰ ⟨πάντα⟩ ποιοῦντες, καὶ οὐδαμοῦ Ἰησοῦς αὐτοῖς ἐπιφαίνεται, ἵνα ἐκβαλὼν ⟨αὐτοὺς⟩ σώσῃ τοὺς λοιποὺς

ἢ κἀκείνους ἐκβληθέντας ποιήσῃ συναισθηθῆναι τῆς ἁμαρτίας καὶ εἰσελθεῖν εἰς τὸ ἱερόν, οὐκέτι μετὰ τοῦ πωλεῖν καὶ ἀγοράζειν ἢ τὰ λοιπὰ ποιεῖν· ἐπὰν δὲ ἐπισκέψηται ἐπὶ τὰς ἁμαρτίας ἡμῶν καὶ ὡς ἀγαπῶν ἡμᾶς ἐπιδημήσῃ, ἵνα παιδεύσῃ καὶ μαστιγώσῃ ὡς υἱοὺς ὅπως ἡμᾶς παραδέξηται, τότε εἰσελεύσεται ἡ δύναμις Ἰησοῦ συναγομένων ἡμῶν καὶ τοῦ πνεύματος τοῦ ἁγίου, καὶ εἰσελθοῦσα ἐκβαλεῖ πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· πωλοῦντας μὲν καὶ ὡσπερεὶ ἀπεμπολοῦντας εἴ καί τι χρηστὸν εἶχον, ἀγοράζοντας δὲ ἀντ' ἐκείνων τὰ φαῦλα,

Sed tunc quidem *intravit Iesus in templum dei* et mundavit eum, eiciens ⟨*omnes*⟩ *vendentes et ementes in templo et mensas nummulariorum* evertens *et cathedras vendentium columbas*. nunc autem, quamdiu non visitantur, qui in nomine Iesu Christi conveniunt »in id ipsum« sunt in conventibus vendentes et ementes *in templo* et reliqua omnia facientes, et nusquam eis Christus apparet, ut eiciens eos reliquos salvet. 751

si autem visitaverit super peccata nostra et quasi diligens nos veniat ut corripiat et castiget quasi filios, ut recipiat nos, tunc ingredietur Christi potestas congregatis nobis et spiritu sancto et ingrediens eiciet *omnes vendentes et ementes in templo*; *vendentes* quidem et alienantes a se quidquid habebant boni, *ementes* autem pro eis mala,

11 Vgl. I. Kor. 11, 20 — **24f** Vgl. Prov. 3, 12 — **26f** Vgl. I. Kor. 5, 4

10 ⟨ἐν⟩ Koe, vgl. lat. und S. 551, 15 **14** ⟨πάντα⟩ Diehl Kl Koe, vgl. lat. **16** ⟨αὐτοὺς⟩ Koe, vgl. lat. **22** ἐπὶ] *super* lat. **31/32** ἀμπεπωλοῦντας M **32** καὶ < M

2 eum G L^a illud B L^c **3** ⟨omnes⟩ Diehl, vgl. gr. **8** id y* < L **9** sunt] sint G < B | conventibus μ convenientibus x **23** diligens] lugens L **24** ut Kl, vgl. gr. et x

καὶ ταῦτα ἐν τῷ ἱερῷ τοῦ θεοῦ, τῇ ἐκκλησίᾳ, πράττοντας. ἀλλ' εἴθε εἰσελθὼν εἰς τὸ ἱερὸν τοῦ πατρός, τὴν ἐκκλησίαν, τὸν οἶκον τῆς προσ-
5 *ευχῆς,*
καταβάλοι δ' Ἰησοῦς τὰς τῶν κολλυβιστῶν καὶ ⟨αἰσχροκερδῶν καὶ⟩ φιλαργύρων τραπέζας καὶ εἰς πολλὰ εὐτελῆ καὶ οὐδενὸς λόγου ἄξια κα-
10 *τακερματιζόντων τὰ δόκιμα ἀργύρια, ἵνα βλάψωσι μὲν ἐκείνους οἷς κολλυβίζουσιν, αὐτοὶ δὲ μὴ εἰς δέον χρήσωνται τῷ ἀργυρίῳ. εἰσὶ δὲ καὶ ἄλλοι ἐν τῷ ἱερῷ πωλοῦντες καὶ ἀγορά-*
15 *ζοντες τὰς Χριστοῦ περιστερὰς καὶ παραδιδόντες τοὺς ἀκεραίους ὡς περιστεράς, τοὺς εὐξαμένους καὶ εἰπόντας· »τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι*
20 *καὶ καταπαύσω;« καὶ ἐπακουσθέντας ἄρχουσιν οἷς οὐ δεῖ.*

22. *Καὶ νομίζω ἁρμόζειν τὸν περὶ τῶν πωλούντων τὰς περιστερὰς λόγον τοῖς παραδιδοῦσι τὰς*
25 *ἐκκλησίας αἰσχροκερδέσι καὶ τυραννικοῖς καὶ ἀνεπιστήμοσι καὶ ἀνευλαβέσιν ἐπισκόποις ἢ πρεσβυτέροις ἢ*

et destruet *mensas nummulariorum*, id est avarorum et pecuniae cupidorum,

qui aliorum quidem pecunias cum iniquitate vertunt ad se, ipsi autem non ad ⟨id⟩ quod expedit eas expendunt. sunt et alii *in templo* vendentes ⟨et ementes⟩ Christi *columbas* et tradentes simplices sicut columbas, orantes et dicentes: quis dabit mihi pinnas sicut columbae, et volabo et requiescam?« tradentes eas principibus, quibus non oportebat. 752

22. Et arbitror convenire verbum de venditoribus columbarum eis, qui tradunt ecclesias avaris et tyrannicis et indisciplinatis et inreligiosis episcopis aut presbyteris ⟨aut diaconis⟩. pro-

8 Vgl. Orig. tom. X, 30 in Joh. (IV, 203, 10f): *ἀργύριον ἔχοντες ἀδόκιμον καὶ διδόντες . . . κόλλυβα τοῖς προσιοῦσιν, εὐτελῆ καὶ εὐκαταφρόνητα νομίσματα* — **15f** Vgl. Matth. 10, 16 — **18** Ps. 54, 7 — **22ff** Zu dieser »erschütternden, gewaltigen« Darlegung der Mißstände in der Kirche vgl. Harnack TU. 42, 4, 136 — **22ff** Vgl. Hier. in Matth. 164 D: *ceterum secundum mysticos intellectus cotidie Iesus ingreditur templum patris et eicit omnes tam episcopos et presbyteros et diaconos quam laicos . . . et unius criminis habet vendentes pariter et ementes*

6 καταβάλλοι H **7** ⟨αἰσχροκερδῶν καὶ⟩ Kl, vgl. lat. u. Z. 25 **12 13** χρήσονται M **20/21** ἐπακουσθέντας] lat. las παραδοθέντας? (παραδιδόντες?) **22** τὸν? M τῶν H

8ff über diese Lücke vgl. Nachträge **13** ⟨id⟩ Diehl **15** ⟨et ementes⟩ Kl, vgl. gr. **17f** et orantes et B et orantes G L **18** pennas B L **27** ⟨aut diaconis⟩ Kl, vgl. gr.

διακόνοις. διόπερ μόνων τῶν πωλούντων τὰς περιστερὰς καθέδρας ὠνόμασεν ὁ Ματθαῖος καὶ ὁ Μᾶρκος, ἅς φασι κατεστράφθαι ὑπὸ τοῦ Ἰησοῦ. ὡς εἴθε τούτων ἤκουον μετὰ τοῦ πρέποντος νοῦ τῇ θείᾳ γραφῇ οἱ »ἐπὶ τῆς καθέδρας Μωσέως« αὐχοῦντες καθέζεσθαι καὶ πωλοῦντες ὅλας ἐκκλησίας περιστερῶν καὶ παραδιδόντες αὐτὰς τοιούτοις προεστηκόσι, περὶ ὧν λέγοιτ' ἂν τὸ ἐν τῷ Ἱερεμίᾳ ὑπὸ τοῦ κυρίου λεγόμενον· »οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐμὲ οὐκ ᾔδεισαν· υἱοὶ ἄφρονές εἰσι καὶ οὐ συνετοί, σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἔγνωσαν« καὶ τὸ ἐν τῷ Μιχαίᾳ (οἶμαι) οὕτω λελεγμένον· »οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐκβληθήσονται ἐξ οἴκου τρυφῆς αὐτῶν«. εἰ γὰρ ἤκουον, οὐκ ἂν ἐπώλησαν τὰς Χριστοῦ περιστεράς. ἀλλὰ κατέστησαν ἄρχοντας αὐτῶν φειδομένους τῶν περιστερῶν καὶ προνοουμένους τῆς σωτηρίας αὐτῶν καὶ οὐ περιβλεπομένους τίνα ὡς παχεῖαν περιστερὰν θύσαντες καταθοινήσονται.

λέγει δὲ Ἰησοῦς τοῖς ἐκβαλλομένοις ὡς πωλοῦσι καὶ ἀγοράζουσι καὶ τοῖς κολλυβισταῖς καὶ τοῖς πωλοῦσι τὰς περιστεράς, δυσωπῶν αὐτοὺς ἀπὸ τῶν ὡς ἐκ προσώπου τοῦ πατρὸς λεγομένων προφητειῶν, ὅτι τὸ μὲν γεγραμμένον ἐστίν· ὁ οἶκός μου

pter quod et *cathedras* tantummodo *** appellavit evangelista eversas esse a Iesu. et utinam audirent haec cum decenti admonitione scripturae, qui gloriantur de cathedris Moysi in quibus sedent et vendunt omnes ecclesias columbarum et tradunt eas talibus praepositis, ad quos recte dicatur a domino per Hieremiam prophetam: »principes populi mei me non cognoverunt; filii sunt insipientes et non intellegentes, sapientes sunt ad male faciendum, bene autem facere nesciunt«, et apud Michaeam similiter: »principes populi mei expellentur de domo epulationis suae«. si autem audirent, numquam venderent Christi *columbas*, sed constituerent principes eorum parcentes columbis et providentes saluti earum, et non despicientes

nec occidentes pingues columbas.

7 Vgl. Matth. 23, 2 — 13 Jer. 4, 22 — 18 Micha 2, 9

7 μωυσέος M H 11 ὧν + *recte* lat. 26 27 καταθοινίσονται M 28 λέγοι H

2 *** Kl, vgl. gr. 3 a] ab B 13 filii + enim G L 19 autem] l. enim? Kl, vgl. gr.

οἶκος προσευχῆς κληθήσεται. οὐδὲν γὰρ ἄλλο δεῖ εἶναι ἐν ἐκκλησίᾳ θεοῦ ἢ εὐχὴν πάσης ἁγίας πράξεως καὶ προκαλουμένης τὴν τοῦ θεοῦ ἐπι-
5 σκοπήν, εἰς εὐχὴν παρὰ θεῷ λογιζομένης, καθὸ καὶ τὸ »ἀδιαλείπτως προσεύχεσθε« δυνατόν ἐστιν. ὑμεῖς δέ, ὦ οὗτοι, ταῖς ὑμετέραις κακίαις τὸν τῆς προσευχῆς οἶκον σπήλαι-
10 ον λῃστῶν πεποιήκατε. καὶ εὑρεῖν ἔστι πολλαχοῦ κατὰ βραχὺ οὕτως | 753 εἰς διαστροφὴν ὁδεύσαντα τὰ τῆς νομιζομένης ἐκκλησίας πράγματα, ὡς μηδὲν σπηλαίου λῃστῶν διαφέρειν
15 τὸ ἄθροισμα συναγόμενον ἐν ὀνόματι Χριστοῦ, ὥστ' ἂν λέγεσθαι αὐτοῖς· »δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν«.

Εἰ δὲ δεῖ τὰ εἴδη τρία τυγχά-
20 νοντα τῶν ἐνταῦθα κατειλεγμένων προσφιλονεικήσαντα τῇ σαφηνείᾳ τῆς γραφῆς

Si autem oportet tres istas species reiectas a templo

ἐπιμελέστερον διηγήσασθαι, μήποτε οἱ μὲν ἐν τῷ λαῷ μηδενὶ ἐν τῷ κόσμῳ
25 σχολάζοντες ἢ περὶ τὸ πωλεῖν καὶ ἀγοράζειν

cautius exponere, possumus dicere: quicumque in populo Christiano ad nihil aliud vacant in saeculo isto nisi circa venditiones et emptiones,

μόνον τὰς διατριβὰς ἔχοντες καὶ σπανίως ταῖς προσευχαῖς προσ-
30 καρτεροῦντες καὶ οἷς ἀπαιτεῖ ἔργοις ὁ θεῖος λόγος, εἰσὶν οἱ πωλοῦντες καὶ ἀγοράζοντες ἐν τῷ ἱερῷ τοῦ θεοῦ.

rarius autem orationibus permanent vel aliis actibus rectis, quos quaerit sermo divinus, ipsi sunt vendentes et ementes *in templo dei*,

2ff Vgl. Harnack TU. 42, 4, 123 — **6** I. Thess. 5, 17 — **17** Jes. 52, 5

2 *οὐδὲ* H **23** *μήποτε*] *possumus dicere* lat. **24** *λαῷ* + *Christiano* lat. | *ἐν*² Kl, vgl. lat. *ἢ* MH ⟨*ἄλλῳ*⟩ *ἐν* Koe **24** *κόσμῳ* + *isto* lat. **25** *ἢ* Kl, vgl. lat. *καὶ* MH **30** *ἔργοις* + *aliis* und *rectis* lat.

19 istas x* ipsas ϱ **29** autem + ad G^c? **30** vel + in G^c

facientes domum *orationis speluncam latronum.*

οἱ δὲ μὴ καλῶς διάκονοι διοικοῦντες τὰ τῆς ἐκκλησίας χρήματα, ἀλλ' ἀεὶ 5 *μὲν ταῦτα ψηλαφῶντες, οὐ καλῶς δὲ αὐτὰ οἰκονομοῦντες*

diaconi autem qui non bene tractant ecclesiasticarum pecuniarum mensas, sed semper de eis fraudant et ipsas quas dispensant non secundum iustitiam dispensant,

ἀλλὰ σωρεύοντες τὸν νομιζόμενον 10 *πλοῦτον καὶ χρήματα, ἵνα πλουτῶσιν ἀπὸ τῶν εἰς λόγον πτωχῶν διδομένων, οὗτοί εἰσιν οἱ κολλυβισταὶ* τραπέζας *χρημάτων ἔχοντες, ἃς* κατέστρεψεν *ὁ Ἰη-* 15 *σοῦς.*

ut divites fiant de rebus pauperum, ipsi sunt nummularii pecuniarum *mensas* habentes quas Christus *evertit.*

quoniam autem mensis ecclesiasticarum pecuniarum diaconi praesunt, docent nos in Actibus suis apostoli, cum factum fuisset 20 (inquit) »murmur Graecorum ad Hebraeos, eo quod despicerentur viduae eorum in ministerio cotidiano«, dicentes: »non est bonum relinquentes verbum dei 25 ministrare mensis. eligite ergo ex vobis septem quos constituamus in hunc usum; nos autem verbo dei instantes erimus«.

οἱ δὲ τὰς πρωτοκαθεδρίας πεπιστευ- 30 *μένοι τοῦ λαοῦ ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ ὡσπερεὶ ἀποδιδόμενοι ὅλας ἐκκλησίας οἷς οὐ χρὴ καὶ καθιστάντες οὓς οὐ δεῖ ἄρχοντας, οὗτοί εἰσιν οἱ πωλοῦντες* τὰς περιστεράς.

episcopi autem et presbyteri, quibus ⟨primae⟩ creditae sunt cathedrae, qui tradunt ecclesias quibus non oportet et constituunt principes quos constituere non expedit, ipsi sunt qui vendunt *columbas,*

20 Act. 6, 1 — 23 Act. 6, 2—4

3 *διοικοῦντες διάκονοι* Koe **29** *προτοκαθεδρίας* H

11 ut d. fiant Kl et d. fiunt x **21** dispicerentur G **24** freies Zitat **28** instantes y* intenti L **29** ⟨primae⟩ Diehl, vgl. gr. **31** ⟨quasi⟩ tradunt ⟨totas⟩ ? Kl, vgl. gr.

ὧν τὰς καθέδρας κατέστρεψεν ὁ
Ἰησοῦς. ἕκαστος οὖν τῶν ἐπὶ καθέδρας
καθεζομένων ἐκκλησιαστικῆς καὶ
ἀγαπώντων »τὰς πρωτοκαθεδρίας ἐν
5 ταῖς συναγωγαῖς« προσεχέτω, μήπο-
τε οὕτω καθέζεται ἐπὶ τῆς ἑαυτοῦ
καθέδρας, ὥστε ἐλθόντα τὸν Ἰησοῦν
καταστρέψαι αὐτὴν ὡς ἀξίαν κατα-
στροφῆς. ἀλλὰ καὶ ἕκαστος τῶν ἀπὸ
10 διακονίας συναγόντων ⟨ἑαυτοῖς πλοῦ-
τον καὶ ἀποστερούντων πτωχῶν⟩
χρήματα, νοήσας τὴν προκειμένην
γραφὴν μηκέτι σωρευέτω εἰς τὰς
τραπέζας ἀργύριον, ἵνα μὴ κατα-
15 στρέψῃ αὐτὰς ὁ Ἰησοῦς. ἀλλὰ καὶ οἱ
ὑπὸ μεριμνῶν τε καὶ φροντίδων βιω-
τικῶν ⟨ἀεὶ⟩ ἀγόμενοι εἰς ἀγορασ-
μοὺς καὶ πράσεις φροντιζέτωσαν,
μήποτε ἐλθὼν ὁ Ἰησοῦς ἐκβάλῃ
20 αὐτοὺς ἐκ τοῦ ἱεροῦ ⟨τοῦ θεοῦ⟩,
ὅτε ὁ ἐκβεβλημένος οὐδὲ ἐλπίδα τοῦ
εἰσελθεῖν ἔχει ὅθεν ἐξεβλήθη. καὶ
ὑποφαίνεταί μοι ἐρευνῶντι τὴν ἐκ-
κειμένην γραφήν, μήποτε ταῦτα ὁ
25 Ἰησοῦς ποιήσῃ [καὶ] κατὰ τὴν δευ-
τέραν ἐπιδημίαν ἢ κατὰ τὴν προσ-
δοκωμένην θείαν κρίσιν. εἰσελθὼν

quorum *cathedras* Christus *evertit*.
unusquisque ergo sedentium super
cathedram ecclesiasticam et aman-
tium »primas cathedras in syna-
gogis«, videant ne forte sic se-
deant in eis ut veniens dominus eas
evertat quasi dignas eversione.
⟨sed⟩ et unusquisque diacono-
rum, qui congregant sibi divitias
fraudantes pauperum pecunias,
intellegant praesentem scriptu-
ram, ut iam non congregent, ne 754
forte veniens dominus evertat
mensas dispensationis eorum. sed
et qui sollicitudinibus mundiali-
bus feruntur semper ad venditio-
nes et emptiones, curent ne forte
veniens dominus eiciat eos de
templo *dei*, quando eiectus nec
spem habet regrediendi unde eiec-
tus est. scrutanti autem mihi
scripturas apparet, ne forte haec
faciat *Iesus* in secundo adventu
et in futuro iudicio ⟨divino⟩.
tunc enim ingressus in omnes
ecclesias eiciet

4 Vgl. Luc. 11, 43 17 Vgl. Luc. 21, 34 — 21f Vgl. Orig. fragm. 48 in Jer. (III, 222, 14ff): *ἴστω δὲ ὁ τῆς Ἱερουσαλὴμ ἐκβληθεὶς ὡς, ἐὰν μὴ ποιήσῃ χρόνον αὐτάρκη πράττων ἔξω τῆς ἐκκλησίας ἃ δεῖ, οὐκ ἐπάνεισιν κτλ.*; vgl. Harnack TU. 42, 4, 129 A. 1

1 *κατέστρεψεν* Hu *κατέστρεφεν* M H 9 *ἕκαστως* H 10 ⟨*ἑαυτοῖς* — *πτωχῶν*⟩ Kl, vgl. lat. 14 *μὴ* + *veniens* lat. 17 ⟨*ἀεὶ*⟩ Kl, vgl. lat. 20 ⟨*τοῦ θεοῦ*⟩ Kl, vgl. lat. 21 *ὅτι* Hu 25 [*καὶ*] Koe, vgl. lat. 26 *ἢ*] *et* lat. 26 27 *προσδοκομένην* H

8 ⟨sed⟩ Kl, vgl. gr. 12ff lat. frei 17 curent Kl, vgl. gr. currentes x 21 autem y* < L 23 faciet y 24 ⟨divino⟩ Diehl, vgl. gr.

γὰρ εἰς τὸ ἱερὸν τοῦ θεοῦ ὅλον,
τὴν πᾶσαν ἐκκλησίαν, τὴν (ἐξ οὗ συν-
έστη ἐκκλησία) ἐν ὀνόματι Χριστοῦ
συνεστηκυῖαν μέχρι τῆς συντελείας
5 τοῦ αἰῶνος, οὓς ἂν εὕρῃ
τῷ πωλεῖν καὶ ἀγοράζειν σχολάσαν-
τας τῶν νομιζομένων εἶναι ἐν τῷ
ἱερῷ ⟨ὡς ἀναξίους τοῦ ἱεροῦ⟩ τοῦ
θεοῦ ἐκβαλεῖ· καὶ οὓς ἂν εὕρῃ τρα-
10 πέζας πήξαντας καὶ γινομένους
κολλυβιστὰς ἐλέγξει καταστρέψας
αὐτῶν τὰς τραπέζας καὶ τῷ λόγῳ
δείξας οἷα περὶ τὸ ἀργύριον ἡμαρτή-
κασι· τότε δὲ καὶ τὰς (ὡς διηγησά-
15 μεθα) καθέδρας τῶν πωλούν-
των τὰς περιστερὰς καταστρέψει.
εἰ δέ τις οὐδὲν τῶν τριῶν τούτων εἰ-
δὼν ἔχει καὶ ἐν τῷ ναῷ εὑρίσκεται
τοῦ θεοῦ, θαρρείτω· οὔτε γὰρ ἐκ-
20 βληθήσεται ὑπὸ τοῦ Ἰησοῦ οὔτε τι
τῶν αὐτοῦ καταστραφήσεται οὐθ' ὡς
ποιήσας τὸν οἶκον προσευχῆς
σπήλαιον λῃστῶν ὀνειδισθή-
σεται
25 ὡς λῃστής, ὅτε κολασθήσονται οἱ
ποιήσαντες τῇ ἑαυτῶν λῃστείᾳ καὶ
ἀδικίᾳ τὸν οἶκον τῆς προσευχῆς
σπήλαιον λῃστῶν.
30
35

vel evertet quos invenerit
(secundum ea quae diximus)
templo dei indignos.

si quis autem inventus fuerit non
habens aliquid de his criminibus
tribus, et inventus fuerit esse in
templo ⟨dei⟩, confidat; nec enim
eicietur a Christo nec aliquid eius
evertetur nec exprobrabitur, quasi
qui fecerit domum *orationis spe-
luncam latronum*.

puto autem: et in hoc tempore in-
visibiliter venit Iesus ad singu-
las ecclesias dei et eicit quos
supra diximus dignos eiectione.
quotienscumque enim excitat
temptationem super ecclesiam, ve-
nit ad eam et visitat eam, ut

3f Vgl. Matth. 28, 20

1 γὰρ] *tunc enim* lat. **8** ⟨ὡς —ἱεροῦ⟩ Kl nach Koe, vgl. lat. **9** ἐκβαλεῖ Hu ἐκβάλῃ M H **18** ἔχει] *habens* lat. **22** l. οἶκον ⟨τῆς⟩? Kl

6 entspricht gr. Z. 14f **17ff** lat. las *εἰ δέ τις ⟨εὑρίσκεται⟩ . . . ἔχων καὶ ἐν τῷ ναῷ ⟨ὢν⟩* Koe **20** ⟨dei⟩ Koe, vgl. gr. **23** qui x* < μ

faciat quod facere scribitur in hoc loco.

23. Εἰρημένης τοίνυν εἰς τὸ ῥητὸν τῆς ὑποπεσούσης ἡμῖν καὶ εἰς
5 τὴν ἐκκλησίαν διχῶς ἀποδεδομένης διηγήσεως, φέρε
μετὰ ταῦτα ἴδωμεν εἰ δύναται καὶ οὕτω τὰ κατὰ τὸν τόπον νοηθῆναι.
οὐκ ἔλαττον τῆς ἐκκλησίας φύσει
10 ἱερόν ἐστι θεοῦ πᾶσα λογικὴ φύσις, κατεσκευασμένη ἵνα χωρήσῃ δόξαν θεοῦ,
περὶ ἧς γέγραπται (ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων καὶ τῇ τρίτῃ τῶν
15 Βασιλειῶν) ὀφθείσης μετὰ τὴν οἰκοδομὴν τοῦ νεὼ ἐν αὐτῷ.
τοῦτο δὴ τὸ φύσει ἱερὸν τοῦ θεοῦ, τὴν ψυχήν, πεπληρώκαμεν οἱ ἁμαρτάνοντες
20 πωλούντων
καὶ ἀγοραζόντων λογισμῶν

| καὶ ἄλλων περὶ ἀργυρίου πάντα σκοπούντων διαλογισμῶν· πεπλη-
25 ρώκαμεν δὲ ἁμαρτάνοντες καὶ ἄλλων πωλούντων καὶ ἀπεμπολούντων
εἴ τι ἅγιον κατάλειμμα ἐν τῇ ψυχῇ ἡμῶν γεγένηται, ὅπερ ἦν περιστερά.
λέγει οὖν τοῖς ἁμαρτάνουσιν ὁ Ἰη-
30 σοῦς καὶ πεπληρωμένοις λῃστῶν λο-

23.

Post haec videamus, ne forte et sic locus iste intellegi possit.

omnis enim natura rationabilis templum est *dei*, quae ad hoc est creata, ut capiat gloriam dei.

hoc ergo quod est naturaliter templum dei, id est anima, inplemus peccantes quibusdam quidem vendentibus, quibusdam autem ementibus cogitationibus malis

755

et si quid sanctum reliquum est in anima nostra, quod est columba. dicit ergo ⟨Iesus⟩ ad eos qui peccant et pleni sunt furibus cogitationi-

ἀνάλογον τοῖς τῆς ἁμαρτίας ἀνθρώ-
15 ποις καὶ τοῖς ἀγγέλοις τοῦ διαβόλου.
καὶ ἔστι γε τοῖς μηκέτι »πρὸς αἷμα
καὶ σάρκα« παλαίουσιν ἀλλὰ διὰ τὸ
ἐπαναβεβηκέναι τῇ δυνάμει πρὸς τὰ
ὑπὲρ ταῦτα ἀγωνιζομένοις
20 »ἡ πάλη« »πρὸς τὰς« ἀνταγωνιζο-
μένας τοῖς ἀθληταῖς τῆς θεοσεβείας
»ἐξουσίας«. ὡς δὲ πλείονα τάγματα
ἦν ὑπὸ τὸν θεόν, οὕτως καὶ ἐν τῇ
ἐναντίᾳ χώρᾳ οὐ μόνον ἐξουσίαι εἰσὶν
25 ἀλλὰ καὶ κοσμοκράτορες »τοῦ σκό-
τους τούτου« καὶ »πνευματικὰ τῆς
πονηρίας ἐν τοῖς ἐπουρανίοις«, τάχα
δὲ καὶ ἀρχαί,

ἐγὼ δ' οἶμαι ὅτι καὶ πάντα ὁμώνυμα
30 τοῖς τοῦ θεοῦ ἐστι κατὰ τὴν ἐναν-
τιότητα.

et sicut sunt in parte dei, ita
sunt et in parte diaboli multi prin-
cipatus, multae potestates,
sicut testatur apostolus dicens:

»non est nobis conluctatio cum
carne et sanguine, sed adversus
principatus et potestates, adver-
sus rectores huius mundi tene-
brarum harum, adversus spirita-
lia nequitiae in caelestibus«.

ego autem arbitror, quoniam et
omnia eorundem nominum sunt
apud diabolum quaecumque sunt
apud deum;
et est forte potestas ex potestatibus
universis quae ipsi Christo mini-
35 stra⟨ba⟩t, alia autem quae prophe-

6f Vgl. Hebr. 5, 11 — **14** Vgl. II. Thess. 2, 3 var. lect. — **15** Vgl. Matth. 25, 41 — **16ff** Vgl. Eph. 6, 12 — **24ff** Vgl. Eph. 6, 12

2 τοῦ < M **15/16** im gr. ist vermutlich das ganze Zitat lat. Z. 14–21 ausgefallen Koe **30** ἐστι + καὶ H

12 et x Pasch < ϱ **34/35** ministra⟨ba⟩t Kl

tis cooperabatur facientibus signa, et non omnibus una potestas, sed alia forte istis, alia autem illis, secundum dignitatem fidei eorum, quam solus sciebat deus. et nec in omnibus virtutibus faciendis una eademque potestas cooperabatur, sed in quibusdam quidem haec, in quibusdam autem alia: et ad res forsitan inferiores inferior, ad res autem eminentiores eminentior.

διειληφότες οὖν οἱ τὰ διαφέροντα ὀνόματα κεκληρωμένοι ἐν τῷ Ἰσραήλ, τουτέστιν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, περὶ ἐξουσιῶν πλείονα ⟨καὶ ταγμάτων τῶν ἐν οὐρανῷ μυστηρίων⟩ εἴτε ἐκ παραδόσεων [εἴτε καὶ] ἐπιβάλλοντες εἴτε καὶ ἐξ ἀποκρύφων (οὐκ οἶδα εὐλόγως ἢ καὶ ἀλόγως) κινούμενοι, ἑώρων τὸν Ἰησοῦν τὰ τεράστια ἐπιτελοῦντα οὐ χωρίς τινος συνούσης αὐτῷ ἐξουσίας. ταύτης οὖν τὸ εἶδος ⟨καὶ τὴν ἰδιότητα⟩ ἀπὸ τῆς ἐπιστήμης τοῦ Ἰησοῦ μαθεῖν ἐβούλοντο

principes ergo *sacerdotum et seniores populi* cognoscentes plura de potestatibus et gradibus sacramentorum caelestium, sive ex traditione maiorum, sive de secretis quibusdam (utrum autem rationabiliter aut inrationabiliter ⟨nescio⟩) excitati videbant Iesum multa prodigia facientem non sine potestate aliqua ei subiecta, et ideo potestatis illius speciem et proprietatem volebant audire a Christo.

ἢ τῆς δοκούσης αὐτοῖς εἶναι ἐπιστήμης ἐν αὐτῷ.

Καὶ εἰ μὲν ἦσαν ἀρχιερεῖς τινες ἅγιοι καὶ μακάριοι (ὁποῖος ὁ Ἀαρὼν ἢ ὁ Ἐλεάζαρ ἢ ὁ Φινεὲς

Et si quidem fuissent *principes sacerdotum* aliqui sancti (qualis fuit Aaron vel Eleazar vel Phinees vel

17 ⟨*καὶ—μυστηρίων*⟩ Kl nach Koe, vgl. lat. 19 *παραδόσεων*] *traditione maiorum* lat. *παραδόσεω⟨ς προγόνω⟩ν* Koe | [*εἴτε καὶ*] Kl 21 *καὶ ἀλόγως* Kl nach Hu, vgl. lat. *ἀναλόγως* MH 22 *Ἰησοῦν* Kl, vgl. lat. *θ̅ν̅* M H | *τὰ*] *multa* lat. 25 ⟨*καὶ τὴν ἰδιότητα*⟩ Diehl Kl Koe, vgl. lat. 26 *τοῦ* < H 28 *αὐτῆς* M

22 ⟨nescio⟩ Kl, vgl. gr. 31 sancti ⟨et beati⟩? Diehl, vgl. gr.

ἢ ὅσοι ἐπαινετῶς τὰ τῆς λειτουργίας διετέλεσαν)
οἱ πυθόμενοι τοῦ σωτῆρος τότε καὶ πρεσβύτεροι παραπλήσιοι οἷς κατ'
5 ἐντολὴν θεοῦ Μωσῆς ἐξελέξατο, εἰκὸς ὅτι
ὡς οὐ πειράζουσιν ἀλλὰ φιλομαθοῦσι καὶ ἀξίοις τῶν τηλικούτων μαθημάτων παρέστησεν ἂν ἀρξάμενος
10 ὁ σωτὴρ λόγον, ὃν οὐδὲ ὁ κόσμος ὅλος χωρεῖν ἠδύνατο. καὶ ἀρξάμενος ἂν παρεδίδου τὴν ἐπιστήμην περὶ τῶν μακαρίων ἐξουσιῶν καὶ τῆς διαφορᾶς αὐτῶν καὶ τῆς αἰτίας τοῦ ἐλη-
15 λυθέναι αὐτὰς ἐπὶ τὸ εἶναι ἐξουσίας καὶ τῶν ὑπ' αὐταῖς, εἴτε ψυχῶν εἴτε καὶ ὁποιωνποτοῦν λογικῶν, διεξώδευσε δ' ἂν
καὶ τὸν περὶ τῶν ἐναντίων ἐξουσιῶν
20 λόγον, καὶ τὰς διαφορὰς αὐτῶν παρέστησεν ἄν. εἰκὸς δ' ὅτι ἐδίδαξεν ἂν ἀνάλογον τῷ »ὁ νόμος« »διαταγεὶς δι' ἀγγέλων« καὶ τῷ »εἰ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγέ-
25 νετο βέβαιος« (ἀνάλογόν φημι τῷ λόγῳ τῷ περὶ τῶν διακονησαμένων τῷ νόμῳ ἀγγέλων καὶ | τῆς κατὰ τὰς γραφὰς ἐξουσίας), οἷον ἐν ποίᾳ ἐξουσίᾳ διακονουμένῃ τῷ θεῷ ἢ
30 ποίαις ⟨ἐναντίαις ἐξουσίαις⟩ ἕκαστον τῶν ἐν Αἰγύπτῳ τεραστίων γεγένηται, καὶ τίς μὲν ἡ ἐξουσία διακονουμένη τῇ μεταβαλούσῃ εἰς ὄφιν ῥάβδῳ Μωσέως, τίς δὲ ταύτῃ ἐναντία διακονου-

quicumque eorum, qui bene functionem suam consummaverunt)

quasi non temptantibus sed discere cupientibus et dignis huiusmodi scientia sine dubio declarasset

mysteria potestatum et differentias earum,

et de contrariis quoque potestatibus rationem et differentias earum manifestasset.

768

4f Vgl. Num. 11, 16 — 10f Vgl. Joh. 21, 25 — 22 Gal. 3, 19 — 23 Hebr. 2, 2 — 30ff Vgl. Ex. 7, 10f

16 εἴτε[1] + καὶ H 17. 18 διεξώδευσεν H 23 τῷ Kl τὸ M H 24 ὁ < M 27 νόμῳ] λόγῳ M 30 ⟨ἐναντίαις ἐξουσίαις⟩ Kl

13 mysteria] lat. las μυστηρίων st. μακαρίων Koe

μένῃ τῇ μεταμορφώσει τῶν Αἰγυπτιακῶν ῥάβδων εἰς δράκοντας· καὶ εἶπεν ἂν τὴν δύναμιν τῆς ἐξουσίας ἀφ' ἧς κατέπιεν ἡ τοῦ Ἀαρὼν ῥάβδος
5 τὰς τῶν Αἰγυπτίων. εἶπε δ' ἂν καὶ τίς ἡ ἐξουσία τῆς εἰς χιόνα μεταβολῆς χειρὸς Μωσέως. καὶ ἐκ τῶν ἐναντίων ποία ἦν ἐξουσία συμπνέουσα καθ' ἕκαστον τοῖς ἐπαοιδοῖς τῶν Αἰ-
10 γυπτίων, ὅτε ἐδόκουν μιμεῖσθαι τὰ σημεῖα τοῦ θεοῦ. καὶ οὕτως ἂν διεξώδευσε τὰς δέκα τῶν Αἰγυπτίων πληγὰς καὶ τὴν κατ' αὐτῶν ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. εἶπε δ' ἂν
15 καὶ τίς ἐξουσία ὑπηρετήσατο τῇ διὰ τῆς ἐρυθρᾶς θαλάσσης διόδῳ τοῦ λαοῦ καὶ καταποντώσει τῶν Αἰγυπτίων. τίς τε ἐξουσία ὑπηρετήσατο τῇ διὰ ξύλου μεταβολῇ ὕδατος πικροῦ
20 εἰς γλυκύτητα. εἶπε δ' ἂν καὶ τὴν ἐξουσίαν ἣ διηκονήσατο τῷ ἀπὸ πέτρας ὕδατι. καὶ ἤτοι τὴν αὐτὴν ἢ ἄλλην παρέστησεν ⟨ἂν⟩ ἐξουσίαν διακονησαμένην τῷ ὑετῷ τοῦ μάννα καὶ
25 τῇ τῶν ὀρτυγομητρῶν ἐφόδῳ. εἶπε δ' ἂν καὶ τίς ἡ ἐξουσία ἡ τὸ αὐτὸ μάννα τῶν μὲν ἓξ ἡμερῶν τρέπουσα εἰς σκώληκας καὶ δυσωδίαν, τῇ δὲ τοῦ σαββάτου ἡμέρᾳ φυλάττουσα.
30 Καὶ τί με δεῖ ἀναλεγόμενον τὰ ἐν τῇ ἐρήμῳ τεράστια μέχρι τῆς Μωσέως τελευτῆς παριστάνειν, ὅτι εἶπεν ἂν ὁ σωτὴρ τὰ περὶ τῆς ἐξουσίας, εἰ

2ff Vgl. Ex. 7, 12 — **5** Vgl. Ex. 4, 6 — **7ff** Vgl. Ex. 7, 11f. 22 usw. — **16f** Vgl. Ex. 14 — **19f** Vgl. Ex. 15, 23ff — **22** Vgl. Ex. 16, 35 — **23f** Vgl. Ex. 16, 13 usw. — **26ff** Vgl. Ex. 16, 20

7 μωυσέος M H **17** καὶ ⟨τῇ⟩ Koe **23** ⟨ἂν⟩ Diehl **31f** μωυσέος M **32** παρεστάνειν M

ἦσαν ἄξιοι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ τῆς πρὸς τὸ πύσμα αὐτῶν ἀποκρίσεως; καὶ σοὶ πάρεστι τὸ ἀνάλογον ἐπερχομένῳ τὴν 5 ὅλην γραφὴν ὁρᾶν, τίς τε ἡ ἐξουσία τοῦ στῆναι τὸν ἥλιον κατὰ Γαβαὼν καὶ σελήνην κατὰ φάραγγα Ἐλώμ, καὶ πολὺ πρότερον τοῦ διοδευθῆναι τὸν Ἰορδάνην ποταμὸν καὶ τοῦ παύ- 10 σασθαι τὸ μάννα. καὶ ἐπὶ τῆς βίβλου δὲ τῶν Κριτῶν πολλὰ ἂν τοιαῦτα ζητηθείη καὶ εὑρεθείη, οἷον περὶ τὸν Γεδεὼν καὶ τὸν Σαμψών, παράδοξα, ἀλλὰ καὶ ἐκ τῶν Βασιλειῶν τὰ περὶ 15 τὸν Σαμουὴλ καὶ τὸν Ἠλίαν καὶ τὸν Ἐλισσαῖον καὶ τὸν Ἐζεκίαν. καὶ οὕτως ἐπελθὼν ἂν ὁ σωτὴρ καὶ τὸ κατὰ τὰς διαφόρους ἐξουσίας διελθὼν μυστήριον ἐδίδαξεν ἂν ἐν ποίᾳ ἐξου- 20 σίᾳ καὶ πῶς ὑπερεχούσῃ ἐποίει ἃ ἔβλεπεν ὁ λαὸς τεράστια, δοθείσῃ αὐτῷ οὐκ ἀπό τινος ἀγγέλου καὶ λειτουργοῦ θεοῦ οὐδὲ διά τινος τῶν ·ὑποδεεστέρων τοῦ θεοῦ, ἀλλ' ἀπ' 25 αὐτοῦ τοῦ πατρός. | 769

3. Ἐπεὶ δὲ οἱ ἐνταῦθα ἀρχιερεῖς καὶ πρεσβύτεροι τοῦ λαοῦ οὐδαμῶς ἄξιοι ἦσαν τοιούτων θεωρημάτων, διὰ τοῦτο αὐτοῖς οὐκ ἀπο- 30 κρίνεται ἀλλ' ἀντερωτᾷ, ἵνα διὰ τοῦ μὴ ἀποκρίνεσθαι ἐκείνους εἰς τὰ περὶ τοῦ Ἰωάννου καὶ αὐτὸς πείσῃ εὐλόγως τοὺς πυθομένους, ὅτι μὴ μάτην αὐτοῖς ἀπεκρίνατο

35 λέγων· **οὐδὲ ἐγὼ ὑμῖν λέγω ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.**

3. Quoniam autem illic *principes sacerdotum et populi seniores* non fuerant digni talia audire mysteria, propterea non eis dat responsum sed contra interrogat, ut propter hoc, quod non respondent ad interrogationem sibi propositam de Iohanne, rationabiliter nec ipse respondeat eis.

6f Vgl. Jos. 10, 12 — **7f** Vgl. Jos. 3, 14ff — **9f** Vgl. Jos. 5, 11 — **11ff** Vgl. Jud. 6 usw.; 13 usw. — **14ff** Vgl. I. Regn. 3 usw.; III. Regn. 18 usw.; IV. Regn. 2 usw.; 20

28 τοιούτων + *audire* lat. 31 τά] *interrogationem sibi propositam* lat.

26 illic Kl, vgl. gr. illi x 30 interrogat R G interrogavit B L

ζητῶ δὲ κατὰ τὸν τόπον, εἰ ἕκαστος τῶν πεποιηκότων ἔν τινι ἐξουσίᾳ παράδοξα ἐν μιᾷ ⟨ἀεὶ⟩ πεποίηκεν, ἢ τινὲς μὲν κατ' ἀρχὰς ἐν τῇδε προκό-
5 ψαντες δὲ ἔν τινι μείζονι. πλὴν ὁ σωτὴρ ἔοικεν ἐν μιᾷ ἐξουσίᾳ ταῦτα πεποιηκέναι, ᾗ ἔλαβεν ἀπὸ τοῦ πατρός· τὸ γὰρ οὐδὲ ἐγὼ ὑμῖν λέγω ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ δι-
10 δάσκοντος ἦν, ὅτι ἐν ἐξουσίᾳ ⟨μιᾷ⟩ μὲν πεποίηκεν· ἐν ποίᾳ δὲ οὐ παρέστησεν ἐκείνοις, οὐδὲ τὴν ἰδιότητα αὐτῆς ἀνέπτυξε καὶ

quaero autem si unusquisque eorum, qui signa fecerunt in aliqua *potestate*, utrum in una fecerunt semper, aut in primis ⟨quidam⟩ quidem in ista, proficientes autem in alia potestate maiore. tamen salvator videtur in una *potestate* universa fecisse, quam accepit a patre; nam hoc quod *respondit dicens*: *nec ego vobis dico in qua potestate facio haec*, docet quoniam in *potestate* quidem una fecit. *in quali* autem potestate non declaravit, nec proprietatem eius manifestavit

15

ὅσα ἂν ὡρίσατο περὶ αὐτῆς παριστὰς αὐτῆς
τὸ ἐξαίρετον παρὰ τὰς λοιπὰς ἐξουσίας, ἐν αἷς οἱ πρὸ αὐτοῦ προφῆται
20 πεποιήκεισαν. καὶ νῦν δ' ἐν τῷ ἱερῷ, τῇ ἐκκλησίᾳ, ἐστὶν ὁ Χριστὸς καὶ διδάσκει ἐν αὐτῷ καί τινες παραπλήσιοι ἐκείνοις τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις τοῦ λαοῦ πυν-
25 θάνονται μὲν αὐτοῦ, οὐ τυγχάνουσι δὲ τῆς ἀποκρίσεως, ἀνάξιοι τοῦ εἰδέναι περὶ ὧν βούλονται μαθεῖν. ζητήσει δέ τις, πότερον βουλόμενος αὐτοὺς ἀποσείσασθαι ἀποκληρωτικῶς
30 ἐπύθετο περὶ τοῦ Ἰωάννου ὡς εἰ καὶ περὶ ἄλλου τινὸς τοιούτου πυθόμενος ἦν, ἢ ἀναγκαίως

nec eminentiam, quam habebat illa potestas super alias potestates, in quibus ante eum prophetae fecerant virtutes. et nunc in templo ecclesiae Christus habetur et docet in eo, et sunt quidam *principes sacerdotum* similes principibus illis et seniores similes senioribus illis, et interrogant Iesum et non accipiunt responsum ab eo, quia non sunt digni scire quae cupiunt. item quaero, utrum volens eos Iesus a se removere, fortuito hanc eis interrogationem proposuit de *Iohanne*, tamquam si aliam quamcumque interrogationem propo-

3 ⟨ἀεὶ⟩ Diehl Koe, vgl. lat. 5 ἔν τινι] *in alia potestate* lat. 6 ἔοικε μιᾷ H | ταῦτα] *universa* lat. 10 ⟨μιᾷ⟩ Diehl Kl Koe, vgl. lat. 11 δὲ + *potestate* lat. 13 καὶ] οὐδ' Koe, vgl. lat. 20 πεποιήκεισαν + *virtutes* lat. 24/25 πυνθάνεται M 29 ἀποτίσασθαι M[a] w. e. sch.

4 ⟨quidam⟩ Diehl, vgl. gr. 6 maiori x 9 respondit y* respondet L 19 supra G 20/21 fecerant Kl, vgl. gr. fecerunt x 23 eo Koe, vgl. gr. ea x

περὶ τοῦ Ἰωάννου ἐπύθετο, ἵνα πρὸς τὴν περὶ αὐτοῦ ἀπόκρισιν τὰ ἀκόλουθα περὶ τῆς ἐξουσίας ἀπο-
5 *κρίνηται.*
ἐμοὶ δὴ φαίνεται μὴ ἀποκληρωτικῶς εἶναι τὸ κατὰ τὸν τόπον, ἀλλ' ἐπεὶ Ἰωάννης »φωνὴ βοῶντος« ἦν »ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυ-
10 *ρίου«.*

καὶ οὗτος ἦν περὶ οὗ ὁ προφήτης ἔλεγεν· »ἰδοὺ ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς
15 *κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου«, διὰ τοῦτο (οἶμαι) | πυνθάνεται περὶ αὐτοῦ, οὐκ ἀγνοῶν μὲν ὅτι ἐπισκοπήσαντες ἐροῦσιν· οὐκ οἴδαμεν, διὰ τὰ ἀναγεγραμμένα.*
20

καθ' ὑπόθεσιν δὲ εἰπὼν ἂν πρὸς τὸ ἐξ οὐρανοῦ τὴν ἀκόλουθον τῇ ἐξ
25 *οὐρανοῦ εἶναι τὸ βάπτισμα Ἰωάννου ἀποκρίσει ἐξουσίαν.*

30 4. *Τί δὲ ὑμῖν δοκεῖ; ἄν*

suisset, aut necessarie propter utilitatem eorum de *Iohanne* specialiter eos interrogavit.

et mihi videtur, quoniam non fortuito hoc eos interrogavit, sed quia Iohannes fuerat »vox clamantis in deserto: parate viam domini, rectas facite semitas eius«, et hic erat, de quo deus per prophetam dicebat: »ecce mitto angelum meum ante faciem tuam, qui praeparabit viam tuam ante te«. propter hoc (aestimo) inter- 770 rogavit de illo, non quidem ignorans quoniam cogitantes dicturi fuerant: *nescimus*, secundum quod scriptum est, sed quantum ad se significantes quasi ex hominibus esset.

ita quasi respondentibus illis quoniam *ex hominibus* erat, consequentem parabolam introducit.

4. *Quid autem vobis videtur:*

8 Matth. 3, 3 Parr. — 13 Marc. 1, 2

13 ἀποστέλλω H 19 διὰ] *secundum* lat. 30 vorher: *Περὶ τῶν δύο υἱῶν παραβολὴ τῶν εἰς τὸν ἀμπελῶνα ἀποστελλομένων παρὰ τοῦ πατρός* H *περὶ τῶν δύο τέκνων τῶν πε⟨μ⟩φθέντων εἰς τὸν ἀμπελῶνα ἐργάζεσθαι* M a. R. von später Hand | *ἄνθρωπος* + *quidam* lat.

9 viam Koe, vgl. gr. vias x 30 quid—videtur y* XVIIII secundum matħm. In illo tempore dixit Iesus discipulis suis parabolam hanc L

θρωπος εἶχε τέκνα δύο· προσ-
ελθὼν τῷ πρώτῳ εἶπε· τέκ-
νον, ὕπαγε σήμερον ἐργάζου
ἐν τῷ ἀμπελῶνί ⟨μου⟩
5 καὶ τὰ ἑξῆς

10

15

ἕως τοῦ
ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελή-
θητε ὕστερον τοῦ πιστεῦσαι
20 ἐν αὐτῷ. (Matth. 21, 28—32).
Μόνος ὁ Ματθαῖος ἀνέγραψε
τὴν παραβολὴν ταύτην, ὡς ἐμοὶ δο-
κεῖ περιέχουσαν τὸν περὶ τοῦ ἀπει-
θήσαντος Ἰσραὴλ τῷ θεῷ λόγον καὶ
25 τὸν περὶ τοῦ πιστεύσοντος λαοῦ ἀπὸ
τῶν ἐθνῶν· οὗτοι γὰρ τὰ δύο τέκνα,
ἃ εἶχεν ὁ »ὡς ἄνθρωπος τροποφορῶν
τὸν υἱὸν αὐτοῦ« θεός. καὶ οὗτος προσ-
ελθὼν τῷ πρώτῳ, ὃν »ἐκτή-
30 σατο« »ἀπ' ἀρχῆς«, ὃν »προέγνω καὶ

homo quidam habuit duos filios; et accedens ad primum dixit: fili, vade hodie operare in vineam meam,

ille autem respondens ait: nolo, postea paenitentia motus abiit. et accedens ad alterum dixit similiter. et ille respondens ait: eo, domine, et non abiit. quis ex duobus fecit voluntatem patris? dicunt ei: primus. dixit eis Iesus: amen dico vobis, quod publicani et meretrices praecedent vos in regno dei. venit autem ad vos Iohannes in via iustitiae, et non credidistis ei; publicani autem et meretrices crediderunt ei.
vos autem videntes nec paenitentiam egistis postea credere ei.

Solus Matthaeus hanc parabolam scribit, sicut mihi videtur continentem Israel non credentem verbis dei et de populo credituro ex gentibus; isti sunt enim filii duo quos habuit deus, quasi homo morem hominum gerens. hic ergo *accedens ad primum*, quem »adquisivit« »in primis«, quem »praecognovit et praefinivit«. *dixit*

22—589, 4 Vgl. C^c Nr. 54 Or. *II* 241, 3—8 — **27 f** Vgl. Deut. 1, 31 — **29/30** Vgl. Deut. 32, 6; Ps. 73, 2 — **30 f** Vgl. Röm. 8, 29

4 ⟨μου⟩ *v.* vgl. lat. u. S. 588, 3 18 19 μετεμελλήθητε M 25 πιστεύσοντος Koe, vgl. lat. πιστεύσαντος MH 29/30 ἐκτήσατο] προεκτίσθαι C^c Nr. 54 *II*

3 operare Koe operari x 5 ille —ei y(*) et reliqua. Omelia Origenis de eadem lectione L 14 autem] l. enim? Kl, 23 l. continentem ⟨verbum de⟩ Israel non credente? Kl, vgl. gr.

προώρισεν«. εἶπεν αὐτῷ· τέκνον. ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. καὶ ὑπερέθετο φεύγων τὸ χωρίον τοῦτο διὰ
5 τὸν ἐν αὐτῷ »καύσωνα« καὶ τοὺς καμάτους καὶ εἶπεν· οὐ θέλω· ἀλλ' ὕστερόν ποτε ἐπὶ συντελείᾳ μεταμεληθεὶς ἐπὶ τῷ εἰρηκέναι τῷ πατρί· οὐ θέλω ἦλθεν εἰς τὸν ἀμ-
10 πελῶνα καὶ εἰργάσατο τὸ θέλημα τοῦ πατρός. ἡνίκα μέντοι ὁ πρῶτος εἶπεν· οὐ θέλω, προσῆλθεν ὁ πατὴρ τῷ ἑτέρῳ καὶ εἶπεν ὡσαύτως. εἶτα ἀποκριθεὶς ὁ δεύτερος
15 εἶπε μέν· ἐγὼ κύριε, οὐκ ἐλήλυθε δὲ ἐπὶ τὸν ἀμπελῶνα τοῦ λόγου καὶ ἐπὶ τὸν ἀγρὸν τοῦ πατρός. καὶ φανερὸν ὅτι ὁ εἰπὼν οὐ θέλω καὶ ὕστερον μεταμεληθεὶς καὶ ἀπ-
20 ελθὼν καὶ ἐργασάμενος εἰς τὸν ἀμπελῶνα ἐποίησε τὸ θέλημα τοῦ πατρὸς ⟨οὐ τῷ λόγῳ, ἀλλὰ⟩ τῷ ἔργῳ· ὁ γὰρ τῷ λόγῳ ἐπαγγειλάμενος καὶ μὴ ποιήσας τοῖς ἔργοις ἠρνή-
25 σατο ποιεῖν τὸ θέλημα τοῦ πατρός. πρόσχες δὲ εἰ δύνασαι χρῆσθαι τῇ παραβολῇ καὶ πρὸς τοὺς ἐλάττονα μὲν ἢ μηδὲν ἐπαγγελλομένους. μήτε παρθενίαν μήτε ἄλλην
30 κατὰ τὸ εὐαγγέλιον ⟨πνευματικὴν⟩ πρᾶξιν, τοῖς δὲ ἔργοις παριστάντας τὰ ἐναντία, ἃ | μηδὲ τὴν ἀρχὴν ἐπηγγείλα⟨ν⟩το κατὰ φωνὰς λόγων

ad eum: *fili, vade hodie et operare in vineam meam.* et distulit fugiens hanc vineam propter aestum qui habetur in ea et labores, et *dixit*: *nolo, postea* circa consummationem *paenitens* quod dixerat patri suo: *nolo,* venit in vineam et operatus est *voluntatem patris.* quando autem primus respondit: *nolo,* accessit pater *ad alterum* et *similiter dixit.* ⟨ita⟩ secundus quidem *respondit*: *etiam, domine, non* autem venit ad vineam verbi et in agrum patris. et manifestum, quoniam qui dixit: *nolo, postea* autem *conpunctus* abiit et operatus est in vineam, *voluntatem patris inplevit* non verbis sed factis; qui autem verbis promisit non autem fecit operibus, negavit *voluntatem* facere *patris.* vide autem si potes uti parabola ista ad eos, qui modicum quidem aut nihil promittunt, neque virginitatem neque alium secundum evangelium spiritalem actum, operibus autem ostendunt quod nec ab initio usque ad verba promiserunt, 771

5 Vgl. Matth. 20, 12

17 τὸν] τῶν H[a] 22 ⟨οὐ τῷ λόγῳ, ἀλλὰ⟩ Koe, vgl. lat. 23 γὰρ] *autem* lat. 28 ἐπαγγελομένους M 30 ⟨πνικὴν⟩ Kl, vgl. lat. 32 ἃ Koe ὦ M H 33 ἐπηγγείλα⟨ν⟩το Hu, vgl. lat. | λόγων ⟨περὶ⟩ Koe

11 ⟨ita⟩ Kl, vgl. gr. 14 manifestum + est B L 17 vinea G L 28 adque ad verbis G ad verbum L

ἀγαθῶν πράξεων. ἔτι δὲ πρὸς τοὺς
μεγάλα μὲν ἐπαγγελλομένους μηδὲν
δὲ κατὰ τὴν ἐπαγγελίαν πράττοντας.
ὁ μὲν γάρ τις οἱονεὶ λέγει· μεῖζον
5 ἢ κατ' ἐμέ, παρθενίαν ταύτην οὐ
θέλω, καί· τῆς ἐμῆς ἀξίας βέλτιον
τὸ ἀποταξάμενον τῷ βίῳ σχολάζειν
τῷ λόγῳ·
ὁ δέ φησιν ἕκαστον ἀκούων τῶν ἐν
10 τῇ γραφῇ μεγάλων ἔργων· ἐγὼ
κύριε. καὶ ἔστιν ἰδεῖν οἱονεὶ ἐκ με-
ταμελείας τινὰς
ἐπιδιδόντας εἰς τὸ βέλτιον καὶ ἐπι-
μελουμένους ἑαυτῶν ἐπὶ τὸ κρεῖττον
15 παρὰ τὴν ἀρχῆθεν προσδοκίαν, ἄλ-
λους δὲ προπετέστερον μὲν πολλὰ
ἐπαγγειλαμένους τοῖς δὲ ἔργοις ἀντι-
πράξαντας ταῖς ἐπαγγελίαις.
5. Μετὰ δὲ τὴν παραβολὴν ἐπι-
20 φέρεται πρὸς μὲν τὸν εἰπόντα οὐ
θέλω καὶ ὕστερον μεταμεληθέντα
καὶ ἀπελθόντα τὸ ἀμὴν λέγω
ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ
πόρναι προάγουσιν ὑμᾶς εἰς
25 τὴν βασιλείαν τοῦ θεοῦ, πρὸς
δὲ τὸν εἰπόντα ἐγὼ κύριε καὶ μὴ
ἀπελθόντα τὸ ἦλθε γὰρ Ἰωάν-
νης πρὸς ὑμᾶς ἐν ὁδῷ δικαιο-
σύνης, καὶ οὐκ ἐπιστεύσατε
30 αὐτῷ. καὶ πάλιν πρὸς μὲν τὸν
πρότερον· οἱ δὲ τελῶναι καὶ αἱ
πόρναι ἐπίστευσαν αὐτῷ, πρὸς
δὲ τὸν εἰπόντα· ἐγὼ κύριε καὶ
μὴ ἀπελθόντα καὶ τὸ ὑμεῖς δὲ

econtra ⟨ad⟩ eos qui magna promittunt, nihil autem secundum promissionem suam huiusmodi agunt. dicit enim aliquis: virginitas super me est, propter quod nolo eam, et: maius est quam virtus mea abrenuntiare hanc vitam et vacare spiritalibus verbis:

et *postea* recogitans ad meliora se tradit
quam profiteri videbatur in primis. alii autem audacter multa promittunt, operibus autem contraria suis promissionibus agunt.

5. Post parabolam autem dicit de eo, qui dixit: *nolo, postea* autem recogitavit et sic abiit: *amen dico vobis quoniam publicani et meretrices praecedent vos in regno dei.* ad eum autem, qui dixit: *vado domine* et non abiit, hoc refert: *venit Iohannes ad vos in via iustitiae, et non credidistis ei.* iterum de primo quidem: *publicani autem et meretrices crediderunt ei*, ad eum autem qui dixit: *eo domine* et non abiit: *vos autem videntes nec paenitentiam egistis* ⟨*postea*⟩ *ut crederetis ei.*

3 δὲ + *huiusmodi* lat. 12 τινὰς ⟨ὕστερον⟩ Koe, vgl. lat. 28 ἡμᾶς M | ἐν ὁδῷ δικαιοσύνης < H 30–34 καὶ πάλιν—ἀπελθόντα < H 34 ἀπελθόντα + ἦλθε γὰρ Ἰωάννης πρὸς ἡμᾶς καὶ οὐκ ἐπιστεύσατε αὐτῷ (vgl. Z. 27) M

1 ⟨ad⟩ Kl, vgl. gr. 4 dicet L 16 audaciter y 23 praecedunt L 31 eo] vado L | domine < y 33 ⟨postea⟩ Kl, vgl. gr. u. S. 587, 19 lat.

ἰδόντες οὐ μετεμελήθητε ὕστε-
ρον τοῦ πιστεῦσαι ἐν αὐτῷ.
ἐπιστήσας δέ τις τοῖς ἀπὸ μοχθη-
ροτάτου βίου προσερχομένοις τῷ
5 λόγῳ καὶ πιστεύουσι τῷ Χριστῷ
καὶ τοῖς αὐχοῦσι τὸν νόμον καὶ τοὺς
προφήτας καὶ ἀπιστοῦσι τῷ υἱῷ
τοῦ θεοῦ καὶ ἀκολάστως βιοῦσι καὶ
ὠμοτέροις πρὸς τοὺς ὁμοφύλους
10 τυγχάνουσιν. ὄψεται τὸν Ἰησοῦ λό-
γον ἀληθῆ. ὅτι οἱ μὲν τελῶναι
καὶ αἱ πόρναι προάγουσι τὸν
Ἰσραὴλ εἰς τὴν βασιλείαν τοῦ
θεοῦ. ὁ δὲ ἰδὼν τὸν Ἰησοῦν ἐκεῖνος
15 Ἰσραὴλ οὐδὲ μέχρι δεῦρο μεταμε-
λεῖται. ἵνα κἂν ὕστερον πιστεύσῃ
τῇ ἀληθείᾳ.
πρόσχες δὲ καὶ τῷ προάγουσιν
ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ
20 θεοῦ, οὐκ ἀποκλείοντι τὸν Ἰσραὴλ
εἰσέρχεσθαί ⟨ποτε⟩ εἰς τὴν βα-
σιλείαν τοῦ θεοῦ· οὐδεὶς γὰρ
προάγει τὸν οὐδαμῶς ἐσόμενον ἐν
ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ προῆξεν. ὅρα
25 οὖν μήποτε ἐμφαίνεται ὅτι, ὅταν »τὸ
πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ«, τότε
»πᾶς Ἰσραὴλ σωθήσεται«. νοείσθω
δὲ ὁ Ἰσραὴλ οὐχ ὁ »κατὰ σάρκα«, |
ἀλλ' ὁ ἐν τῇ εὐγενείᾳ τῆς ψυχῆς
30 χαρακτηριζόμενος καὶ ἔχων μὲν
τὸ εὐφυὲς πρὸς σύνεσιν καὶ τὸ διο-
ρατικόν, οὐ μὴν ἀξίως τῆς εὐφυΐας
ἀνατραφεὶς ἐν πίστει καὶ βίῳ ἀγαθῷ.

considera et illud quod ait: *praecedent vos in regno dei*, quoniam non exclusit Iudaeos, ut non ingrediantur aliquando *in regnum dei*; nemo enim dicitur praecedere eum in aliquo loco, qui non sequitur eum per ipsum locum ***. vide ergo, ne forte hoc indicet sermo, ut »cum plenitudo gentium intraverit«, tunc »omnis Israel salvus efficiatur«. intellege autem 772 mihi Israelitas, qui non »secundum carnem« sunt, sed qui ingenuitate animae Israel intelleguntur

in fide et operibus bonis.

18—27 Vgl. *Π* 241, 12—15 — 25f Röm. 11, 25f — 28f Vgl. Röm. 2, 28

20—22 οὐκ — θεοῦ H[c] i. m. 21 ⟨ποτε⟩ Kl Koe, vgl. lat. 23 προάγει⟨ν λέγεται⟩ Koe, vgl. lat. 25 ἐμφαίνεται] *hoc indicet sermo* lat.

19 praecedunt L 23 sequitur] lat. las ἑπόμενον Diehl 24 *** Kl nach Diehl ⟨quo praecessit⟩, vgl. gr.

6. Ἄλλην παραβολὴν ἀκούσατε. ἄνθρωπος ἦν οἰκοδεσπότης ὃς ἐφύτευσεν ἀμπελῶνα,
5 καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ τὰ ἑξῆς ἕως τοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. (Matth. 21, 33—43).
10 Τῷ μὴ ἐπὶ πλεῖον βασανίζοντι τὰ τῆς παραβολῆς μηδὲ ἑκάστην λέξιν ἐξετάζοντι πάνυ σαφὴς εἶναι δόξει οὕτως ἂν διηγήσεως τυχοῦσα. ὁ πρὸ ἡμῶν λαὸς καὶ »μερὶς« ὢν τοῦ
15 θεοῦ ὁ φυτευθεὶς ἦν ἀμπελὼν ὑπὸ τοῦ κατὰ τὴν παραβολὴν οἰκοδεσπότου, καὶ ἡ τοῦ θεοῦ φρουρὰ περὶ αὐτὸν ὁ φραγμὸς ἦν καὶ πύργος μὲν ὁ ναὸς ληνὸς δὲ ὁ τόπος τῶν σπον-
20 δῶν, καὶ γεωργοὶ οἱ πρεσβύτεροι καὶ σοφοὶ τοῦ λαοῦ, ἀποδημία δὲ τοῦ δεσπότου ὅτε κύριος ὁ συνὼν αὐτοῖς ἐν νεφέλῃ »ἡμέρας« καὶ »στύλῳ ⟨πυρὸς«⟩ νυκτός, ἕως αὐτοὺς κατα-
25 φυτεύσῃ εἰσαγαγὼν »εἰς ὄρος ἅγιον« αὐτοῦ »καὶ εἰς τὰ σκηνώματα αὐτοῦ«, οὐκέτι οὕτως αὐτοῖς ἐπεφαίνετο. ὁ δὲ ἐγγίσας καιρὸς τῶν καρπῶν ὁ χρόνος ἦν τῶν προφητῶν ἀπαι-

6. *Aliam parabolam audite. homo erat paterfamilias, qui plantavit vineam* ,

et cetera.

Qui non abundantius discutiunt parabolam hanc neque singula verba scrutantur, satis manifesta vide⟨bi⟩tur, si hoc modo intellegatur. populus qui fuit ante nos, cum esset pars dei, qui plantatus est a deo, vinea fuit dei, custodia autem dei quae extitit circa eam fuit saepes ipsius, turris autem templum. torcular autem locus libationum, coloni autem sacerdotes et sapientes populi. peregrinatio vero domini, quando dominus, qui fuerat cum illis in nube diei et in columna ignis per noctem, donec plantaret eos introducens »in montem sanctum« suum et »in tabernacula sua«, nequaquam postea similiter apparuit eis. *tempus* autem adpropians *fructuum*

14 Vgl. Deut. 32, 9 — 14—609, 17 Vgl. C[1] Nr. 234 Or. Π 242, 3—245, 3 — 23f Vgl. Ex. 13, 21 — 25f Vgl. Ps. 42, 3

1 vorher: *Περὶ τοῦ φυτευθέντος ἀμπελῶνος καὶ ἐκδοθέντος γεωργοῖς* H *περὶ τῆς παραβολῆς τοῦ ἀμπελῶνος* M a. R. von später Hand 10 *ἐπὶ πλέον* M 24 ⟨*πυρὸς*⟩ Kl mit C[1] Nr. 234 Π 24/25 *καταφυτεύσῃ* Kl *καταφυτεύσει* M H 27 *οὐκέτι* ⟨*ὕστερον*⟩ Koe, vgl. lat.

1 aliam—audite y* XX secundum mathm. In illo tempore dixit iesus discipulis suis parabolam hanc L 7 et cetera B (G eras.) et reliqua. Omelia Origenis de eadem lectione L 13 vide⟨bi⟩tur Kl, vgl. gr. videtur x* 16 a deo < G 27 nequaquam x* nequando ϱ 29 fructus y* < L

τούτων τὸν καρπὸν ἀπὸ τῶν γεωρ-
γῶν καὶ τοῦ ἀμπελῶνος. ἵνα ἤδη
δείξωσι παρειληφότες τὸν νόμον
τὸ βεβιωκέναι κατ' αὐτόν. δοῦλοι
5 δὲ οἱ πρὸς τοὺς γεωργοὺς πεμ-
φθέντες λαβεῖν τοὺς καρποὺς
οἱ πρῶτοι προφῆται, οὓς οἱ ἄρχον-
τες καὶ σοφοὶ τοῦ λαοῦ ὕβρισαν
τύπτοντες, τινὰς δὲ καὶ ἀνεῖλον καὶ
10 ἄλλους λιθολεύστους πεποιήκασιν.
ἄλλοι δὲ μετὰ τούτους δοῦλοι πλείο-
νες τῶν πρώτων ὁ καιρὸς τῶν
πολλῶν προφητῶν, ὧν τὰ ὀνό-
ματα ἐν τῇ δευτέρᾳ τῶν Παραλει-
15 πομένων γέγραπται καὶ ἐν τῷ
Ἱερεμίᾳ καὶ τοῖς Δώδεκα καὶ τῷ
Δανιήλ· εἴποι γὰρ ἄν τις καὶ τὸν
Ἀνανίαν, Ἀζαρίαν, Μισαὴλ προ-
φήτας γεγονέναι.
20
καὶ τούτοις οὖν τοῖς | πλείοσι παρὰ
τοὺς προτέρους προφήτας ὡσαύ-
τως ἐχρήσαντο, τύπτοντες καὶ ἀναι-
ροῦντες καὶ λιθοβολοῦντες. τελευ-
25 ταῖον δὲ τὸν υἱὸν αὐτοῦ ἀποστέλ-
λει ὁ οἰκοδεσπότης,
τὸν κύριον ἡμῶν
Ἰησοῦν Χριστόν,
ἐντρέψαι δυνάμενον
30 τὸν ἀμπελῶνα καὶ τοὺς γεωργούς.
ἀλλ' οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτε-
ροι καὶ οἱ σοφοὶ τοῦ λαοῦ τὸν υἱὸν
ἰδόντες, οὐ πάντη ἀναίσθητοι τῆς
ἑαυτῶν γενόμενοι ὑπεροχῆς, κληρο-

petendorum tempus extitit pro-
phetarum exigentium fructus a
colonis et a vinea ipsa, ut osten-
dant qui acceperunt legem si se-
cundum eam vixerunt. servi au-
tem missi ad colonos *ad fructus
accipiendos* prophetae qui prius
fuerunt, quos principes et sapien-
tes populi iniuriaverunt caedentes,
quosdam autem et occidentes et
lapidantes. alii autem servi plures
post eos tempus prophetarum
multorum, quorum nomina in se-
cundo Paralipomenon sunt con-
scripta, et in Hieremia et in Duo-
decim et in Daniel; dicet autem
aliquis et Ananiam et Azariam
et Misael prophetas fuisse

temporis eius.
et his ergo plurimis *similiter* sunt 773
abusi caedentes et occidentes et
lapidantes. novissime autem mit-
tit paterfamilias *filium suum*

Iesum Christum,
qui poterat reverentiam
eis incutere.
sed principes sacerdotum et senio-
res populi et prudentes *videntes
filium*, non omnino insensati ex-
sistentes eminentiae suae, here-

18 Vgl. Dan. 1, 6 usw.

2 l. ⟨αὐτοῦ⟩ τοῦ ἀμπελῶνος? Kl, vgl. lat. 3 δείξωσι⟨ν οἱ⟩ Koe 4 τὸ Hu, vgl. lat. τῷ MH 25 ἑαυτοῦ H

10 autem x* < μ 12 tempus x* tempore μ 16 autem] l. enim? Kl, vgl. gr.

νόμον εἶναι αὐτὸν ὑπειλήφασι. τολ-
μῶσι δὲ καὶ ἀποκτεῖναι αὐτόν, ἵνα
αὐτοὶ κύριοι τοῦ ἀμπελῶνος γένων-
ται, καὶ ἐκβαλόντες αὐτὸν καὶ ἔξω
5 κρίναντες τῶν τοῦ Ἰσραὴλ πραγ-
μάτων ἀπέκτειναν. καὶ εὐθέως
ὁ τοῦ ἀμπελῶνος κύριος ὃν
ἀπέκτειναν ἐπιδημεῖ ἀναστὰς ἐκ
νεκρῶν, καὶ κακοὺς κακῶς τοὺς
10 μὲν γεωργοὺς ἀπόλλυσιν, ἄλλοις
δὲ γεωργοῖς τοῖς ἀποστόλοις ἑαυ-
τοῦ παραδίδωσι τοὺς ἀπὸ τοῦ λαοῦ
πιστεύσαντας, τουτέστι τὸν ἀμ-
πελῶνα, οἳ ἀποδιδόασιν ἐν τοῖς
15 ἰδίοις καιροῖς τοὺς καρποὺς τῷ
οἰκοδεσπότῃ. εἶτα

dem eum esse intellexerunt. ausi sunt autem interficere eum, ut ipsi efficerentur domini super vineam illam, et eicientes eum, ⟨et⟩ *extra* res Israelitarum foris eum iudicantes esse, *interfecerunt. dominus* autem ⟨*vineae*⟩ qui statim rediit quem *occiderunt*, venit resurgens a mortuis et *malos* quidem colonos *male* perdidit, *aliis* autem *colonis*, id est apostolis ⟨suis⟩, *vineam* suam consignavit, id est eos qui ex Iudaico populo reliqui crediderunt, qui darent *in tempore* suo *fructus* domino suo.
item

εἰπόντων μετὰ τὴν παραβολὴν τῶν
ἐν τοῖς ἀνωτέρω πυθομένων τὸ
»ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;« τὰ
20 ἀπὸ τοῦ κακοὺς κακῶς ἀπολέ-
σει αὐτοὺς ὁ σωτὴρ ἀποκρίνεται,
διδάσκων αὐτοὺς ἀπὸ τῆς προφη-
τείας ὅτι ὑπ᾽ ἐκείνων μὲν ⟨τῶν
οἰκοδόμων⟩ ἀπεδοκιμάσθη, παρὰ
25 δὲ τῷ θεῷ ἐστιν ἔντιμος καὶ κε-
φαλὴ τῆς ὅλης οἰκοδομῆς

docet eos ex prophetia, quoniam ab istis quidem aedificatoribus reprobatus est, a deo autem est electus et *caput* totius aedificationis

καὶ τῆς κατ᾽ αὐτὴν συνοχῆς,
καὶ κεφαλή γε θαυμαστὴ ἐν ὀ-
φθαλμοῖς τῶν εἰδότων βλέπειν αὐ-
30 τήν. εἶτα, προφητεύων περὶ τῆς
ἀπὸ τῶν ἐθνῶν κλήσεως, φησὶ τοῖς
μὴ πιστεύουσιν εἰς αὐτὸν διδασκά-
λοις Ἰουδαίων· ἀρθήσεται ἀφ᾽
ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ

et *caput mirabile* factus *in oculis* eorum, qui possunt eum videre. ita prophetans gentium fidem dicit non credentibus sibi doctoribus Iudaeorum: *tolletur a vobis regnum dei et dabitur genti facienti fructus eius.*

19 Matth. 21, 23 — 22ff Vgl. Ps. 117, 22. 23

9 κακῶς κακοὺς M[a] 12 λαοῦ + ⟨λοιποὺς⟩ Kl Koe, vgl. lat. 20 τοῦ < M 23/24 ⟨τῶν οἰκοδόμων⟩ Kl Koe, vgl. lat. 30 περὶ < M

4 ⟨et⟩ Kl, vgl. gr. 7 ⟨vineae⟩ Diehl Koe, vgl. gr. 11 ⟨suis⟩ Diehl, vgl. gr. 16 l. ita ? Kl, vgl. gr. 24 est[2] < L 34 eius R B suos G L

καὶ δοθήσεται ἔθνει ποιοῦντι
τοὺς καρποὺς αὐτῆς.
'Αλλ', ὡς προείπαμεν, ὁλοσχε-
ρεστέρα τις καὶ οὐ κατὰ λέξιν ἐστὶν
5 ἡ τοιαύτη διήγησις·

***

πρὸς ἣν πολλά τις ἂν »πνευματικὸς«
ὢν καὶ ἀνακρίνειν δυνάμενος »πάντα«
ἐπαπορῆσαι, κρούων τὴν ἀσάφεια⟨ν
αὐτῆς, τουτέστι τὴν⟩ κεκλεισμένην
10 θύραν
τῶν ἐνταῦθα κεκρυμμένων νοημά-
των,
καὶ ὀρθῶς ζητήσας εὕροι
καὶ αἰτήσας ἀπὸ τοῦ θεοῦ λάβοι.

ad quam multa quis »spiritalis« constitutus et ad discutienda »omnia« paratus poterit dicere, pulsans obscuritatem eius, id est ostium clusum,

et quaerens inveniet.

15 καὶ ἡμεῖς δὲ κατὰ τὸ μέτριον ἡμῶν
τοιαῦτα εἰς τὸν τόπον φανταζόμεθα
ὅτι ὁ μὲν οἰκοδεσπότης ἄν-
θρωπος ὁ θεός ἐστι, περὶ οὗ γέ-
γραπται· »ἐτροποφό|ρησέ σε κύριος
20 ὁ θεός σου ὡς εἴ τις τροποφορήσαι
ἄνθρωπος τὸν υἱὸν αὐτοῦ«. οὕτως
γάρ, διὰ τὸ τροποφορεῖν καὶ φέρειν
ἐν τῷ ἀνθρώπους ὠφελεῖν τρόπον
ἀνθρώπινον τὸν ὠφελοῦντα ἀνθρώ-
25 πους, ἔν τισι παραβολαῖς λέγεται
εἶναι ἄνθρωπος.

30

et nos secundum mediocritatem nostram talia suspicamur in loco, quoniam *paterfamilias homo* deus est, de quo scriptum est: »morigeratus est te dominus deus tuus, 774 quemadmodum si homo morigeraretur filium suum«. sic enim eo, quod morigeratur homines, ut hominum prodificet mores, in quibusdam parabolis dicitur *homo*, quemadmodum si pater cum parvulo filio suo conloquatur infantilia, ut descendat ad verba filii sui et morigeretur eum. propterea (puto) omnes iustitiae, quas tradidit deus hominibus, quasi pueriles sunt quantum ad proprias iustitias dei.

καὶ ἐνταῦθα μὲν ἄνθρωπος οἰκο-
δεσπότης καλεῖται διὰ τὸν ἀμ-
35 πελῶνα καὶ τὸν περικείμενον τῷ

6f Vgl. I. Kor. 2, 15 — 8ff Vgl. Matth. 7, 7 — 19 Deut. 1, 31

7 ὢν < H 8 ἀσάφεια⟨ν αὐτῆς —τὴν⟩ Kl Koe, vgl. lat. 21 οὕτως Kl, vgl. lat. οὗτος M H

5 *** Kl Koe, vgl. gr. 22f lat. kürzt 26/27 infantilia Koe infantia G L infantiam B

ἀμπελῶνι φραγμὸν καὶ τὴν ληνὸν
ἣν ὤρυξε καὶ τὸν πύργον ὃν
ᾠκοδόμησε καὶ οὓς κέκτηται δού-
λους καὶ οὓς πέμπει πρὸς τοὺς
5 γεωργοὺς καὶ δεύτερον ἀποστέλλει
πλείονας. ὡς οἰκοδεσπότης δὲ
ἐξέδοτο γεωργοῖς τὸν ἀμπε-
λῶνα, ἀφ' ὧν ἀφελὼν αὐτὸν δίδω-
σιν ἑτέροις. ἔτι δὲ πάλιν ἐν τοῖς
10 ἀνωτέρω ἄνθρωπος οἰκοδεσ-
πότης εἴρηται διὰ τούτων· »ὁμοία
γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν
ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλ-
θεν ἅμα πρωῒ μισθώσασθαι ἐρ-
15 γάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ«·
καὶ ὡς οἰκοδεσπότης γε ἀμπελῶνα
ἔχει καὶ μισθοῦται γεωργούς, ἔστι
δὲ αὐτῷ καὶ ἐπίτροπος ᾧ λέγει·
»κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος
20 τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν
ἐσχάτων ἕως τῶν πρώτων«. ἐν δὲ
τῇ περὶ τοῦ δείπνου παραβολῇ καὶ
τῶν γάμων τοῦ υἱοῦ αὐτοῦ καὶ τῆς
κλήσεως οὐκ οἰκοδεσπότης ἀλλὰ
25 βασιλεὺς εἴρηται· μείζων γὰρ ἢ
οἰκοδεσπότης ἐστὶ πέμπων στράτευ-
μα ὡς βασιλεὺς καὶ ἀναιρῶν τοὺς
κρατήσαντας »τοὺς δούλους αὐτοῦ«
καὶ ὑβρίσαντας καὶ ἀποκτείναντας
30 αὐτούς, καὶ ἐν βασιλικῇ ἐξουσίᾳ,
οὐχ ὡς οἰκοδεσπότης μόνον, »εἶπε
τοῖς διακόνοις« δῆσαι »πόδας καὶ
χεῖρας« τοῦ εἰσελθόντος εἰς τοὺς

11 Matth. 20, 1 — **19** Matth. 20, 8 — **21** ff Vgl. Matth. 22, 2 — **26** ff Vgl. Matth. 22, 7. 6 — **30** ff Vgl. Matth. 22, 11—13

5 καὶ <οὓς> Koe 22 l. τοῦ <μεγάλου>? Kl, vgl. Luc. 14, 16
24 ff ἀλλὰ—οἰκοδεσπότης < H

γάμους μὴ ἔχοντος »ἔνδυμα γάμου« καὶ ἐκβαλεῖν »αὐτὸν εἰς τὸ ἐξώτερον σκότος«. ὅτε δὲ ἐν τοῖς ἀνωτέρω λέγεται· »ἄνθρωπος εἶχε τέκνα δύο«,
5 οὔτε οἰκοδεσπότης οὔτε βασιλεὺς ὠνόμασται ἀλλ' ἁπλῶς ἄνθρωπος.

Εἰσὶν οὖν, ὥσπερ πολλαὶ ἐπίνοιαι τοῦ θεοῦ κατὰ τὰς θείας γραφάς, οὕτω καὶ διαφοραὶ τοῦ
10 ἄνθρωπον αὐτὸν ὀνομάζεσθαι, ἤτοι ἁπλῶς ἢ οἰκοδεσπότην ἢ βασιλέα. καὶ ταῦτα μὲν κατὰ τὸν Ματθαῖον· κατὰ δὲ τὸν Λουκᾶν ἡ ὁμοία τῇ ἐκκειμένῃ παραβολῇ ἄνθρωπον αὐτὸν
15 ὠνόμασεν ἐν τῷ· »ἄνθρωπος ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς«. ἀλλὰ καὶ Μᾶρκός φησιν· »ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ περιέθηκεν αὐτῷ φραγμόν«.
20 πάλιν τε αὖ ὁ Λουκᾶς τὴν τῆς κλήσεως ἐκτιθέμενος παραβολὴν »ἄνθρωπός τις«, φησίν, »ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς«. καὶ σὺ δὲ συναγαγὼν εἴ που ὠνό|μασται 775
25 ἄνθρωπος ὁ θεὸς καὶ »πνευματικὰ πνευματικοῖς« ἐν τῷ περὶ τούτου συγκρίνων λόγῳ καὶ ζητήσας ὀρθῶς τὰ κατὰ τοὺς τόπους, εὕροις ἂν ἀνάλογον τῇ ζητήσει σου πλείονα
30 εἰς τὸ ἄνθρωπον λέγεσθαι τὸν θεόν. οὗτος δὴ ἐφύτευσεν ὁ οἰκοδεσπότης ἄνθρωπος ἀμπελῶνα, ὅντινα ἐπιμελέστερον ζητητέον, μὴ ἀβασανίστως παρερχόμενον
35 τὴν τοσαύτην παραβολήν.

4 Matth. 21, 28 — 15 Luc. 20, 9 — 18 Marc. 12, 1 — 21, 22 Luc. 14, 16 — 25f Vgl. I. Kor. 2, 13

20 τὴν < H[a] 31 ὁ] l. ὡς? Koe

7. *Τίς οὖν ὁ ἀμπελὼν ἕτερος
ὢν παρὰ τοὺς γεωργοὺς τοὺς πρώ-
τους καὶ τοὺς δευτέρους, ὃν ἐφύ-
τευσεν ὁ οἰκοδεσπότης ἄν-
5 θρωπος; ὁ δὲ ἀμπελὼν οὗτος πρό-
τερον μὲν ἐκδιδόμενός ἐστι γεωρ-
γοῖς ὑβρισταῖς, δεύτερον δὲ
κατὰ τοὺς ἀποκριναμένους περὶ τοῦ
ἀμπελῶνος ἐκδιδόμενος
10 ἄλλοις γεωργοῖς, οἵτινες δώ-
σουσι τοὺς καρποὺς αὐτοῦ ἐν
τοῖς καιροῖς αὐτῶν, κατὰ δὴ
τὸν σωτῆρα λέγοντα· ἀρθήσεται
ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ,
15 καὶ δοθήσεται ἔθνει ποιοῦντι
τοὺς καρποὺς αὐτῆς. ἆρα γὰρ
δεήσει ταὐτὸν εἰπεῖν εἶναι τὴν βασι-
λείαν τοῦ θεοῦ τῷ ἀμπελῶνι, αἰρο-
μένην ἀπὸ τῶν προτέρων ⟨γεωρ-
20 γῶν⟩ διδομένην δὲ ἔθνει
ποιοῦντι τοὺς καρποὺς αὐτῆς,
ἢ ἄλλο μὲν εἶναι τὸν ἀμπελῶνα
ἄλλο δὲ τὴν βασιλείαν τοῦ θεοῦ;
ἴδωμεν δὲ πρῶτον, παραστήσαντες
25 ἀπὸ τῆς γραφῆς ὅτι ἀμπελὼν καλεῖ-
ται ὁ λαός, εἰ δύναται ἐφαρμόσαι
πάντα τὰ κατὰ τὸν τόπον τῇ τοιαύτῃ
διηγήσει. φησὶν οὖν Ἡσαΐας· »ᾄσω
δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγα-
30 πητοῦ τῷ ἀμπελῶνί μου. ἀμπελὼν
ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι
ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέ-
θηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα
ἄμπελον σωρήκ«*

28 Jes. 5, 1f

11 *αὐτοῦ*] *αὐτῶν* M **12** *δὴ* Koe, vgl. lat. *δὲ* M H **14** *ἡμῶν* M[a] w. e. sch. H **18** *τῷ* < H[a] **19. 20** *⟨γεωργῶν⟩* Koe, vgl. lat. u. S. 600, 25 **28** *φησὶ* H

7. Quae est ergo vinea alia praeter colonos priores et secundos, quam *plantavit paterfamilias*? quae ista vinea primum quidem tradita est iniuriosis colonis, postea autem

aliis colonis facientibus *fructum eius in tempore suo*, secundum quod dominus ait: *auferetur a vobis regnum dei et dabitur genti facienti fructum eius*. putas ergo: id ipsum debemus dicere regnum dei et vineam, quae tollitur a colonis prioribus et datur alteri *genti*,

aut aliud quidem debemus aestimare *vineam*, aliud autem regnum dei? videamus ergo primum probantes de scripturis, quoniam vinea appellatur populus, si omnia ⟨loci⟩ eius secundum huiusmodi expositionem valeant convenire. dicit enim Esaias: »cantabo nunc dilecto canticum dilecti vineae meae. vinea facta est dilecto in cornu in loco uberi. et saepe circumdedi et charicavi eam, et plantavi vineam sorec,

16 tollitur Diehl, vgl. gr. colitur x **24** ergo] lat. las *δὴ* st. *δὲ* **27** loci⟩ Diehl, vgl. gr. **30** dilecti Kl, vgl. gr. dilectae x **33** charicavi *μ* cariciavi x

καὶ τὰ ἑξῆς

5

ἕως τοῦ
»ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν«.

10 Ἐξεθέμην δὴ τὸ ἀπὸ τοῦ Ἡσαΐου ᾆσμα βουλόμενος αὐτὸ συνεξετάσαι ⟨ταύτῃ⟩ τῇ παραβολῇ, εἰ κατὰ τοῦ αὐτοῦ κεῖται ὁ ἀμπελὼν σημαινομένου ἐν ἑκατέρᾳ τῇ γραφῇ. 15 καὶ ὅρα, τίνα μὲν ὅμοια ἔχουσιν αἱ ἐκτεθεῖσαι λέξεις τίνα δὲ οὐχ ὅμοια, ἵνα βλέπων τὰς διαφορὰς τῶν ὁμοίων πρὸς τὰ ἀνόμοια οὕτως ἐπιστήσῃς τῷ νῷ τῆς γραφῆς. ὅμοιον οὖν | 20 τὸ ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον
τῷ »ἀμπελὼν ἐγενήθη τῷ ἠγαπη- 25 μένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα. καὶ ἐφύτευσα ἄμπελον σωρήκ. καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ. καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ«. 30 παράθες γὰρ τῷ ἐφύτευσεν ἀμπελῶνα τὸ »ἐφύτευσα ἄμπελον σωρήκ«, καὶ τῷ φραγμὸν αὐτῷ περιέθηκε τὸ »φραγμὸν περιέθηκα«, καὶ τῷ ὤρυξεν ἐν αὐτῷ ληνὸν 35 τὸ »καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ«, καὶ τῷ ᾠκοδόμησε πύργον τὸ

et aedificavi turrim in medio eius, et torcular fodi in ea; et expectavi ut faceret uvam, fecit autem spinas«. et post aliqua sic: »vinea enim domini Sabaoth domus Israel est, et homo Iuda novellum dilectum«.

Protuli itaque canticum Esaiae, volens eum considerare secundum parabolam hanc, si secundum illam vineam et haec vinea intellegi possit. et vide, quoniam quaedam quidem similia habent ***, alia autem dissimilia, ut videns differentias similium ad dissimilia, discas sensum scripturae. simile est ergo quod ait: 776 *plantavit vineam, et saepe circumdedit eam et fodit in ea torcular et aedificavit turrem.*

4. 8 Jes. 5, 7 — 24 Jes. 5, 1—2 — 31ff Jes. 5, 2

12 ⟨ταύτῃ⟩ Diehl Kl Koe, vgl. lat. 14 ἐν < M 15f lat. las ὅρα ⟨ὅτι⟩ τινὰ μὲν . . . τινὰ δὲ

2 eam Gᵃ B 11 eum < μ 16 dissimilia R G similia B L | *** Diehl, vgl. gr. 18 ⟨sic⟩ discas Diehl, vgl. gr.

*»καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ
αὐτοῦ«.*
*Κατ' ἀμφοτέρους δὲ τοὺς τό-
πους ⟨ἀνόμοιον⟩
5 περὶ τῶν καρπῶν λέγεται τοῦ ἀμ-
πελῶνος,
παρὰ μὲν τῷ Ἡσαΐᾳ*

*10 ὅτι »ἔμεινα τοῦ ποιῆσαι σταφυ-
λήν, καὶ ἐποίησεν ἀκάνθας«, ἐν δὲ
τῇ τοῦ εὐαγγελίου παραβολῇ σα-
φῶς οὐχ ὁ ἀμπελὼν κατηγορεῖται
ὡς μὴ δεδωκὼς τοὺς καρποὺς
15 ἐγγίσαντος τοῦ καιροῦ αὐτῶν, ἀλλ'
οἱ γεωργοί, οἳ καὶ λαβόντες
τοὺς τοῦ οἰκοδεσπότου δούλους
ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέ-
κτειναν, ὃν δὲ ἐλιθοβόλησαν.
20 καὶ ἡνίκα ἀπέστειλεν ἄλλους
δούλους πλείονας τῶν πρώ-
των, πάλιν οἱ γεωργοὶ κατηγο-
ροῦνται ποιήσαντες αὐτοῖς ὡσαύ-
τως.
25 καὶ τρίτον δὲ οἱ γεωργοὶ κατη-
γοροῦνται εἰπόντες· οὗτός ἐστιν
ὁ κληρονόμος· δεῦτε ἀπο-
κτείνωμεν αὐτὸν καὶ σχῶμεν
τὴν κληρονομίαν αὐτοῦ καὶ
30 ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμ-
πελῶνος καὶ ἀποκτείναντες αὐτόν.
καὶ ἐν μὲν τῷ Ἡσαΐᾳ αὐτῷ τῷ
ἀμπελῶνι ἀπειλεῖ ὁ λόγος λέγων·
»ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ*

dissimile autem:

quoniam in Esaia quidem
ipsam vineam accusat plantator
dicens:
»expectavi, ut faceret uvam, fecit
autem spinas«, in evangelio autem
manifeste non vinea accusatur,
quasi quae non dederit *fructus
in tempore suo*, sed *coloni*, qui
susceperunt et patrisfamilias *ser-
vos*

contumeliis adfecerunt diversis,

novissime et ipsum filium patris-
familias

occiderunt.
iterum in Esaia ipsi vineae mina-
tur ⟨verbum⟩ dicens: »auferam
saepem eius et erit in rapinam, et

10 Jes. 5, 2 — **34** Jes. 5, 5f

3 *δὲ* v *δὴ* M H **4** ⟨*ἀνόμοιον*⟩ Kl, vgl. lat. **16** *οἳ καὶ* Kl, vgl. lat. *οὗτοι* M H **26** ⟨*ὡς*⟩ *εἰπόντες* Koe

32 ipsa G[a] ipse (G[c]) L **33** ⟨verbum⟩ Koe, vgl. gr.

ἔσται εἰς διαρπαγήν, ⟨καὶ⟩ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα.

destruam maceriam eius et erit in conculcationem«

καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ 5 *οὐ μὴ τμηθῇ οὐδὲ μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα«.*

et cetera,

ἀλλὰ καὶ ὅτε »ταῖς νεφέλαις« ἐντελεῖ⟨σθαι ἐπαγγέλλε⟩ται »τοῦ μὴ 10 *βρέξαι εἰς τὸν ἀμπελῶνα ὑετόν«, τῷ ἀμπελῶνι ἀπειλεῖ,*

sed et ⟨cum⟩ »nubibus« promittit se mandaturum, »ut ne super vineam pluant« illam,

ὅντινα ὁ προφήτης εἶπεν εἶναι τὸν »τοῦ Ἰσραὴλ« οἶκον καὶ τὸν »ἄνθρωπον τοῦ Ἰούδα«, μὴ ποιήσαντα τὸν καρπόν, 15 *τὴν »κρίσιν« καὶ τὴν δικαιοσύνην, ποιήσαντα | δὲ ἀκάνθας, τὴν »ἀνομίαν« καὶ τὴν »κραυγήν«.*

quae fuit secundum prophetam »domus Israel et homo Iuda«, qui nullum fructum fecerunt. 777

ἐν δὲ τῷ εὐαγγελίῳ τὸν μὲν ἀμπελῶνα οὐδὲν εὑρίσκομεν πάσχοντα, 20 *ἀλλ' (εἰ δεῖ οὕτως εἰπεῖν) μᾶλλον προνοούμενον τοῦ φέρειν τοὺς οἰκείους καρποὺς τῷ οἰκοδεσπότῃ· προνοῶν γὰρ οὗτος τοῦ ἀμπελῶνος αἴρει αὐτὸν ἀπὸ τῶν προτέρων* 25 *γεωργῶν,*

in evangelio autem vineam non invenimus aliquid patientem, sed adhuc et provisionem dei consecutam, ut possit fructus suos patrifamilias dare;

ablata est enim a colonis malis

et data est genti meliori. coloni autem omnem suscipiunt iram, dicentes:

οἵτινες ἀποκρίνονται τῷ σωτῆρι πυθομένῳ καὶ εἰπόντι ὅταν οὖν 30 *ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; καὶ λέγουσιν, εἴτε ὑπὸ τοῦ λόγου καὶ τῆς ἀκολου-*

cum enim venerit paterfamilias, malos male perdet,

sive ratione verbi coacti et con-

8 ff Jes. 5, 6 — 12 ff Vgl. Jes. 5, 7

1 ⟨*καί*⟩ Koe, vgl. lat. u. LXX 8 *ἐντελεῖ⟨σθαι ἐπαγγέλλε⟩ται* Kl, vgl. lat. 21/22 *οἰκείους*] *ἰδίους* M 33 *ἀκολουθίας* + *parabolae* lat.

8 ⟨cum⟩ Diehl, vgl. gr. 26 est < L 30 enim cum L 29 ff lat. exzerpiert hier

θίας ἀναγκαζόμενοι εἴτε καὶ ἄκοντες (ἵν' οὕτως εἴπω)
τὰ περὶ αὐτῶν προφητεύοντες. ὡς ἄρα κακοὺς κακῶς ἀπολέσει
5 ὁ κύριος τοῦ ἀμπελῶνος ἐλθὼν τοὺς γεωργούς.
καὶ προνοούμενος τοῦ ἀμπελῶνος ἐκδώσεται αὐτὸν ἄλλοις γεωργοῖς,
10 οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.
ἀλλὰ καὶ ἐν τῷ Ἱερεμίᾳ ἀκολούθως τῷ »ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ
15 οἶκος τοῦ Ἰσραὴλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον«
εἴρηται πρὸς τὸν ἁμαρτάνοντα λαόν· »ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρ-
20 ποφόρον πᾶσαν ἀληθινήν«,
καὶ ἀνάλογον τῷ »ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας« καὶ τῷ »ἔμεινα ⟨τοῦ⟩ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύ-
25 νην ἀλλὰ κραυγήν« τὸ
»πῶς ἐστράφη⟨ς⟩ εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία;«
Οὐκοῦν ὁρᾷς ἐν μὲν ταῖς προφητικαῖς λέξεσι τὸν λαὸν λεγό-
30 μενον εἶναι ἀμπελῶνα καὶ τὸν φυτεύσαντα αὐτὸν ἀπειλοῦντα καὶ λέγοντα αὐτῷ·

sequentia parabolae sive nolentes
prophetaverunt de se, quoniam *cum venerit malos male perdet,*

et vineae faciens provisionem *aliis eam dabit colonis.*

item consequenter et Hieremias

dicit ad ⟨peccantem⟩ populum: »ego plantavi te vineam fructiferam omnem veram:

quomodo conversa es in amaritudinem, vinea aliena?«
vides ergo, quoniam in prophetis populus Iudaicus vinea adpellatur et comminatio patrisfamilias contra vineam fit,

14 Jes. 5, 7 — 19 Jer. 2, 21 — 21 Jes. 5, 4 — 23 Jes. 5, 7 — 26 Jer. 2, 21

3 αὐτῶν υ αὐτῶν M H 7 τοῦ ἀμπελῶνος < H 8 ἐκδόσεται M 22 σταφηλὴν H 23 ⟨τοῦ⟩ Kl, vgl. LXX 26 ἐστράφη⟨ς⟩ Lo 31 f αὐτὸν ἀπειλοῦντα αὐτὸν καὶ λέγοντα· M

7 provisionem faciens L 18 ⟨peccantem⟩ Diehl, vgl. gr. 27 vineae alienae G L

»ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ
ἔσται εἰς διαρπαγὴν« καὶ τὰ λοιπά,
ἐν δὲ ταῖς εὐαγγελικαῖς οὐδεμίαν
μὲν μέμψιν προσαγομένην τῷ ἀμ-
5 πελῶνι πᾶσαν δὲ τοῖς γεωργοῖς,
καὶ πρὸς τῷ μηδεμίαν εἶναι ἀπειλὴν
τῷ ἀμπελῶνι καὶ πρόνοιαν αὐτοῦ
γινομένην, ἵνα διδῷ τῷ οἰκοδεσπότῃ
τοὺς καρποὺς ἐν τοῖς καιροῖς
10 αὐτῶν.
καὶ οὐκ ἂν δύναιο. τὴν ἀκρίβειαν
βουλόμενος σῶσαι τῆς εὐαγγελι-
κῆς γραφῆς. τρανῶς παραστῆσαι ὅτι
ἀμπελὼν ὁ λαὸς ἦν. ἀλλὰ μήποτε
15 ὁ κατὰ τὸ εὐαγγέλιον ἀμπελὼν ἡ
βασιλεία ἐστὶ τοῦ θεοῦ, ἡ αὐτὴ
(οἶμαι) τυγχάνουσα τῇ τῶν γραφῶν
μετ' ἐπισκοπῆς θεοῦ διδασκαλίᾳ. τὸ
γὰρ ἀρθήσεται ἀφ' ὑμῶν ἡ
20 βασιλεία τοῦ θεοῦ καὶ δο-
θήσεται ἔθνει ποιοῦντι τοὺς |
καρποὺς αὐτῆς
ἐπιφερόμενον τῇ περὶ τοῦ ἀμπε-
λῶνος παραβολῇ
25 σαφῶς (οἶμαι) δηλοῖ τὰ μυστήρια
τῆς τοῦ θεοῦ βασιλείας λέγεσθαι
εἶναι τὸν ἀμπελῶνα,
ὃν ἐφύτευσεν ὁ οἰκοδεσπότης
ἄνθρωπος. τοῦτον δὴ τὸν ἀμ-
30 πελῶνα,
ὄντα (ὡς οἶμαι) νόμον καὶ προφή-
τας καὶ πᾶσαν τὴν θείαν γραφήν,
ἐξέδοτο ὁ κύριος τοῦ ἀμπε-
λῶνος γεωργοῖς· προτέροις μὲν
35 τῷ λαῷ ἐκείνῳ (καὶ γὰρ πρῶτοι

in evangelio autem omnino vinea
non culpatur sed eius coloni.

et qui vult evangelica verba
caute considerare, nequaquam po-
terit clariter adprobare, quoniam
vinea populus est. sed ne forte se-
cundum evangelium vinea regnum
est dei, id est doctrina, quae
providentiam habens dei scrip-
turis inserta est sanctis. quod
enim dicit: *tolletur a vobis regnum
dei et dabitur genti facienti fruc-
tum eius.* 778

manifeste (sicut arbitror) demon-
strat mysteria regni dei *vineam*
esse,

id est legem et prophetas et om-
nes divinas scripturas, quam *tra-
didit dominus vineae* primum qui-
dem *colonis* populo illi priori,
quoniam et primis »credita sunt

1 Jes. 5, 5

11 δύναιτο ⟨ὁ⟩ Koe, vgl. lat.

11 et Kl, vgl. gr. sed x
32 quam (d. h. vineam) Kl, vgl. gr.
quas x

»ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ«).
δευτέροις δὲ ἔθνει ποιοῦντι τοὺς
καρποὺς αὐτῆς, τῇ ἀπὸ τῶν
ἐθνῶν ἐκκλησίᾳ. ἀλλ' ἔργον ἐξο-
5 μαλίσαι οὕτω νοουμένου τοῦ κατὰ
τὸ εὐαγγέλιον
ἀμπελῶνος τὸν περιτεθέντα αὐτῷ
φραγμόν, οὐδὲν πάσχοντα ὁποῖον
⟨ὁ⟩ ἐν τῷ Ἡσαΐᾳ φραγμός, περὶ
10 οὗ γέγραπται· »ἀφελῶ τὸν φραγμὸν
αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν«,
καὶ τὴν ὀρυχθεῖσαν ἐν αὐτῷ λη-
νὸν καὶ τὸν οἰκοδομηθέντα πύργον.

Καὶ ὅρα εἰ δυνάμεθα τὴν μὲν
15 κατὰ τὴν θείαν γραφὴν φυσιολογίαν
τὸν ἀμπελῶνα εἰπεῖν, τὸν δὲ
ἀκόλουθον τῇ ἀληθεῖ φυσιολογίᾳ
βίον ἐν ἀρετῇ καὶ καλλίστοις ἤθεσι
καρποφοροῦντα λέγειν εἶναι τὸν τοῦ
20 ἀμπελῶνος καρπόν, τὸν δὲ λογικὸν
τόπον καὶ πᾶν τὸ γράμμα τῆς
γραφῆς τὸν φραγμὸν εἶναι τοῦ
ἀμπελῶνος περικείμενον ἔξωθεν ὡς
μὴ κατοπτεύεσθαι τοῖς ἔξωθεν τὸν
25 ἀμπελῶνα καὶ τὸν ἐν κρυπτῷ
μάλιστα καρπὸν αὐτοῦ, τὸ δὲ βάθος
*** τῆς δεχομένης τοὺς καρποὺς τού-
τους ψυχῆς πᾶν ἐπιπόλαιον ἀπο-
βαλούσης τὴν ὀρυχθεῖσαν εἶναι ἐν
30 τῷ ἀμπελῶνι ληνόν.

eloquia dei», secundis autem gentibus facientibus *fructum*,

cuius vineae saepes nihil tale patitur, quale scriptum est in propheta dicente: »auferam saepem eius et erit in rapinam«.

Vide ergo, ne forte naturali ratione vineam possumus dicere omnia eloquia dei, consequenter autem secundum eandem naturae rationem vitam inreprehensibilem hominum et mores speciosissimos *fructus* ipsius vineae, ipsas autem scientias et ⟨omnes⟩ litteras scripturarum esse vineae *saepem* extrinsecus circumpositam, ut non videatur vinea ab eis qui foris sunt, maxime *fructus eius* qui sunt in absconso, profunditatem autem eloquiorum dei

torcular esse vineae eius,

1 Röm. 3, 2 — 10 Jes. 5, 5 — 14–611, 28 Vgl. *Π* 244, 9–245, 7

3 αὐτῆς Kl αὐτοῦ M H 9 ⟨ὁ⟩ . . . φραγμός Kl . . . φραγμὸν M H 14 εἰ] *ne forte* lat. 17 ἀληθεῖ] *eandem* lat. 27 *** Koe, vgl. lat. 28/29 ἀποβαλλούσης *Π* 244, 13, doch s. Hss

7 sepes *μ* sepis x 14 ff naturali —eloquia dei] lat. las τὴν μὲν κατὰ τὴν φυσιολογίαν θείαν γραφὴν ? 15 possimus L 16 omnia y* < L 18/19 inreprehensibilem x* reprehensibilem *ϱ* 21/22 scientias et ⟨omnes⟩ Diehl, vgl. gr. scripturas et x 26/27 profunditatem Kl profunditas x

5
ὁ δὲ οἰκοδομηθεὶς ἐν τῷ ἀμπελῶνι
πύργος, ἀνάστημα ἔχων καὶ δίαρμα
καὶ ὕψος ὑπὲρ τὸν ἀμπελῶνα καὶ
τὸν φραγμὸν καὶ τὴν ληνόν, ὁ
10 περὶ θεοῦ (οἶμαι) λόγος ἐστί,

ναὸς ὢν τοῦ ἐν αὐτῷ θείου νοῦ.
καὶ περὶ τοιούτου νομίζω λελέχθαι
15 πύργου ὑπὸ τοῦ σωτῆρος
τὸ
»τίς ἐξ ὑμῶν βουλόμενος πύργον
οἰκοδομῆσαι οὐχὶ πρῶτον ψηφίζει«,
εἰ δύναται θεῖναι τὸν θεμέλιον καὶ
20 ἐκτελέσαι, »ἵνα μὴ« »ἄρξωνται οἱ
θεωροῦντες ἐμπαίζειν« τῷ μὴ τε-
λειώσαντι; διὰ γὰρ παραβολῆς κἀ-
κεῖ δοκεῖ μοι λέγεσθαι ὅτι μέλλων
θεολογεῖν σκόπησον, εἰ δύνασαι
25 ἀρξάμενος πάντα | ἃ ἀπαιτεῖ σε ὁ
λόγος εἰς θεολογίαν τελειῶσαι, ἵνα
μὴ ἀρξάμενος τῶν τῆς εὐσεβείας
δογμάτων ἀτελῆ καταλίπῃς τὸν περὶ
θεοῦ πύργον καὶ στεφάνην αὐτῷ
30 μὴ ἐποικοδομήσῃς· εἰ γὰρ στεφάνην
οὐκ ἐποικοδομήσεις, πεσεῖταί τις
ἀπὸ τῆς περὶ θεοῦ ἐννοίας καὶ ἀπο-

in quem qui profecerunt de elo-
quiis dei et facti sunt perfecti
fructus eorum, infundunt studia
sua quasi *fructus* quos de ipsis
eloquiis colligunt.
turrem autem aedificatam in ⟨vin-⟩
ea, ascensum habentem et eminen-
tiam et altitudinem super *vi-
neam* ipsam et *saepem* et *torcular*,
aestimo verbum esse de ipso
deo
et de dispensationibus Christi
et templum divini sensus qui
habetur in eo. et de tali turre
puto dicere salvatorem
in aliquo loco evangelii:
»quis vestrum volens turrem aedi-
ficare non prius conputat«, si
potest prius ponere fundamentum
et consummare, »ne forte« »incipi-
ant videntes deridere« eum qui non
consummavit, *** quoniam qui
vult dicere de deo, debet consi-
derare, si potest incipiens omnia
quae quaeruntur circa dei ex- 779
positionem consummare, ne forte
incipiens dogmata pietatis in-
perfectam relinquat *turrem* de
deo et coronam non superaedi-
ficet ei; si enim non superaedi-
ficaverit ei coronam, cadet ali-
quis ab intellectu dei scandali-

1f Vgl. Röm. 3, 2; Hebr. 5, 12

17 Luc. 14, 28f

8 τὸν] *ipsam* lat. 10 θεοῦ + *et de dispensationibus Christi* lat. 19 δύναται + *prius* lat. 32 ἐννοίας + *scandalizatus* lat.

1 quem (als neutr.) Diehl quod Koe quam x 6 ⟨vin⟩ea Diehl, vgl. gr. 16 aliquo x* eo ρ 22 *** Koe, vgl. gr. 28 turrem + verbi B + verbo L 29 30 superaedificaverit y* aedificaverit L

θανεῖται. τοῦτον δὴ τὸν (ὡς ἀποδεδώκαμεν) ἀμπελῶνα ἐξέδοτο γεωργοῖς, τῷ πρὸ ἡμῶν λαῷ, ὁ θεός.

5 καὶ ἀπεδήμησεν εἰς τὴν ἑαυτοῦ περιωπήν, δοὺς ἀφορμὰς τοῖς γεωργοῖς, ἐξ ὧν αὐτὸς ἐφύτευσε καὶ περιέθηκε καὶ ὤρυξε καὶ ᾠκοδόμησε, τοῦ φέρειν τοὺς καρ-
10 ποὺς ἐν τοῖς καιροῖς αὐτῶν. ἤγγισαν μὲν οὖν καθ' ἕκαστον οἱ καιροὶ τῶν καρπῶν. οἶμαι δ' ὅτι καὶ ⟨γενικῶς⟩ ὅλῳ τῷ λαῷ. τὸ δὲ ἐγγίσαι τοὺς καιροὺς τῶν καρπῶν
15 ἀκριβῶς μὲν διηγήσασθαι ἕξεως μείζονός ἐστιν ἢ καθ' ἡμᾶς καὶ καρδίας πολλῷ καθαρωτέρας καὶ διορατικ⟨ωτέρ⟩ας παρ' ἡμᾶς. ὅμως δὲ κατὰ δύναμιν ἐπιβαλοῦμεν οὕτως
20 τῷ τόπῳ, ἀρξάμενοι ἀπὸ τῶν καθένα.

8. Καὶ νοείσθω ἐν ἑκάστῃ
25 ψυχῇ ὁ λόγος ἄμπελος πεφυτευμένη ὑπὸ τοῦ οἰκοδεσπότου, καὶ ἀμπελὼν αἱ ἀφορμαὶ πάντων ⟨τῶν⟩ ἀναγκαίων εἰς σωτηρίαν προβλημάτων. ὥσπερ οὖν ἐπὶ τῶν ἀμπέλων ἐστί τις καιρὸς
30 ὅτε ἐκφύει φύλλα, καὶ ἄλλος ὅτε τὰς ἀρχὰς τῶν καρπῶν δείκνυσιν ἔτι βραχείας, καὶ ἄλλος ὅτε κυπρίζει τὰ δειχθέντα, ⟨καὶ ἄλλος ὅτε ὀμ-

zatus et morietur. hanc *vineam tradidit colonis*, id est populo ante nos, tam sacerdotibus quam laicis, *et profectus est* ad suam prospectionem, dans occasiones *colonis* ex eo, quod ipse *plantavit* et *circumposuit saepem* et *fodit torcular* et *aedificavit turrem*, proferendi *fructus*, cum adpropinquasset tempus fructuum. adpropinquant enim et secundum unumquemque quidem tempora *fructuum*, puto autem et generaliter populo universo. adpropinquationem autem temporis *fructuum* exponere vere sicut est, supra nostrum ingenium est et cordis est ⟨multo⟩ mundioris *** tamen secundum virtutem nostram incipimus hoc modo incipientes secundum unumquemque hominum.

8. Ergo intellege mihi in unaquaque anima quasi *vineam* verbum dei plantatum; vinea enim occasiones sunt omnium propositionum, quae necessariae sunt ad salutem. sicut ergo in vineis est aliquod tempus quando pullulant frondes, et aliud tempus quando principium ⟨adhuc parvum⟩ fructus demonstrat, et aliud quando

8 f gr. kürzt ? **13** ⟨γενικῶς⟩ Kl, vgl. lat. **18** διορατικ⟨ωτέρ⟩ας Kl Koe, διορατικῆς M H **19** κατὰ + τὴν M **24** ἐν < M **25** λόγος + *quasi* lat. **26** καὶ Koe ἢ M H **27** ⟨τῶν⟩ Diehl **33/34** ⟨καὶ — ὀμφακίζει⟩ Kl, vgl. lat.

5 6 prospectionem x* perfectionem L profectionem μ **19** ⟨multo⟩ Diehl, vgl. gr. | *** Kl, vgl. gr. **30/31** pullula(n)t — quando (R) G (B) < L **32** ⟨adhuc parvum⟩ Diehl Kl, vgl. gr. **33** demonstrant L

φακίζει⟩ καὶ ἄλλος ὅτε περκάζει, καὶ ἄλλος ὅτε καιρός ἐστι τοῦ τρυγᾶν | τετελειωμένους τοὺς καρπούς καὶ ἑτοίμους πρὸς τὸ φέρειν
5 οἴνου ποιότητα — οὕτως ὁ μὲν πρῶτος τῶν ἀνθρώπων τῆς ζωῆς καιρὸς κατὰ τὴν νηπιότητα ἐχέτω τὴν ἄμπελον οὐδὲν περικειμένην ἀλλὰ μόνον ἔχουσαν τὸ ζωτικόν· εἶτ' ἐπὰν ὁ λόγος
10 συμπληροῦσθαι ἄρχηται, ὁ καιρὸς ἔστω τῆς πρώτης ἀνθήσεως, ὅσον δὲ προκόπτει γεωργουμένη ἡ ψυχὴ τοσοῦτον καὶ ὁ γεωργούμενος ἀμπελὼν
15

florent quae sunt demonstrata, et aliud quando acerbescunt fructus, et aliud quando variant, et 780 aliud quando vindemiandi est tempus *fructus* perfectos et paratos ad praebendum vinum — in hominibus itaque primum vitae tempus est secundum infantiam, et est tunc vinea nihil ostendens nisi tantum habens in se ⟨vi⟩talem virtutem. cum autem coeperit posse loqui, tempus est germinationis, quantum autem proficit anima pueri operata, tantum et vinea quae operatur in eo, id est verbum dei, naturaliter inplantatum proficit et

δείγματα φέρει μελλόντων βοτρύων, κυπριζόντων μὲν καὶ ὀσμὴν
20 εὐωδίας (μελλούσης ἀρετῆς) φερόντων κατ' ἀρχάς, ὕστερον δὲ ἤδη καὶ ὀμφακιζόντων, ὅτε κακία μὲν ⟨νεότητι ἔν⟩εστιν οὐχ ἡ παραμένουσα δὲ ἀλλ' ἡ ἀναγκαίως ὑφισταμένη
25

producit indicia botrionum futurarum, florentium quidem adhuc et odorem suavitatis (futurae virtutis) in primis dantium. postea autem et acerbescunt, quando malitia quidem est in iuventute non autem permanet, sed necessarie superveniens est propter aetatem,

καὶ οὐδέποτε νευομένη ἐπὶ τὸ χεῖρον, ἀλλ' ἀεὶ (εἰ δεῖ οὕτως ὀνομάσαι) ἐπ' ἀρετὴν ὁδεύουσα.

sed (ut ita dicam) semper ad virtutem pergens.

30 ἐὰν δὲ παραμένῃ ἡ κακία, καὶ μὴ χρησώμεθα ἄλλῃ ὡς ἐπ' ἀρετὴν διόδῳ ἀεὶ αὐτὴν ἐπὶ τὴν ἐπ' ἀρετῇ προκοπὴν ἄγοντες, γίνεται ὄμφαξ,

6 τῷ ἄνω H 11 ἀνθίσεως M 12 ψυχὴ + *pueri* lat. 18 μελλόντων Kl, vgl. lat. μᾶλλον τῶν M H 19 μὲν + *adhuc* lat. 22 ὅτι H | ⟨νεότητι ἔν⟩εστιν Kl, vgl. lat. 24 ὑφισταμένη + *propter aetatem* lat. 30 παρακειμένη M 31 ἀλλ' ἄλλῃ las lat. Diehl

5 fructus < L 10 ⟨vi⟩talem μ, vgl. gr. 12 germinationis x* generationis μ 18 futurarum Diehl, vgl. S. 607, 12ff. 17ff futurorum x 30—33 lat. hat mißverstanden u. umgestellt, vgl. S. 607, 4—6 Diehl

ὃν φαγών τις κατὰ τὸν προφήτην αἱμωδιᾷ.

5 *ἐπὶ πλεῖον δέ τις προκόπτων οἱονεὶ περκάζουσαν μὲν οὐδέπω δὲ τετελειωμένην ἔχει τὴν σταφυλήν. ἔστι δέ τις ⟨καὶ⟩ μετὰ τὴν προκοπὴν*
10 *κατάστασις σπουδαία, ὅτε ἡ γεωργηθεῖσα ἄμπελος φέρει τὸν καρπόν, βότρυας ἀγάπης τελείους καὶ χαρᾶς καὶ εἰρήνης καὶ μακροθυμίας καὶ τῶν λοιπῶν, ἃ παρὰ τῷ ἀποστόλῳ*
15 *κατείλεκται καὶ ἐν μυρίαις ἄλλαις γραφαῖς. ἔστι γάρ τις βότρυς κατὰ τὸ »μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι« καὶ ἄλλος κατὰ τὸ »μακάριοι οἱ πενθοῦντες« καὶ ἄλλος κατὰ τὸ*
20 *»μακάριοι οἱ πραεῖς« καὶ ἄλλος κατὰ τὸ »μακάριοι οἱ εἰρηνοποιοί« καὶ ἄλλος κατὰ τὸ »μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ«. καὶ τί με δεῖ καταλέγειν τοὺς αἰτίους τῶν μακαρισμῶν βό-*
25 *τρυας; ταῦτα δὲ ἐπὶ πλεῖον ἐξήτασα ἅτε τὸ ὅτε ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, νοῆσαι καὶ σαφηνίσαι θέλων.*

30 9. *Τοῦ οἰκοδεσπότου δέ ἐστι ⟨μόνου⟩ καὶ τῆς θείας ἐπιστήμης αὐτοῦ*

quam si quis manducaverit secundum prophetam, obstupescere facit dentes.

si autem non ea fuerit usus, sed semper quasi per aliam viam adducat eam ad virtutem, ex parte incipit variare, non autem et uvam habet perfectam. est autem et post profectum status aliquis studiosus, quando vinea operata fructum profert maturum et studiosas botriones, diversas atque perfectas caritatis et gaudii et pacis et longanimitatis ceterarumque virtutum, quas apostolus refert et multae ⟨aliae⟩ scripturae. est enim aliqua botrio secundum quod scriptum est: »beati pauperes spiritu« et altera: »beati qui lugent« et alia: »beati mansueti« et alia: »beati pacifici« et alia: »beati mundo corde«. et quid necessarium est dinumerare singulas beatitudinum causas, quasi diversas botriones? haec autem diximus volentes ⟨intellegere et⟩ ostendere, quid sit quod ait: *cum autem adpropiasset tempus fructuum.*

9. Patrisfamilias autem solius est

1 Vgl. Jer. 38, 29 — 12ff Vgl. Gal. 5, 22 — 17 Matth. 5, 3 — 18 Matth. 5, 4 — 20 Matth. 5, 5 — 21 Matth. 5, 9 — 22 Matth. 5, 8

7 *δὲ* + *et* lat. 9 ⟨*καὶ*⟩ Diehl Koe, vgl. lat. 11 *καρπὸν* + *maturum* lat. 12 *βότρυας*] *et studiosas botriones, diversas* lat. 24 *μακαρισμῶν* + *quasi diversas* lat. 26 *ἅτε* Kl Koe, vgl. lat. *διὰ* MH 31 ⟨*μόνου*⟩ Diehl Kl Koe, vgl. lat.

5 aliam R G aliquam B L 9 profectum y* perfectum L 12 studiosas R studiosos x 12 13 diversas y* diversos L 13 perfectas y* perfectos L 16 ⟨aliae⟩ Diehl, vgl. gr. 27 ⟨intellegere et⟩ Diehl, vgl. gr.

εἰδέναι τὸν ἑκάστου τῶν ἀνθρώπων
καιρόν, πότε | ἤγγισε καὶ πότε ἔτι
πόρρω ἐστὶν ὁ καιρὸς τῶν καρ-
πῶν. καὶ ἡμεῖς δέ, ἐὰν ἐπὶ πλεῖον
5 ἐπιστήσωμεν συγκρίνοντες τὸν χρό-
νον ἀφ' οὗ ἐκλήθημεν τῷ παντὶ
χρόνῳ τῆς πίστεως ἡμῶν. δυνη-
σόμεθα ὁρᾶν πῶς τινες ὥσπερ
»ὀφείλοντες εἶναι διδάσκαλοι διὰ
10 τὸν χρόνον, πάλιν χρείαν« ἔχουσι
διδάσκεσθαι »τίνα τὰ στοιχεῖα ⟨τῆς
ἀρχῆς⟩ τῶν λογίων τοῦ θεοῦ«.
οὕτως ὀφείλοντές τινες, ὅσον ἐπὶ
τῷ χρόνῳ τῆς τοῦ θεοῦ οἰκονομίας
15 καὶ τῷ κατὰ τὴν κλῆσιν ἁπάντων,
ἤδη φέρειν τοὺς καρπούς, ἢ πάντως
οὐκ ⟨ἔχουσιν ἢ ὀφείλοντες ἔχειν
τελείους⟩ ἔχουσι μὲν ἀκαίρως δὲ
κυπρίζοντας καὶ οὐκ ἐν καιρῷ ὀμ-
20 φακίζοντας. εἰ νενόηταί σοι δὴ καθ'
ἕκαστον, πῶς δεῖ ἐκλαμβάνειν τὸ
ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν
καρπῶν, μετάβα (εἰ δύνασαι) τῷ
λόγῳ ἐπὶ τοὺς παραλαβόντας διὰ
25 Μωσέως τὸν νόμον, ὅτι κἀκείνων
ἤγγισέ ποτε ὁ καιρὸς τῶν καρ-
πῶν καὶ ἀπέστειλε τοὺς ἑαυτοῦ
δούλους πρὸς τοὺς γεωργοὺς
τοὺς πρώτους πιστευθέντας »τὰ
30 λόγια τοῦ θεοῦ« ὑπὲρ τοῦ λαβεῖν

cognoscere vere quando unius-
cuiusque hominis *tempus fruc-* [781]
tuum adpropiat, vel quando ad-
huc longe est *fructuum tempus.*
et nos si abundanter consideremus
conparationem facientes tempo-
rum, ex quo sumus vocati ad
omne tempus fidei nostrae, pot-
erimus videre quomodo quidam
cum deberent »esse magistri se-
cundum tempus, iterum opus«
habent doceri »qualia sunt ele-
menta principii eloquiorum dei«.
sic cum deberent quidam, quan-
tum ad tempus dispensationis dei
et secundum vocationem om-
nium, iam fructus adferre, aut
omnino non habent aut, cum
deberent habere perfectos, habent
extra tempus florentes et non
in tempore suo acerbos. si autem
intellexisti in singulis quibusque
hominibus, quomodo oporteat in-
tellegere quod dicitur: *cum autem*
adpropiasset tempus fructuum,
transi ad populum illum, qui tunc
acceperunt legem per Moysen,
quoniam et illis *tempus fructuum*
adpropiaverat aliquando et *misit*
servos suos ad priores *colonos,*

9 Hebr. 5, 12 — 29 Röm. 3, 2

1 εἰδέναι + *vere* lat. 2 πότε ἤγγισε καὶ < H | καὶ πότε] *vel quando* lat. ἢ ⟨εἴ⟩ ποτε Koe 6 ἀφ'] ἐξ H 8 ὁρᾶν < M 11 12 ⟨τῆς ἀρχῆς⟩ Kl Koe, vgl. lat. 15 τῷ Koe τῶν M H 17 ⟨ἔχουσιν—τελείους⟩ Kl Koe, vgl. lat. 20 δὴ] *autem* lat. 21 ἕκαστον ⟨ἄνον⟩? Kl, vgl. lat. 25 μωυσέος M H

2 3 fructuum < L

τοὺς καρποὺς τοῦ ἐν ἑκάστῳ ἀμπελῶνος. εὐχερὲς μὲν οὖν εἰπεῖν ὅτι δούλους λέγει τοὺς προφήτας. ἀλλὰ ζητητέον πῶς ἀποστέλλονται 5 πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς τοῦ ἀμπελῶνος καρπούς. εἴποι γὰρ ἄν τις ὅτι οὐκ ἐπὶ τῷ λαβεῖν ἀποστέλλονται τοὺς καρποὺς οἱ προφῆται, ἀλλ' ἐπὶ τῷ 10 γεωργῆσαι μᾶλλον καὶ συνεργῆσαι τοῖς καρποῖς.

quibus credita fuerant eloquia dei«, ut *acciperent fructus* uniuscuiusque vitis. facile quidem est dicere, quoniam *servos* dicit prophetas. sed quaerere convenit quomodo mittuntur *ad colonos accipere fructus* vineae. dicet enim aliquis, quoniam non ad *accipiendos fructus* mittuntur prophetae, sed operari magis.

Ὅρα οὖν εἰ δυνάμεθα λέγειν τὰ πνευματικὰ καρπώματα καὶ τὰς θείας προσφορὰς δίδοσθαι ἀπὸ τῶν 15 γεωργησάντων τὸν ἀμπελῶνα τοῖς ἀποστελλομένοις δούλοις, ἵνα προσαγάγωσιν ὡς ἱερεῖς τῷ θεῷ τοὺς καρποὺς τοῦ προσφέροντος ⟨λαοῦ⟩. ἀλλὰ λαβόντες οἱ γεωργοὶ ἐν 20 τῷ λαῷ τοὺς ἀποσταλέντας δούλους λαβεῖν τοὺς καρποὺς τοῦ ἀμπελῶνος,

Vide ergo si possumus dicere, quia spiritales fructus et divinae oblationes dantur ab his, qui coluerant *vineam*, prophetis transmissis ut offerant quasi sacerdotes deo populi *fructus*. sed *accipientes coloni* ex populo illo

ὃν μὲν ἔδειραν, ὡς »τὸν Μιχαίαν 25 ἐπάταξεν εἰς τὴν σιαγόνα« »Σεδεκίας υἱὸς Χαναάν«, ὅτε καὶ εἶπεν αὐτῷ προφητεύσαντι ὁ ψευδοπροφήτης· »ὁποῖον πνεῦμα κυρίου τὸ λαλῆσαν ἐν σοί;« ὃν δὲ ἀπέκτει- 30 ναν, ὡς Ζαχαρίαν »μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου«, ὃν δὲ ἐλιθοβόλησαν, ὡς τὸν Ἀζαρίαν |

alium quidem ceciderunt, sicut »Michaeam percutiens in maxillam Sedecias filius Chanaan«, quando et dixit ei prophetanti pseudopropheta: »qualis spiritus dei qui locutus est in te?« *alium autem occiderunt*, sicut Zachariam »inter templum et altare«, *alium lapidaverunt*, sicut Azariam filium 782

16f Vgl. Gal. 5, 22 — 24—610, 3 Vgl. Cc Nr. 55 Or. *Π* 243, 9—11 An. — 24 III. Regn. 22, 24 — 30f Vgl. Matth. 23, 35; Par.

18 ⟨λαοῦ⟩ Kl, vgl. lat. 19 ἐν + *illo* lat.

3 vitis] lat. las ἀμπέλου? 7 dicet Kl, vgl. gr. dicit x 25 percutiens + aliquis y 26 canaan G L 32 azariam] zac(h)ariam B (L)

υἱὸν τοῦ Ἰωδαὲ τὸν ἱερέα, καθάπερ γέγραπται ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων· ἡνίκα γὰρ »πνεῦμα θεοῦ ἐνέδυσε τὸν Ἀζαρίαν τὸν τοῦ Ἰωδαὲ τὸν ἱερέα, καὶ ἀνέστη ἐπάνω τοῦ λαοῦ καὶ εἶπε· τάδε λέγει κύριος· τί παραπορεύεσθε τὰς ἐντολὰς κυρίου; καὶ οὐκ εὐοδωθήσεσθε· ὅτι ἐγκατελίπετε τὸν κύριον, καὶ ἐγκαταλείψει ὑμᾶς«, »ἐπέθεντο αὐτῷ, καὶ ἐλιθοβόλησαν αὐτὸν δι' ἐντολῆς Ἰωὰς τοῦ βασιλέως ἐν αὐλῇ οἴκου κυρίου. καὶ οὐκ ἐμνήσθη Ἰωὰς τοῦ ἐλέους οὗ ἐποίησε μετ' αὐτοῦ Ἰωδαὲ ὁ πατὴρ αὐτοῦ, καὶ ἐθανάτωσε τὸν υἱὸν αὐτοῦ. καὶ ὡς ἀπέθνησκεν, εἶπεν· ἴδοι κύριος καὶ κρινάτω«.

10. *Ἑξῆς ἐστιν ἐν τῇ παραβολῇ ὅτι*

πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. *πλήρης δὲ ἡ γραφή ἐστι τῶν συμβεβηκότων τοῖς προφήταις, οὓς ἀπέστειλεν ὑπὲρ τοῦ λαοῦ, ἵνα τὸν καρπὸν αὐτῶν ἀναφέρωσιν ὡς ἅγιοι ἱερεῖς τῷ θεῷ διὰ τῶν εὐχῶν.* *ὕστερον δὲ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ* *μετὰ τοὺς προφήτας τὸν Χριστόν.*

ζητήσεις δέ, πῶς ὁ ἀποστέλλων *τὸν υἱὸν λέγει μέν· ἐντραπήσονται τὸν υἱόν μου,* *ὡς οὐ προκατα-*

Ioiadae sacerdotem, sicut in secundo libro Paralipomenon positum est; cum »spiritus dei induisset Azariam filium Ioiadae sacerdotem, et surrexit super populum et dixit: haec dicit dominus: quare praeteritis mandata domini? et non prosperabimini; dereliquistis dominum, et derelinquet vos. et superpositi sunt ei et lapidaverunt eum per mandatum Ioas regis in atrio domus domini, et non est recordatus Ioas misericordiam, quam fecerat cum eo Ioiada pater ipsius, et mortificavit filium eius. et cum moreretur dixit: videat dominus et iudicet«.

10.

Iterum misit ⟨*alios servos*⟩ *plures prioribus, et fecerunt eis similiter.* plena est omnis scriptura eorum, quae acciderunt prophetis, quos *misit* ad populum ut fructus eorum offerant per orationes suas deo quasi sanctissimi sacerdotes. *novissime autem misit filium suum*

dicens: *reverebuntur filium meum.* quaeres autem quomodo deus quidem mittens filium suum dicit: *reverebuntur filium meum,* quasi

3ff II. Paral. 24, 20—22

7 *παραπορεύεσθαι* H[a] 8 *εὐοδωθήσεσθαι* H 9 *ἐγκατελείπετε* M *ἐγκατέλιπε* M 24 *ἡ*] *omnis* lat. 32 *ὁ*] *deus* lat.

4 azariam] zachariam B 5 et < L 21 ⟨alios servos⟩ Diehl Kl, vgl. gr. 25 ad] lat. versteht *ὑπὲρ* falsch ?

λαβὼν δὲ τὸ μέλλον αὐτῷ συμβαίνειν τοῦτο εἶπεν· οὐ γὰρ φαίνονται κατὰ τὸ ῥητὸν ἐντραπέντες αὐτόν. καὶ φάσκειν γε ἐν τούτοις μὴ προεγνωκέναι τὸ μέλλον τὸν πατέρα τοῦ ἀποσταλέντος υἱοῦ, ἀλλὰ ἐψεῦσθαι ἄλλα εἰπόντα

ἄλλων γενομένων, ἀσεβές. πάλιν τε αὖ εἰπεῖν ὅτι ἐνετράπησαν αὐτὸν οἱ γεωργοί, παρὰ τὴν ἐνάργειάν ἐστιν· οἱ γὰρ γεωργοὶ ἰδόντες τὸν υἱὸν αὐτοῦ εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος καὶ τὰ ἑξῆς.

ὁ μὲν οὖν τις εἰς ταῦτα φήσει ὅτι ἀναγκαῖον συμβῆναι τὸ ἐντραπήσονται τὸν υἱόν μου, εἰ καὶ μὴ τότε συμβέβηκεν. ὁ δέ τις ἐρεῖ ὅτι οὐκ εἶπεν ὁ πατὴρ πέμπων τὸν υἱόν· λήψεται ὁ υἱός μου τὸν καρ|πὸν ἀπὸ τῶν γεωργῶν, ἀλλ' ὅτι ἐντραπήσονται· ἐνετράπησαν μὲν γὰρ τῷ ἐγνωκέναι ὅτι οὗτος ὁ υἱὸς ἦν καὶ εἰρηκέναι αὐτοὺς ἐν ἑαυτοῖς ὅτι οὗτός ἐστιν ὁ κληρονόμος, οὐ πάντως δέ, εἰ ἐνετράπησαν καὶ κατὰ τὴν ἀρχὴν ἐπλήχθησαν, ἤδη καὶ τὰ τῶν ἐντρεπομένων πεποιήκασιν.

qui non praesciebat quod ei fuerat eventurum. nec enim videntur secundum textum praesentem Iudaei reveriti eum, et invenitur in hoc deus nescisse futurum.

sed dicere aliud esse factum impium est, iterum dicere quoniam reveriti sunt eum *coloni* falsum est; *coloni* enim *videntes filium dixerunt apud se: hic est heres; venite occidamus eum et nostra erit hereditas.*

nisi forte hoc modo solvamus: sicut enim quasi de omnibus Iudaeis occisuris Christum sic dicit generaliter: *coloni autem dixerunt: hic est heres; venite occidamus eum*, et tamen non omnes Iudaei occiderunt Christum sed qui secundum carnem fuerunt Iudaei, secundum spiritum autem Iudaei non occiderunt Christum sed crediderunt in eum — sic generaliter quasi de omnibus colonis dicit: *reverebuntur filium meum*; et tamen non omnes illum reveriti sunt, sed illi tantummodo qui secundum spiritum fuerunt Iudaei, qui crediderunt in eum, ut illud quidem quod ait: *reverebuntur filium meum* videatur inpletum in illis Iudaeis, qui intellegentes Chri- 783

3 ῥητὸν + *praesentem Iudaei* lat. 4f lat. weicht ab | γε] δὲ Koe 24 ἐν αὐτοῖς M 25 ὅτι < H 28 καὶ κατῶν H

15ff mit Koe ist anzunehmen, daß lat. hier das Stück gr. Z. 15–29 ausließ, während in gr. das Entsprechende zu lat. Z. 15–612, 6 ausfiel

stum crediderunt in eum, hoc autem quod dictum est: *hic est heres; venite occidamus eum*, in illis inpletum sit, qui videntes Christum et cognoscentes filium dei nihilominus occiderunt eum.

11. Ἅμα δὲ καὶ ζητήσει τις, τίνες οὗτοι οἱ γεωργοὶ οἱ εἰπόντες· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν. οὐ γὰρ φαίνονται Ἰουδαῖοι ἀποκτείναντες αὐτὸν ὡς υἱὸν τοῦ οἰκοδεσπότου. καὶ πρὸς τοῦτο δὲ φήσει τις ὅτι, ἡνίκα διελάλουν πρὸς ἀλλήλους ὅστις εἴη, τινὲς εἶπον ὅτι οὗτός ἐστιν ὁ Χριστός, πρὸς οὓς ἀπεκρίναντο ἄλλοι· »ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί· τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν«. εἶτ' ἐπεὶ ἀπὸ τῶν σημείων καὶ τῶν τεραστίων καὶ θείων δυνάμεων πληττόμενοι ἐφρόνουν μὲν αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ θεοῦ, οὐχ ὡμολόγουν δέ,

11. Simul autem quaeret aliquis, qui sint isti *coloni* qui dixerunt: *hic est heres; venite occidamus eum.* nec enim videntur Iudaei occidisse eum quasi filium patrisfamilias dei. et contra hoc aliquis dicet: quoniam quando loquebantur ad alterutrum quis esset, quidam dixerunt: hic est Christus. ad quos alii responderunt: »Christus cum venerit, nemo scit unde est; hunc autem scimus unde est«. ita quoniam per signa et prodigia *** conpuncti intellexerunt quidem eum esse Christum, non autem et confessi sunt.

καὶ ἀληθὲς μὲν τὸ ἐντραπήσονται τὸν υἱόν μου, ἀληθὲς δὲ καὶ τὸ (ἀπεγνωκότων αὐτῶν ὅτι εἴη ὁ υἱός) λελέχθαι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν. διὰ τοῦτό φησιν ὁ σωτήρ· »κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί«.

ἐπιστήσας δέ τις τοῖς ἀναγεγραμμένοις περὶ τοῦ Ἡρῴδου, ἡνίκα

recognoscens autem aliquis et quae scripta sunt de Herode, cum

17 Joh. 7, 27 — 31 Joh. 7, 28 — 34 f Vgl. Matth. 2, 2

25 μὲν Kl nach Diehl ἦν MH 33 τις + *et* lat. 27 ἀνεγνωκότων Koe

8 sunt B 12 et y* e L 13 dicet Koe, vgl. gr. dicit x | quoniam y* < L 18 est R G L sit B 20 *** Diehl, vgl. gr.

ἔμαθεν ἀπὸ τῶν μάγων τετέχθαι
τὸν βασιλέα »τῶν Ἰουδαίων«, ὄψεται
ὅτι δύνανται οἱ ἀποκτείναντες τὸν
σωτῆρα, ἐγνωκότες ὅτι υἱὸς εἴη, οὐ-
5 δὲν ἧττον ἐπιβεβουλευκέναι αὐτῷ.
καὶ γὰρ ὁ Ἡρώδης, μαθὼν ἀπὸ τῶν
γραμματέων ὅτι »ἐν Βηθλεὲμ« »γεν-
νᾶται ὁ Χριστὸς« καὶ συγκαταθέ-
μενος ὅτι Χριστὸς εἴη ὁ γεννώμενος,
10 ἀποστέλλει μὲν αὐτοὺς λέγων· »πο-
ρευθέντες ἀκριβῶς ἐξετάσατε περὶ
τοῦ παιδίου. ἵνα κἀγὼ ἐλθὼν προσ-
κυνήσω αὐτῷ«. οὐδὲν δ' ἧττον
ἐπανελθόντων αὐτῶν
15 ἐπεβούλευσε τῷ παιδίῳ, οὐκ ἀπι-
στῶν ὅτι ὁ Χριστὸς ἦν. οὐκ ἂν γὰρ
πάντη ἀπιστῶν πάντα τὰ παιδία
ἀνεῖλε »τὰ ἐν Βηθλεὲμ καὶ ἐν τοῖς
ὁρίοις αὐτῆς
20 ἀπὸ διετοῦς καὶ κατωτέρω κατὰ τὸν
χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων«·
ἀλλὰ καὶ ἐπίστευσεν αὐτὸν εἶναι τὸν
Χριστὸν τὸν προφητευόμενον καὶ
ἐβούλετο αὐτὸν ἀποκτεῖναι καὶ τὸ
25 ὅσον γε ἐφ' ἑαυτῷ ἀπέκτεινεν αὐτόν.
Οὕτως οὖν δύνανται καὶ
οἱ ἐπιβουλεύσαντες τῷ σωτῆρι ἐγνω-
κέναι μὲν

30

(οὐχ ὥστε καὶ εἰς ἄλλους φθάσαι
τὸν λόγον αὐτῶν,

didicisset a magis natum esse
regem Iudaeorum«, videbit quo-
niam qui occiderunt Christum
cognoscentes quia filius dei erat,
nihilominus ausi sunt contra eum.
nam et Herodes condiscens a
scribis quoniam »in Bethleem«
»nascitur Christus«, et consen-
tiens quoniam Christus erat qui
nascebatur, praemittit quidem di-
cens: »ite et requirite caute de
puero, ut et ego veniam et ado-
rem eum«, nihilominus autem

ausus est contra puerum, credens
quia Christus erat. nec enim si
non credidisset, omnes occidisset
infantes »in Bethleem

a biennio et infra secundum tem-
pus quod didicisset a magis«.

784

Sic et
ceteri Iudaei cognoverunt quidem
eum, secundum quae diximus,
cognoscentes autem non divul-
gaverunt.
ut sermo eorum etiam ad alios
perveniret,

7 Vgl. Matth. 2, 5. 4 — 10 Matth. 2, 8 — 18 Matth. 2, 16

1 τετάχθαι H w. e. sch. 4 υἱὸς + *dei* lat. 7 8 γενᾶται M 15 τῷ παιδίῳ] περὶ τοῦ παιδίω (ω ex corr.) M 27 28 ἐγνωκέναι Kl, vgl. lat. εἰρηκέναι M H 31 καὶ Koe, vgl. lat. δὲ H < M 32 αὐτῶν Koe, vgl. lat. αὐτοῦ M H

10 praemittit Kl, vgl. gr. promittit x 28 secundum + ea B

ἐν ἑαυτοῖς γὰρ εἶπον· οὗτός
ἐστιν ὁ κληρονόμος), οὐδὲν ⟨δ'⟩
ἧττον αὐτὸν ἀνῃρηκέναι. ᾠήθησαν
γὰρ ἀποκτείναντες τὸν Χριστὸν καὶ
5 μὴ νοοῦντες αὐτοῦ τὴν ἀνάστασιν
(»εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον
τῆς δόξης ἐσταύρωσαν«) αὐτοὶ κύ-
ριοι ἔσεσθαι τῶν πραγμάτων, ἐπεὶ
ἀπετύφλωσεν αὐτοὺς ἡ κακία αὐτῶν
10 καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ,
καὶ ὡς μὴ ἐγνωκότες αὐτὰ ἐξέβα-
λον ἔξω τοῦ ἀμπελῶνος τὸν
υἱὸν καὶ ἀπέκτειναν αὐτόν. τὸ δὲ
ἐξέβαλον ἔξω τοῦ ἀμπελῶ-
15 νος τοιοῦτον εἶναί μοι φαίνεται·
τὸ ὅσον ἐφ' ἑαυτοῖς, ἀλλότριον αὐτὸν
εἶναι ἔκριναν καὶ τοῦ ἀμπελῶνος καὶ
τῶν γεωργῶν, ἡνίκα κατεψηφίζοντο
αὐτοῦ τὴν πρὸς θάνατον ψῆφον.
20 καὶ ἐπὶ τούτοις ὁ σωτὴρ πυνθάνεται
τῶν καὶ αὐτῶν γεωργῶν πονηρῶν
λέγων αὐτοῖς ὅταν οὖν ἔλθῃ ὁ
κύριος τοῦ ἀμπελῶνος, τί
ποιήσει τοῖς γεωργοῖς ἐκεί-
25 νοις; οἱ δὲ λέγουσιν αὐτῷ. ἐκ
τοῦ στόματος αὐτῶν κριθησόμενοι
καὶ καταδικασθησόμενοι ὡς κακοὶ
κακῶς ἀπολούμενοι καὶ μηκέτι μέλ-
λοντες ἔχειν »τὰ λόγια τοῦ θεοῦ«,
30 τὸ κακοὺς κακῶς ἀπολέσει
αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκ-
δώσεται ἄλλοις γεωργοῖς, οἵ-
τινες ἀποδώσουσιν αὐτῷ τοὺς
καρποὺς ἐν τοῖς καιροῖς αὐ-
35 τῶν.

sed quasi qui non cognoscerent, *eiecerunt extra vineam* filium *et occiderunt eum*. quod autem dicit: *eiecerunt eum extra vineam* tale mihi videtur: quantum ad se, alienum eum esse iudicaverunt a vinea et colonis, quando sententiam mortis contra eum tulerunt.

et dixit eis Iesus: *cum venerit paterfamilias, quid faciet colonis illis*? responderunt ore proprio iudicati,

quia *malos male perdet, et vineam dabit aliis colonis.*

6 I. Kor. 2, 8 — 25 Vgl. Luc. 19, 22 — 29 Vgl. Röm. 3, 2

2 ⟨δ'⟩ Kl 9 *αὐτοῦ* M 13 *υἱὸν* + *αὐτοῦ* H | *ὁ δὲ* (!) H am Anfang d. Zeile 14 *ἐξέβαλον* + *eum* lat.

31 colonis] agricolis L

καὶ οἱονεὶ προφητεύουσιν ὁμοίως τῷ Καιάφᾳ τῷ ἀρχιερεῖ »τοῦ ἐνιαυτοῦ ἐκείνου«, καὶ »ἀφ' ἑαυτοῦ« μὴ εἰρηκότι τὸ ἀληθές, ἀλλ' ἐπεὶ »ἀρχιερεὺς« ἦν ⟨προφητεύσαντι⟩· προφητεύουσι	aut enim prophetant quemadmodum Caiphas sacerdos (qui non »ex se dixit« verum, »sed quia sacerdos fuit anni illius, prophetavit«); sic et isti non ex se prophetaverunt contra se, quoniam tollenda ab eis erant »eloquia dei«
δὲ περὶ τῶν ἐθνῶν ὅτι δώσουσι τῷ οἰκοδεσπότῃ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.	et gentibus danda, fructum *in tempore suo* daturis.
12. Εἶτα ὁ σωτὴρ ἐπὶ τούτοις ἀπὸ τῆς γραφῆς αὐτοὺς δυσωπεῖ,	12. *Dicit illis Iesus: nunquam legistis in scripturis: lapidem quem reprobaverunt aedificantes, hic factus est in caput anguli; a domino factus est hic, et est mirabile in oculis nostris?*
νομίζοντας εἶναι καὶ οἰκοδόμους τοῦ λαοῦ,	quoniam ergo putabant se esse aedificatores populi
	sacerdotes illi, cum non essent aedificatores probabiles (nec enim si fuissent probabiles, lapidem huiusmodi reprobassent), tamen dicit illis de scripturis,
ὅτι λίθον αὐτὸν ὄντα καὶ ἀποδοκιμασθέντα ἀπ' αὐτῶν ὁ πατὴρ θήσει τῆς ὅλης οἰκοδομῆς κεφαλήν, συνέχοντα δύο γωνίας παλαιᾶς καὶ καινῆς διαθήκης καὶ δύο λαῶν οἰκοδομάς. τοιοῦτον γάρ ἐστι τὸ οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·	quoniam *lapidem* se constitutum et reprobatum ab eis pater conlocabit in totius aedificii *caput*, ut conprehendat duos angulos veteris testamenti et novi et duorum populorum aedificationem; hoc est enim quod ait: *lapidem quem reprobaverunt aedificantes, hic factus est in caput anguli.*

2ff Vgl. Joh. 11, 51 — 7 Vgl. Röm. 3, 2 — 11ff Vgl. Hier. in Matth. 173 A: *quos enim supra operarios et vinitores et agricolas appellarat, nunc aedificatores id est caementarios vocat*

5 ⟨προφητεύσαντι⟩ Koe, vgl. lat. 26 ⟨εἰς⟩ κεφαλήν Koe, vgl. lat. u. Z. 33 28/29 οἰκοδομήν Koe, vgl. lat.

1 aut enim] l. etenim? Kl 7 ab eis γ Pasch < L 15 factus est hic] factum est hoc L 25 26 conlocabit Kl, vgl. gr. conlocavit x

παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; κεῖται δὲ ἡ λέξις ἐν τῷ | ἑκατοστῷ ἑπτακαιδεκάτῳ Ψαλ- 785
5 μῷ, ὅς ἐστι πρὸ τοῦ πολυστιχωτάτου Ψαλμοῦ τεταγμένος, καὶ ἔχει οὕτως τὸ ῥητόν· »λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ κυρίου
10 ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ«. καὶ εἴ τι ἄλλο τῶν περὶ Χριστοῦ προφη-
15 τευομένων δύναται δυσωπῆσαι τὸν ἀγνωμόνως ἐξετάζοντα τὰ γεγραμμένα, καὶ τοῦτο ἐν αὐτοῖς ἂν ταχθείη. εἰ γὰρ μὴ περὶ λίθου ὁ προφήτης ἀναισθήτου ταῦτα λέγει, ὡς
20 εἴποι τις ἂν ἠλίθιος ἀνήρ, δῆλον ἂν εἴη ὅτι ὁ ἀποδεδοκιμασμένος ὑπὸ τῶν ἐν τῷ λαῷ ἐκείνῳ σοφῶν καὶ ἀρχιερέων καὶ πρεσβυτέρων καὶ γραμματέων Ἰησοῦς, οὗτος ἀληθῶς ἐγέ-
25 νετο ὡς κεφαλὴ ἐκκλησίας εἰς κεφαλὴν γωνίας, ἑνῶν καὶ ἐπὶ τὸ αὐτὸ συνάγων τὰς δύο διαθήκας.

καὶ ἔστιν αὕτη ἡ κεφαλὴ δῶρον παρὰ κυρίου τῇ ὅλῃ οἰκοδομῇ δεδο-
30 μένη καὶ θαυμαστὴ κεφαλὴ ἐν ὀφθαλμοῖς ἡμῶν, δυναμένων αὐτὴν βλέπειν.

et iste lapis donum est donatum a deo aedificio universo et *admirabile* caput *in oculis nostris*, qui possumus eum videre

oculis mentis.

καὶ διὰ τοῦτο, ἐπεὶ ἀπεδοκίμασαν
35 οἱ οἰκοδομοῦντες τοῦτον τὸν λίθον, ἤρθη μὲν ἀπὸ τῶν γεωργῶν ἐκείνων καὶ τῶν οἰκοδόμων ἐκείνων

7 Ps. 117, 22—24

2. 10 ἔστη H 16 ἀγνωμόνως Elt Kl εὐγνωμόνως MH

»τὰ λόγια τοῦ θεοῦ«, ἐν οἷς ἦν ἡ βα-
σιλεία τοῦ θεοῦ. ἐδόθη δὲ ἔθνει
ποιοῦντι τοὺς καρποὺς αὐτῆς.
εἰ δὲ ἀληθὲς τὸ ‹ἀρθήσεται ἀφ'
5 ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ›
δοθήσεται

si ergo verum est quod ait: *auferetur a vobis regnum dei et dabitur*

ἔθνει ποιοῦντι τοὺς καρποὺς
αὐτῆς,

aliis colonis qui reddent ei fructum

in temporibus suis,

10 δηλονότι οὐδενὶ τῶν μὴ ποιούντων
τοὺς καρποὺς τῆς τοῦ θεοῦ βασι-
λείας δίδοται ἡ τοῦ θεοῦ βασι-
λεία·

sine dubio nemini datur *regnum dei*, id est verbum domini, nisi facientibus fructum de eo,

οὐδενὶ γὰρ βασιλευομένῳ ὑπὸ τῆς
15 ἁμαρτίας δίδοται ἡ τοῦ θεοῦ βασι-
λεία.

et nemini qui a peccato regnatur datur regnum dei.

Ἀλλ' ἐρεῖ τις πῶς, εἰ μηδενὶ δί-
δοται ἡ τοῦ θεοῦ βασιλεία τῷ
μὴ ποιοῦντι τοὺς καρποὺς αὐ-
20 τῆς, ἐδόθη ἐκείνοις ἡ τοῦ θεοῦ
βασιλεία ἀφ' ὧν ἤρθη,
κατὰ τὸ εἰρημένον· ἀρθήσεται ἀφ'
ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ;

Sed dicet aliquis: si nemini datur *regnum dei fructus eius* non *facienti*, quomodo illi populo datum est a quo et ablatum est?

καὶ πρόσχες εἰ δυνάμεθα, ὡς ἐν τηλι-
25 καύτῃ δυσχερείᾳ ὄντες οὐ πάνυ τι
εὐαποδότου προβλήματος,
ἐπιστήσαντες τῇ διαφορᾷ τῶν εἰρη-
μένων περὶ τοῦ ἀμπελῶνος πρότερον
καὶ περὶ τῆς βασιλείας τοῦ θεοῦ δεύ-
30 τερον,
ἐπιλύσασθαι τὸ ζητούμενον.

considera si possumus dare idoneam rationem in tanta difficultate quaestionis huiusmodi.

considera quia cum vinea illi populo traderetur,

1 Vgl. Röm. 3, 2

4 ‹ἀρθήσεται—καὶ› Kl nach Koe, vgl. lat. 19 μὴ < M 20/21 ἡ τοῦ θεοῦ βασιλεία ἐκείνοις H 25 δυσχερία H | ὄντες Koe οὕτως M H

7 aliis etc.] lat. setzt fälschlich an die Stelle des Schlusses von Matth. 21, 43 den Schluß von Matth. 21, 41 Koe 20 et < Pasch

οὐκ | εἴρηται δὴ περὶ τοῦ ἀμπελῶνος
ὅπερ εἴρηται περὶ τῆς βασιλείας τοῦ
θεοῦ. περὶ μὲν γὰρ τοῦ ἀμπελῶνος
κατὰ τὸ πρότερον γέγραπται ὅτι
5 ἐξέδοτο αὐτὸν γεωργοῖς, περὶ
δὲ τῆς βασιλείας τοῦ θεοῦ ὅτι

δοθήσεται ἔθνει ποιοῦντι τοὺς
καρποὺς αὐτῆς. ἦν δ' ἂν ἄλυτον
10 τὸ κατὰ τὸν τόπον εἰ, ὥσπερ ἐξέδο-
το αὐτὸν γεωργοῖς γεγραμμένον
⟨ἦν⟩ ἐπὶ τοῦ προτέρου, οὕτως εἴρητο
καὶ περὶ τοῦ δευτέρου· ἐκδοθήσεται
ἔθνει ποιοῦντι τοὺς καρποὺς
15 αὐτῆς, καὶ εἰ, ὥσπερ εἴρηται περὶ
τῶν δευτέρων· καὶ δοθήσεται
ἔθνει ποιοῦντι τοὺς καρποὺς
αὐτῆς, εἴρητο καὶ περὶ τῶν προτέ-
ρων ὅτι ἔδωκεν αὐτὸν γεωργοῖς.
20

25

καὶ ταῦτα μὲν ἡμεῖς εἰς τὸν τόπον
30 ἐπηπορήσαμεν καὶ τὸ φανὲν ἡμῖν εἰ-
ρήκαμεν· ὁ δὲ βέλτιον δυνάμενος καὶ

non est dictum: *et* dedit *eam colonis,* sed ita: (786)

locavit [aut, sicut in Graeco habetur: tradidit] *eam colonis.* hic autem habetur:
auferetur a vobis regnum, et dabitur aliis colonis. indissolubilis enim erat quaestio si, quemadmodum dixit illic *locavit* [aut tradidit], similiter et hic dixisset locabit [aut tradidit] *eam aliis colonis,* aut quemadmodum dixit hic: *dabit eam aliis colonis,* et illic ita dixisset: dedit *eam colonis;*

quoniam quod datur intellegitur ⟨quod⟩ gratis datur, quod locatur autem [et traditur] non omnino gratis datur. quibus ergo [tradidit aut] locavit, non omnino quasi electis et fidelibus [tradidit aut] locavit; quibus autem donavit, cum iudicio electionis merito eorum donavit.

4 πρότερον ⟨οὐ γέγραπται ὅτι καὶ ἔδωκεν αὐτὸν γεωργοῖς, ἀλλὰ⟩ Koe 12 ⟨ἦν⟩ Koe 15—18 καὶ—αὐτῆς < H

4f. 10ff [aut—tradidit] Kl, Erklärung des Übersetzers S. 12ff aliis colonis] vgl. zu S. 617, 7 9 enim] l. autem Koe, vgl. gr. 12 locabit Kl, vgl. gr. locavit x (aut tradidit hier an die bereits verfälschte Lesart locavit angefügt) 12f colonis aliis y 21 ⟨quod⟩ μ < x Pasch 22ff [et traditur] u. [tradidit aut] Kl 25 et] aut B vel Pasch

νοεῖν καὶ λέγειν, ἐκεῖνος ἡμῶν μᾶλ-
λον ἀκουέσθω.

13. Καὶ ἀκούσαντες οἱ ἀρ-
χιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς
5 παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι
περὶ αὐτῶν λέγει· καὶ ζη-
τοῦντες κρατῆσαι αὐτὸν ἐ-
φοβήθησαν τοὺς ὄχλους, ἐπεὶ
εἰς προφήτην αὐτὸν εἶχον.
10 (Matth. 21, 45—46.)

13. *Et cum audissent principes sacerdotum et Pharisaei parabolas eius, cognoverunt quod de ipsis dicit; et quaerentes eum tenere timuerunt turbas, quoniam sicut prophetam eum habebant.*

Ἀκούσαντες οἱ ἀρχιερεῖς
καὶ οἱ Φαρισαῖοι τὰς παραβο-
λὰς αὐτοῦ, ὧν τῆς μὲν ἑτέρας ἀρχὴ
ἦν· »ἄνθρωπός τις εἶχε τέκνα δύο«,
15 τῆς δὲ λοιπῆς· »ἄνθρωπος ἦν οἰκο-
δεσπότης ὃς ἐφύτευσεν ἀμπελῶνα«,
ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει· κατὰ
μὲν τὴν ἑτέραν παραβολὴν ὅτι εἶπεν
ὁ δεύτερος υἱός· »ἐγὼ κύριε, καὶ οὐκ
20 ἀπῆλθε«, κατὰ δὲ τὴν λοιπὴν ὅτι, ἐπεὶ
εἴρηται αὕτη κατὰ τὰ λελεγμένα
κατὰ τῶν ἁμαρτανόντων προτέρων
γεωργῶν, ⟨ὁ Ἰησοῦς εἶπε⟩ τὸ »ἀρ-
θήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ
25 θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι
τοὺς καρποὺς αὐτῆς«. καὶ γνόντες
ὅτι περὶ αὐτῶν λέγει, ἐζήτη-
σαν μὲν αὐτὸν κρατῆσαι καὶ ποιῆ-
σαι αὐτῷ ὅτι ποτ' ἂν δυνηθῶσιν·
30 οὐκ ἠδυνήθησαν δέ, ἐπεὶ μὴ οἷοί τε
ἦσαν ὑπομεῖναι ὄχλων ὁρμὴν τῶν

14 Matth. 21, 28 — **15** Matth. 21, 33 — **19** Matth. 21, 30 — **23** Matth. 21, 43

4 τὰς] bis scr. H 7 κρατῆσαι αὐτὸν] *eum tenere* lat. vgl. Z. 28 u. S. 622, 17 **23** ⟨ὁ Ἰησοῦς εἶπε⟩ Kl nach Hu Lo **24** ἡμῶν H

6 diceret B 8 sicut] lat. las ὡς Koe, vgl. S. 622, 21 (lat.)

ἐχόντων τὸν Ἰησοῦν εἰς προφή-
την.
καὶ ὅσοι γε ἐπιβουλευτικῶς βούλον-
ται κρατῆσαι τὸν λόγον, ἵν' ὡς
5 κεκρατημένον παρ' αὐτοῖς καθέλω-
σιν αὐτόν, οὗτοι οὐκ ἄν ποτε κρατή-
σαιεν ⟨οὔτε θανατώσαιεν⟩ αὐτόν, τῶν
ὑπὲρ αὐτοῦ ὄχλων προφήτην τινὰ
τοῦ θεοῦ αὐτὸν ὑπολαμβανόντων,
10
περισπώντων τοὺς | βουλομένους
αὐτὸν κρατεῖν καὶ ἐπιβουλεῦσαι
15 αὐτῷ.

Μετὰ ταῦτα ἰστέον ὅτι τῶν ζη-
τούντων κρατεῖν τὸν Ἰησοῦν διαφοραί
εἰσιν. ἄλλως γὰρ οἱ ἀρχιερεῖς καὶ
οἱ Φαρισαῖοι ἐζήτουν κρατῆσαι
20 αὐτόν, ἄλλως ἡ ἐν τῷ Ἄισματι τῶν
ᾀσμάτων νύμφη. ⟨ἡ⟩ ζητήσασα αὐ-
τὸν καὶ ἀναστᾶσα καὶ κυκλοῦσα ἐν
πόλει, »ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς
πλατείαις« μόγις ποτὲ εὗρεν αὐτόν,
25 ὅτε μικρὸν παρῆλθε τοὺς τηροῦντας
καὶ κυκλοῦντας »ἐν τῇ πόλει« καὶ εὑ-
ροῦσα ἐκράτησεν αὐτόν, ὅτε καὶ
λέγει· »ἐκράτησα αὐτὸν καὶ οὐκ
ἀφήσω αὐτόν, ἕως οὗ εἰσήγαγον αὐ-
30 τὸν εἰς οἶκον μητρός μου καὶ εἰς
ταμιεῖον τῆς συλλαβούσης με«. ἀλλὰ

et quicumque insidiatorie volunt
tenere verbum veritatis, ut quan-
tum ad se mortificent eum, hi
nunquam poterunt eum tenere
neque mortificare, quoniam mul-
tus est populus qui aestimant eum
dei esse *prophetam*
et praeconem veritatis et largi-
torem salutis et ideo tenent eum
in cordibus suis,
qui et avellunt eum ab eis qui 787
volunt eum tenere et opprimere
eum.

Deinde sciendum est, quoniam
volentium Iesum tenere differen-
tia est. aliter enim *principes et Pha-
risaei* quaerebant *eum tenere*, aliter
autem illa sponsa quae in Canticis
canticorum quaerebat eum et sur-
gens ⟨circum⟩ ibat in civitatem, »in
plateis et ⟨in⟩ nundinis« et vix in-
venit eum, postquam modicum per-
transiit custod⟨ient⟩es et circume-
untes »in civitate«, et inveniens
tenuit eum, quando et dixit:
»tenui eum et non dimittam eum,
donec introducam eum in domum
matris meae, et in cubiculum
eius quae concepit me«. haec enim

20ff Vgl. Cant. Cant. 3, 2—4 — 28 Cant. Cant. 3, 4

1 εἰς] ὡς M 4 λόγον + *veritatis* lat. 7 ⟨οὔτε θανατώσαιεν⟩ αὐτόν Kl nach Diehl Koe, vgl. lat. αὐτοῦ M H 7 τῶν] ⟨πολ⟩λῶν Koe, vgl. lat. 20 ἄλλως + *autem* lat. 21 ⟨ἡ⟩ Kl, vgl. lat. 26, 27 αὐτὸν ἐν τῇ πόλει καὶ εὑροῦσα ἐκράτησεν M H ~ Hu, vgl. lat.

10 praeconium y 13 avellunt eum R G avellent eum B avellent L 21f surgens B Pasch subiens L ardens R G 22f ⟨circum⟩ u. ⟨in⟩ Diehl vgl. gr. 24 postquam + autem L 25 custod⟨ient⟩es Diehl, vgl. gr. 31 enim] l. autem? Kl, vgl. gr.

καὶ αὐτὴ ⟨αὕτη⟩ ἡ νύμφη κατ’ ἀρχὰς
μὲν τοῦ Ἄισματος τῶν ᾀσμάτων »ἐκρά-
τησά« φησιν »αὐτὸν εἰς οἶκον μητρός
μου καὶ εἰς ταμιεῖον τῆς συλλαβού-
5 σης με«, πρὸς δὲ τῷ τέλει τοῦ αὐτοῦ
βιβλίου, ὡς προκόψασα καὶ ἑτέρως
αὐτὸν μέλλουσα κρατεῖν καὶ βέλτιον
παρὰ τὸ πρότερον, φησίν· »εἶπα·
ἀναβήσομαι ἐν τῷ φοίνικι, κρατήσω
10 τῶν ὕψεων αὐτοῦ«. ἵνα δὲ νοήσῃς
τοὺς ζητοῦντας *αὐτὸν κρατῆσαι*
ἀρχιερεῖς καὶ Φαρισαίους καὶ μὴ
κρατοῦντας αὐτόν. κατανόησον ὅτι
ἐπὶ μὲν τῶν ἄλλων παρὰ τὸν Χριστοῦ
15 λόγον λόγων οἷόν τέ ἐστι *κρατῆσαι*
καὶ περιδράξασθαι ⟨καὶ χωρίσαι⟩
τοῦ νοῦ (τῶν ὁτιποτοῦν

20 δογματισάντων) καὶ τεθεωρημένως
ἀνατρέψαι αὐτὸν
καὶ (ὡς ἡ γραφὴ ὠνόμασε) συμβιβά-
σαι. ***

25

οὕτω γὰρ ὁ κατὰ τὸ εὐαγγέλιον σο-
φός, ὡς »πνευματικὸς« ἀνακρίνων
30 »πάντα. αὐτὸς δὲ ὑπ’ οὐδενὸς« ἀνα-
κρινόμενος. ἀνακρίνει μὲν καὶ βα-
σανίζει καὶ διελέγχει τοὺς ἄλ-

eadem sponsa in principio qui-
dem Cantici canticorum sic dicit:
»tenui eum in domo matris meae
et in cubiculum eius quae con-
cepit me«, circa finem autem
ipsius libri quasi iam provecta
et aliter eum tentura, melius
quam in primis, sic dicit: »dixi:
ascendam super palmam et te-
neam altitudines eius«. ut autem
intellegas, qui sunt volentes *eum*
tenere principes et Pharisaei non
autem tenuerunt, considera quo-
niam alia quidem verba extra
verbum Christi possibile est con-
prehendere et *tenere* et separare
de sensu (eorum videlicet qui aliud
qualecumque
extra veritatem
habuerint dogma) et manifeste in
inritum eum facere possibile est.
verbum autem veritatis nemo
potest conprehendere (id est in-
tellegere) neque *tenere* (id est,
convincere) neque separare (a
sensu credentium) neque mor-
tificare (id est destruere).
dicit enim apostolicus sermo:
»spiritalis diiudicat omnia, ipse
autem a nemine diiudicatur«,
diiudicat enim et discutit et
convincit alia verba, sive sapien-

2 Cant. Cant. 3, 4 — **8** Cant. Cant. 7, 8 — **22** Vgl. I. Kor. 2, 16 — **29** Vgl. I. Kor. 2, 15

1 ⟨αὕτη⟩ Kl Koe, vgl. lat. **16** ⟨καὶ χωρίσαι⟩ Diehl, vgl. lat. **23** *** Kl, vgl. lat.; das dem μὲν Z. 14 entsprechende δὲ fehlt im gr. Koe

3 domum B **20** habuerunt B | in < (G) B **30** diiudicatur] iudicatur L **32/33** sapientium Kl, vgl. gr. sapientiam x

λους λόγους εἴτε τῶν τοῦ κόσμου σοφῶν | εἴτε τῶν ἐν ταῖς αἱρέσεσι διαπρέπειν δοκούντων, οὐ κατακρίνεται δὲ οὐδὲ καταλαμβάνεται ὁ ἐν
5 αὐτῷ νοῦς τοῦ Χριστοῦ οὐδὲ κρατεῖται ὑπὸ τῶν προθεμένων αὐτὸν ἀνατρέπειν· »τίς γὰρ ἔγνω νοῦν κυρίου, ὃς συμβιβάσει αὐτόν;« καὶ σαφὲς ὅτι, εἴπερ μέλλει τις συμβιβάσαι
10 τινὸς νοῦν, πρότερον αὐτὸν γνώσεται καὶ μετὰ τοῦτο συμβιβάσει· »νοῦν« δὲ »κυρίου τίς« γνώσεται »ὃς συμβιβάσει αὐτόν«;

15 ἁλώσεται γὰρ ὑπ' αὐτοῦ καὶ εἴξει αὐτῷ. καὶ ταῦτα δέ μοι λελέχθω διὰ τὸ καὶ ζητοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους, ἐπεὶ εἰς προφήτην αὐ-
20 τὸν εἶχον.

tium huius mundi sive haereticorum, non autem diiudicatur 788 neque conprehenditur sensus, qui est in Christo, neque coinquinatur ab eis qui proponunt eum inritum facere; »quis enim cognovit sensum domini, qui instruet eum?« et manifestum est, quoniam qui instructurus est sensum alicuius, primum cognoscit eum et post haec instruet. »sensum« autem »domini« nemo cognoscit, propterea nemo est »qui instruat eum«.

14. Πλὴν κἂν εὐφημῶσιν οἱ ὄχλοι τὸν Ἰησοῦν, φρονοῦσι μέν τι περὶ αὐτοῦ ἀληθές, οὐ μὴν ⟨καὶ⟩ τὸ μέγεθος συνιᾶσιν αὐτοῦ. ἦν μὲν γὰρ
25 Ἰησοῦς καὶ προφήτης, ὡς δῆλον τῷ νοήσαντι τὸ »προφήτην ἐκ τῶν ἀδελφῶν ὑμῶν ἀναστήσει ὑμῖν κύριος ὁ θεὸς ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ« ὁ προ-
30 φήτης ἐκεῖνος. ὃς δ' ἂν »μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται«.

14. Qui *habebant tanquam prophetam eum*, sapiunt quidem aliquid de eo quod verum est, non autem et magnitudinem eius intellegunt. erat enim Iesus et propheta quidem, sicut ostenditur intellegentibus ex eo quod scriptum est: »prophetam vobis suscitabit dominus deus vester de fratribus vestris tanquam me; ipsum audite secundum omnia quaecumque locutus fuerit«. quicumque autem »non audierit prophetam illum, interibit

7ff I. Kor. 2, 16 — 26ff Act. 3, 22f, vgl. Deut. 18, 15. 19

5 τοῦ χ̅υ̅ νοῦς H | κρατεῖται] lat. las μιαίνεται? Diehl 12 γνώσεται; + ⟨τίς οὖν ἔσται⟩? Kl, vgl. lat. 19 ἐπεὶ + καὶ H 23 ⟨καὶ⟩ Kl, vgl. lat. 31 τοῦ—ἐκείνου < M

7 instruet Koe instruat x 10. 12 l. cognoscet? Kl, vgl. gr. 28 Wortstellung wie im NT, gegen gr. Koe 31 audietis Diehl, vgl. gr.

πλὴν οὐχ ἡ ὑπεροχὴ αὐτοῦ ἐν τῷ προ-
φήτην αὐτὸν εἶναι ἦν ἀλλ' ἐν τῷ υἱὸν
θεοῦ πρωτότοκον »πάσης κτίσεως«
5
καὶ εἰκόνα »τοῦ θεοῦ τοῦ ἀοράτου«,
ἐν ᾧ »ἐκτίσθη τὰ πάντα ἐν τῷ οὐρα-
νῷ καὶ ἐπὶ τῆς γῆς,
εἴτε ὁρατὰ εἴτε ἀόρατα«,
10 καὶ τὰ ἑξῆς. καὶ μᾶλλον ἦν αὐτοῦ ἡ
ὑπεροχὴ ἐν τῷ εἶναι αὐτὸν σοφίαν
τὴν λέγουσαν· »ὁ θεὸς ἐκτήσατό με
ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«,
πρὸ τοῦ τι ποιῆσαι,
15 καὶ »πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με
ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι«
καὶ τὰ ἑξῆς. καὶ τούτους γε τοὺς
ὄχλους οὕτως φρονοῦντας περὶ αὐ-
τοῦ καὶ ἑτοίμως ἔχοντας ὑπερπολε-
20 μεῖν αὐτοῦ πρὸς τοὺς πολεμοῦντας,
φοβοῦνται οἱ ἀρχιερεῖς καὶ οἱ
Φαρισαῖοι, καὶ οὐ δύνανται, ἵν'
ἐπιβουλεύσωσι θέλοντες κρατῆσαι
τοῦ Ἰησοῦ,
25 κρα|τῆσαι αὐτοῦ. ἐνταῦθα μὲν οὖν
γέγραπται· ἐπεὶ εἰς προφήτην
αὐτὸν εἶχον· παρὰ τοῦτο δ' ἂν
ποιήσαις ὅτι
οἱ ὄχλοι, κἂν μὲν τῇ λέξει ὡς προ-
30 φήτην αὐτὸν ἔχωσιν, εἰς ὅ τι ποτ'
ἂν ἔχωσιν αὐτόν, πολλῷ ἔλαττον
ἔχουσιν αὐτὸν οὗ ἐστιν,

789

de populo«.
tamen eminentia eius non erat in eo quod erat propheta, sed in eo quod erat filius dei, primogenitus universae creaturae,

in quo creata sunt omnia in caelis et in terris«

et cetera. et eminentia eius erat in eo, quod erat sapientia dicens: »deus creavit me in principio viarum suarum, in opera sua«, priusquam aliquid faceret

et cetera. istas autem *turbas* sic sapientes de eo et paratas pugnare pro eo contra inpugnantes timent *principes et Pharisaei*, et non possunt insidiari Iesu volentes eum *tenere*.

et quamvis *quasi prophetam eum habentes* *** turbae nihil magnum sapiebant de divinitate ipsius,

4ff Vgl. Kol. 1, 15f — 12. 15 Prov. 8, 22f (mit ἐκτήσατο: Philo de ebr. § 31 = I, 362 M und Α' Σ' Φ' nach Euseb de eccl. theol. III, 2, 15 = IV, 142ff)

12 ἐκτήσατο] so Orig. w. e. sch. nur hier (doch vgl. App. I u. S. 587, 29), dagegen *creavit* lat., = LXX ἔκτισε 29 μὲν Koe μὴ M H | ὡς] auch lat. εἰς H

10 eius + <magis> ? Kl, vgl. gr. 11 dicens ϱ dicente L dicente inquit y 12 deus] dominus L 18 paratas μ paratos x 30 *** Diehl, vgl. gr.

οὐ φθάνοντες οὐδὲ ἐπὶ τὴν »ἐκ μέ-
ρους« γνῶσιν
τῶν »ἐκ μέρους« αὐτὸν γινωσκόντων
5 καὶ οὐδὲν ⟨ἄξιον⟩ τρανοῦντες περὶ
αὐτοῦ.

Τοῦτο δὲ λέγω περὶ τῶν ἀλη-
θῶς περὶ αὐτοῦ φρονούντων. οὐ νο-
μιστέον γὰρ εἶναι »ὑπὲρ« αὐτοῦ τοὺς
10 τὰ ψευδῆ φρονοῦντας περὶ αὐτοῦ
φαντασίᾳ τοῦ δοξάζειν αὐτόν, ὁποῖοί
εἰσιν οἱ συγχέοντες πατρὸς καὶ υἱοῦ
ἔννοιαν καὶ τῇ ὑποστάσει ἕνα διδόν-
τες εἶναι τὸν πατέρα καὶ τὸν υἱόν,
15 τῇ ἐπινοίᾳ μόνῃ καὶ τοῖς ὀνόμασι ⟨μό-
νοις⟩ διαιροῦντες τὸ ἓν ὑποκείμενον.
καὶ οἱ ἀπὸ τῶν αἱρέσεων
φαντασίᾳ τοῦ μεγάλα περὶ αὐτοῦ
φρονεῖν »ἀδικίαν εἰς τὸ ὕψος« λα-
20 λοῦντες καὶ κακῶς λέγοντες τὸν
δημιουργὸν οὐκ εἰσὶν »ὑπὲρ« αὐτοῦ·
οὐ γάρ εἰσι »μετ'« αὐτοῦ καὶ διὰ
τοῦτό εἰσι »κατ'« αὐτοῦ, »ὁ γὰρ
μὴ ὢν (φησὶ) μετ' ἐμοῦ κατ' ἐμοῦ
25 ἐστιν«. οὕτω δὲ κἂν συνάγωσιν οἱ
μὴ τὰ ἀληθῆ περὶ τοῦ υἱοῦ φρο-
νοῦντες ἐν τῷ ὀνόματι Ἰησοῦ, σκορ-
πίζουσι μᾶλλον ἢ συνάγουσι. φησὶ
γὰρ ὁ σωτήρ· »καὶ ὁ μὴ συνάγων
30 μετ' ἐμοῦ σκορπίζει«· καὶ πρόσχες

tamen principes et Pharisaei ne-
que eorum scientiam conprehen-
dere possunt,
qui »ex parte« eum cognoscunt,
nihil dignum declarantes de eo.

Hoc autem dico de his, qui
vere »pro« eo sunt. qui autem
mendaciter sapiunt ⟨de eo⟩, non
sunt »pro« eo, qui glorificare se
putant eum; quales sunt haeretici
qui confundunt patris et filii
⟨significantiam et⟩ substantiam,
unum dicentes esse patrem et
filium, suspicione sola et nomini-
bus solis dividentes eos, quos
aestimant unum:
quasi magna de eo sapere propo-
nentes »iniquitatem in excelsum«
loquuntur et male loquentes de
deo non sunt »pro« eo; nec enim
sunt »cum« eo, propterea sunt
»contra« eum, sicut dicit: »qui
non est mecum adversum me est«.
sic et si congregant qui non
sapiunt de Christo quod verum est
in nomine Iesu, dispergunt ma-
gis quam congregant, sicut ipse
dicit: »qui non congregat mecum
spargit«. et vide quia non sim-

3 Vgl. I. Kor. 13, 9 — 9. 21 Vgl. Marc. 12, 40 — 12f Vgl. Orig. fragm. in Eph. (Cramer Cat. VI, 169): οἱ συγχέοντες πατέρα καὶ υἱόν, vgl. dazu Harnack TU. 42, 4, 79f — 19 Vgl. Ps. 72, 8 — 21ff. 29 Matth. 12, 30

4 αὐτῶν H^a 5 ⟨ἄξιον⟩ Kl Koe, vgl. lat. 9 γὰρ] δὲ Koe, vgl. lat. 10 τὰ ψευδῆ] *mendaciter* lat., vgl. ἀληθῶς Z. 7 Koe 13 14 διδόντες] λέγοντες Koe, vgl. lat. 15 ⟨μόνοις⟩ Kl Koe, vgl. lat. 25 δὲ] δὴ Koe 26 μὴ < H^a

1 pharisaei] scribae G L 9 ⟨de eo⟩ Diehl Koe, vgl. gr. 13 ⟨significantiam et⟩ Diehl, vgl. gr. | substantiam] lat. las ὑπόστασιν Koe 17 aestimant] lat. las τὸ ἓν ⟨νομιζόμενον⟩ Koe 19 excelso y

ὅτι μὴ εἴρηται ἁπλῶς· »ὁ μὴ συνάγων σκορπίζει«. ἀλλὰ μετὰ ἀκριβοῦς προσθήκης τῆς »μετ' ἐμοῦ«. δεῖ γὰρ τὸν συνάγοντα μετ' αὐτοῦ (5) συνάγειν. νοήσεις δὲ τὸν μετ' αὐτοῦ συνάγοντα ἐπιστήσας τῷ »συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ παραδοῦναι τὸν τοιοῦ- (10) τον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός«· τὸ γὰρ »συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ« δηλοῖ τὸν συνάγοντα μετ' αὐτοῦ. (15) καὶ οὐκ ἂν λέγοις τὸ | »συναχθέντων ὑμῶν ἐν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ« ἁρμόζειν

τοῖς ἤτοι μετὰ τοῦ κακῶς βιοῦν (20) συνάγουσιν ἤτοι συναγομένοις

ἢ μετὰ τοῦ κακῶς καὶ ἀσεβῶς φρονεῖν περὶ τοῦ θεοῦ ἢ τοῦ Χριστοῦ αὐτοῦ.

Ταῦτα καὶ διὰ τὸ τοὺς ὄχ- (25) λους φρονοῦντας περὶ τοῦ Ἰησοῦ, τοὺς ὑπὲρ αὐτοῦ καὶ πολλῷ ἔλαττον φρονοῦντας τῆς ἀξίας αὐτοῦ, λέγεσθαι εἰς προφήτην αὐτὸν ἐσχηκέναι.

(30) συνεξετάσας δὲ τούτοις τὴν τοῦ Λουκᾶ περὶ τῶν ὁμοίων λέξιν τρανότερον (οἶμαι) κατασκευάσεις τὰ προειρημένα· ὅστις φησί· »καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ (35) ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμ-

pliciter dixit: qui non congregat spargit« sed cum cauta adiectione: »qui non congregat mecum«; qui enim congregat, cum Christo congregare debet. quid sit autem congregare cum Christo intelleges, si consideraveris quod dicit apostolus: »congregatis vobis et meo spiritu cum virtute domini nostri Iesu Christi tradere eum qui talis est satanae in interitum carnis«; quod enim dicit: »congregatis vobis et meo spiritu cum virtute Iesu Christi«, manifestat quid sit congregare cum eo. et hoc (790) non convenit ad eos dicere: »congregatis vobis cum virtute domini Iesu Christi«.

qui enim congregant cum male

sapientibus de Christo, non congregant cum Christo.

Et manifestius hunc sensum habes apud Lucam ita dicentem: »et erat docens cottidie in templo; principes autem sacerdotum et scribae et seniores populi volebant eum perdere, et non inveniebant

6. 11. 15 I. Kor. 5, 4f — 33 Luc. 19, 47f

22 τοῦ[1] < H 24/25 ὄχλους ⟨ἀληθῶς⟩ Koe 26 [καὶ] Diehl καί⟨τοι⟩ Koe

19—23 Koe sieht in gr. und lat. hier nicht Reste des gleichen Satzstückes, vgl. Nachträge

ματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ
λαοῦ ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ
οὐχ εὕρισκον τί ποιήσουσιν· ὁ γὰρ
λαὸς ἅπας ἐξεκρέματο αὐτοῦ ἀκού-
5 ων«. καὶ ἐν τούτοις γὰρ δηλοῦται
ὅτι οἱ τῶν Ἰουδαϊκῶν προϊστάμενοι
παρανόμως ὄχλων (ὀνομαζόμενοι ἀρ-
χιερεῖς) καὶ γραμματεῖς (ἐχθροὶ τῷ
Ἰησοῦ) καὶ πρεσβύτεροι τοῦ λαοῦ
10 ζητοῦσι μὲν τὸν Ἰησοῦν ἀπολέσαι
καὶ ἀφανίσαι τὸ ὄνομα αὐτοῦ ἀπὸ
τῶν ἀνθρώπων καὶ τὴν περὶ αὐτοῦ
πίστιν· οὐχ εὑρίσκουσι δὲ τί ποιή-
σουσιν εἰς ὅπερ βούλονται ἀνύσαι,
15 ἅτε προληφθέντος παντὸς τοῦ εἰς
αὐτὸν πιστεύσαντος λαοῦ καὶ ἐξηρ-
τημένου τῆς εἰς τὸν Ἰησοῦν ἀγά-
πης καὶ ἐκκρεμαμένου ἐν τῷ ἀκού-
ειν τῆς διδασκαλίας αὐτοῦ καὶ τοῦ
20 λόγου αὐτοῦ. καὶ ἔστι γε τοῦτο
ἰδεῖν μέχρι τοῦ δεῦρο, τίνα τρόπον
ζητοῦσι καθελεῖν οἱ προβαλλόμενοι
τὴν θεραπείαν τοῦ θεοῦ ὡς ἀρ-
χιερεῖς αὐτοῦ καὶ τὴν θείαν γραφὴν
25 ὡς γραμματεῖς καὶ τὸ ἀρχαῖον
ὡς [οἱ] πρεσβύτεροι τοῦ λαοῦ, ⟨καὶ⟩
ζητοῦσιν ἀπολέσαι τὸν Ἰησοῦν καὶ
ἐξαφανίσαι τὴν περὶ αὐτοῦ δόξαν,
πάντα εἰς τοῦτο ἀκολούθως τῷ
30 βουλήματι τῶν πατέρων αὐτῶν πράτ-
τοντες, οὐ μὴν εὑρίσκοντες τί ποιή-
σουσιν, ἵνα τὸν ἐξηρτημένον τοῦ
Ἰησοῦ λαὸν ἀποστήσωσιν αὐτοῦ
καὶ ἀπαλείψωσιν αὐτὸν ἀπὸ τῆς
35 διανοίας αὐτῶν.

quid facerent; populus enim omnis suspensus erat in eum audiens eum«. et in his ostenditur, quoniam qui praesunt inique Iudaicis turbis et nominantur principes sacerdotum et scribae et seniores populi, inimici Christi, volunt quidem perdere Christum et disperdere nomen eius ex hominibus et fidem de eo, sed non inveniunt quid faciant secundum quod volunt, quoniam praeveniens omnis populus, qui credidit ei, pendet in dilectione ipsius et pendet, ut audiat doctrinam eius ⟨et verbum eius⟩. et est hoc usque nunc videre, quomodo quaerunt exterminare, qui profitentur esse se sacerdotes dei et scripturas eius cognoscere quasi scribae et antiquitatem se tenere putantes quasi seniores, et quaerunt perdere Iesum et exterminare fidem veritatis ipsius, omnia consequenter secundum voluntatem patrum suorum agentes. non tamen inveniunt quid faciant, quia non possunt populum Christi pendentem in eum ab eo divellere neque delere eum de sensu eorum.

3. 13. 31 ποιήσωσιν? Kl 7 ὄχλων Hu, vgl. lat. λόγων M H 26 [οἱ] Kl, vgl. Z. 23. 25 | ⟨καὶ⟩ Kl nach Koe, vgl. lat. 33 ἀποστήσωσιν] lat. las ἀποσπάσωσιν Diehl

5 turbis B L verbis R G, s. zu Z. 7 gr. S. 627, 17 gr. 14 dilectionem G L 16 ⟨et verbum eius⟩ Diehl, vgl. gr. 21 et y* essent L

Τάχα δὲ καὶ πάντες οἱ ἡντινοῦν δόξαν ἔχοντες περὶ τοῦ θείου καὶ πρεσβεύοντες περὶ αὐτῆς ἀλλοτρίως τῆς Ἰησοῦ διδασκαλίας ἀπολέσαι (5) μὲν θέλουσι τὸν Ἰησοῦν, οὐ δύνανται δέ, ἐπεὶ πᾶς ὁ ὄχλος αὐτοῦ ἐκκρέμαται ἀκούων. ἀλλὰ καὶ οἱ οἱστισινοῦν συγγράμμασιν ἧς δήποτε σοφίας προσέχοντες καὶ διὰ (10) τοῦτο τροπικῶς λεγόμενοι γραμματεῖς

ἀπολέσαι θέλουσιν ἐξ ἀνθρώπων τὸν Ἰησοῦν. οὐ μὴν εὑρίσκουσιν εἰς τοῦτο ἀνύσιμον ὃ ποιήσουσι.

(15) καὶ πάντες δὲ οἱ πρεσβύτεροι, ⟨οἱ ἀλλότριοι⟩ τῆς Ἰησοῦ διδασκαλίας λόγιοι Ἑλλήνων καὶ βαρβάρων, ἀπολέσαι θέλουσι τὸν Ἰησοῦν. ἀλλ᾽ οὐ δύνανται νικώμενοι ἀπὸ (20) παντὸς τοῦ λαοῦ Ἰησοῦ, ἐκκρεμαμένου τοῦ διδασκάλου ἐν τῷ ἀκούειν

καὶ συναισθάνεσθαι τῆς διδασκαλίας αὐτοῦ. καὶ ὁ Μᾶρκος δὲ τὰ πα(25)ραπλήσια ὑποβάλλει λέγων· »καὶ ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν· ἐφοβοῦντο γὰρ αὐτόν. ὅτι πᾶς ὁ λαὸς ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ (30) αὐτοῦ«. πᾶς γὰρ ὁ λαὸς Χριστοῦ ἐκπλήσσεται »ἐπὶ τῇ διδαχῇ αὐτοῦ«, καὶ οὐδὲν δύναται γενέσθαι ὑπὸ τῶν προειρημένων ἀρχιερέων καὶ γραμματέων, ζητούντων ἀπολέσαι τὸν (35) Ἰησοῦν ἐξ ἀνθρώπων καὶ ἐκλῦσαι

Forsitan autem et omnes, qui non recte sapiunt de divinitate sed aliud loquuntur de ea quam Christi est doctrina, perdere volunt Christum, non autem possunt, quia totus populus fidelis pendet in eum audiens eum. sed et quicumque ad sensum scripturarum extranearum aspiciunt, et ideo (791) moraliter dicuntur scribae,

et omnes presbyteri alieni a Christi doctrina, id est philosophi gentium ceterorumque barbarorum prudentes, perdere volunt Christum, non autem possunt, victi a populo Christi, pendente

et audiente doctrinam ipsius.

25. 31 Marc. 11, 18

6 ὄχλος + *fidelis* lat. 8 γράμμασιν M 15 16 ⟨οἱ ἀλλότριοι⟩ Kl, vgl. lat. 17 λόγιοι Koe, vgl. lat. λόγοι M H

4 Christi est] est ex christi G L 9 et y* < L 15 alieni presbyteri L

τὴν ἔκπληξιν παντὸς τοῦ λαοῦ αὐτοῦ.

15. *Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πάλιν ἐν παραβολαῖς αὐτοῖς λέγων· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ποιῶν γάμους τῷ υἱῷ αὐτοῦ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καὶ τὰ ἑξῆς ἕως τοῦ· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί* (Matth. 22, 1—14).

Καὶ αὕτη ἡ παραβολὴ ὁλοσχερέστερον νοουμένη δόξει σαφὴς εἶναι, ἐν ᾗ ἄνθρωπος μὲν βασιλεὺς τροπικῶς ὁ θεὸς καὶ πατὴρ Χριστοῦ Ἰησοῦ εἶναι λέγεται, οἱ δὲ γάμοι τοῦ υἱοῦ τοῦ βασιλέως ἡ ἀποκατάστασις τῆς νύμφης ἐκκλησίας Χριστοῦ πρὸς Χριστὸν τὸν νυμφίον αὐτῆς. οἱ δὲ ἀποστελλόμενοι δοῦλοι *καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους* οἱ κατὰ καιρόν εἰσι προφῆται ἐπιστρέφοντες τοὺς ἀπὸ τοῦ λαοῦ διὰ τῶν προφητειῶν ἐπὶ τὴν εὐφροσύνην ἀγομένην ἐπὶ τῇ ἀποκαταστάσει τῆς ἐκκλησίας πρὸς Χριστόν. οἱ δὲ *μὴ θέλοντες ἐλθεῖν* προηγουμένως ὄντες κλητοὶ οἱ μὴ ἀκούον-

15. *Et respondens Iesus iterum dixit eis in parabolis dicens: simile est regnum caelorum homini regi, qui fecit nuptias filio suo* et cetera.

Haec quoque parabola simpliciter intellecta videtur ostendere, quod homo rex moraliter deus et pater domini nostri Iesu Christi dicatur, nuptiae autem filii regis restitutio sponsae ecclesiae ⟨Christi⟩ ad Christum sponsum ipsius. qui autem mittuntur servi *vocare invitatos ad nuptias* secundum tempus habentur prophetae, convertentes ex populo per suas prophetias ad laetitiam restitutionis ecclesiae ad Christum. qui autem noluerunt *venire* in primis invitati, qui noluerunt ⟨erant⟩

15ff Vgl. Hier. in Matth. 174 C: *rex iste, qui fecit nuptias filio suo, deus omnipotens est; facit autem nuptias domino nostro Iesu Christo et ecclesiae* — 20f Vgl. Act. 3, 21 — 22ff Vgl. C[c] Nr. 59 (Anf.) Or. C[l] Nr. 242 Or.

3 vorher: *Περὶ τῶν καλουμένων εἰς τοὺς γάμους* H 14 *δόξῃ* H[a] 30 *ἐλθεῖν* < H 31 *ἀκούειν ⟨θέλον⟩τες* Koe, vgl. lat.

3f et — dicens y* secundum mathm. In illo tempore dixit Iesus discipulis suis L 10 et cetera + Omelia Origenis de eadem lectione L 17 domini nostri < y 20 ⟨Christi⟩ Diehl, vgl. gr. 28 ⟨erant⟩ Diehl, vgl. gr.

τες τῶν λόγων τῶν προφητῶν ἦσαν, οἱ δὲ ἀποστελλόμενοι ἄλλοι δοῦλοι | ἄλλο ἄθροισμα προφητῶν, τὸ δὲ ἡτοιμασμένον ἄριστον. ἐν ᾧ οἱ 5 ταῦροι τοῦ βασιλέως καὶ τὰ σιτευτὰ αὐτοῦ τεθυμένα ἦν, αἱ στερεαὶ ἦσαν καὶ λογικαὶ τῶν μυστηρίων τοῦ θεοῦ τροφαί· οὕτω δὲ καὶ πάντα ἕτοιμα, οἱ περὶ πάντων τῶν 10 ὄντων λόγοι ⟨ἕτοιμοι⟩, οὓς (»ὅταν ἔλθῃ τὸ τέλειον«) οἱ τῇ κλήσει ἀκολουθήσαντες φάγονται καὶ πίονται. ἐπεὶ δὲ τῶν κεκλημένων διὰ τῶν προφητῶν οἱ μὲν μόνον ἠμέλουν 15 τῶν λεγομένων καὶ τοῖς βιωτικοῖς ἐσχόλαζον πράγμασιν, οὐ μὴν καὶ ἐπονηρεύοντο ⟨κατὰ τῶν προφητῶν, ἄλλοι δὲ καὶ ἐπονηρεύοντο⟩ κατ᾽ αὐτῶν, διὰ τοῦτο τὴν δια- 20 φορὰν αὐτῶν παραστῆσαι βουλόμενος εἶπεν· οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὃς μὲν ἐπὶ τὸν ἴδιον ἀγρόν, ὃς δὲ ἐπὶ τὴν ἐμπορίαν αὐτοῦ· οἱ δὲ λοιποὶ 25 κρατήσαντες αὐτοῦ τοὺς δούλους ὕβρισαν καὶ ἀπέκτειναν.

Εἶτα ἀκολούθως ⟨ταύτῃ⟩ τῇ ὁλοσχερεστέρᾳ διηγήσει ἡ ὀργὴ τοῦ βασιλέως νοεῖται, ἣν καὶ ὁ ἀπό- 30 στολος περὶ Ἰουδαίων ὀνομάζων

audire verba prophetarum, item alii ⟨servi⟩ transmissi alia congregatio prophetarum. praeparatum 792 autem *prandium*, in quo *tauri* et *saginata* regis *occisa* erant, ⟨erant⟩ solidae et rationabiles mysteriorum dei escae. sic autem et *omnia parata*, id est de omnibus quae necessaria sunt praeparati sermones, quos (»cum venerit quod perfectum est«) qui invitationem secuti sunt dei manducabunt et bibent. quoniam autem vocatorum per prophetas quidam quidem neglexerunt tantummodo quae dicebantur saecularibus occupati negotiis, non autem et malignati sunt adversus prophetas, alii autem et malignati sunt contra eos, ideo differentiam eorum ostendere volens dixit: *quidam quidem neglegentes abierunt, alius quidem in agrum suum, alius autem in negotiationem suam; reliqui autem tenentes servos eius iniuriis adfecerunt et occiderunt.*

Adhuc autem secundum simplicem hanc traditionem ira intellegitur regis, de qua et apostolus dicit propter Iudaeos: »praeve-

4f Anders Orig. fragm. 68 in Luc. (IX, 267, 25ff.): *ἄριστον μὲν γὰρ οἱ εἰσαγωγικοὶ λόγοι ἢ ἠθικοὶ ἢ τὰ παλαιὰ λόγια, δεῖπνον δὲ οἱ ἐν προκοπῇ λόγοι μυστικοὶ ἢ οἱ τῆς νέας διαθήκης.* — **6f** Vgl. Hebr. 5, 14 — **10** I. Kor. 13, 10 —

10 *ὄντων* (auch *Π* 247, 10) ⟨*δε*⟩*όντων* Diehl ⟨*προσηκ*⟩*όντων* Koe, vgl. lat. | ⟨*ἕτοιμοι*⟩ Kl nach Diehl Koe, vgl. lat. **12** *φάγωνται καὶ πίωνται* H **17f** ⟨*κατὰ —ἐπονηρεύοντο*⟩ Kl, vgl. lat. **27** ⟨*ταύτῃ*⟩ Diehl, vgl. lat.

2 ⟨servi⟩ Diehl, vgl. gr. **5** ⟨erant⟩ Diehl, vgl. gr. **8** apparata L **21** quidem] l. autem? Kl, vgl. gr.

λέγει· »ἔφθασε δὲ ἡ ὀργὴ ἐπ' αὐτοὺς εἰς τέλος«. εἶτα προφητεύεται ὁ κατὰ Ἰουδαίων πόλεμος καὶ ἡ ἅλωσις Ἱερουσαλὴμ καὶ ἡ ἀναί- 5 *ρεσις τοῦ λαοῦ μετὰ τὴν Χριστοῦ ἐπιδημίαν ἐν τῷ καὶ πέμψας τὸ στράτευμα αὐτοῦ ἀνεῖλε τοὺς φονεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.* 16. *τὸ δὲ* 10 *τότε λέγει τοῖς δούλοις αὐτοῦ· ὁ μὲν γάμος ἕτοιμος. οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν* 15 *εὕρητε καλέσατε εἰς τοὺς γάμους ἀναφέροιτο ἂν ἐπὶ τοὺς Ἰησοῦ Χριστοῦ ἀποστόλους λέγοντας Ἰουδαίοις· »ὑμῖν ἦν ἀναγκαῖον ἀναγγεῖλαι τὸν λόγον τοῦ θεοῦ· ἐπεὶ δὲ* 20 *ἀναξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη«. αἱ διέξοδοι οὖν τῶν ὁδῶν τὰ ⟨ἐκτὸς τῶν ἐθνῶν⟩ ἔξω τοῦ Ἰσραήλ ἐστι πράγματα, παρ' αἷς οἱ ὑπὸ τῶν ἀποστόλων* 25 *εὑρισκόμενοι καλοῦνται εἰς τοὺς γάμους,*

συναγόντων τῶν ἀποστόλων πάντας οὓς ἐὰν εὕρωσιν.

20 ὑπὲρ τοῦ μὴ παραβῆναι τὸν νόμον τοῦ θεοῦ. καὶ πολλάκις γε ἄρδην ἀπολέσθαι κεκινδυνεύκασιν ἐπὶ Ῥωμαίων βουλομένων ἀνδριάντα Καίσαρος εἰσαγαγεῖν εἰς τὸν νεὼν τοῦ
25 θεοῦ, ἀνθιστάμενοι καὶ κωλύοντες τοὺς ἰσχυροτέρους αὐτῶν γενομένους ἐκ τοῦ ἡμαρτηκέναι Ἰουδαίους. εὕρομεν δὲ ἐκ τῶν κατὰ τὸν χρόνον Τιβερίου Καίσαρος ἱστοριῶν γραφάς,
30 ὡς ἄρα ἐπὶ Ποντίου Πιλάτου ἐκινδύνευσεν ὁ λαός, τοῦ μὲν Πιλάτου βιαζομένου ἀνδριάντα Καίσαρος ἀνα-

Voluntas loci praesentis secundum textum talis mihi videtur. Iudaei propriam habentes conversationem ex lege extraneam ab omni conversatione gentium, et habentes praeceptum quod ait: »usque ad mortem certa pro veritate, et dominus pugnabit pro te«, ideo contradicebant gentibus dominantibus sibi, ut non transgrederentur legem dei. et frequenter radicitus interire periclitati sunt sub Romanis volentibus statuam Caesaris introducere in templum dei, resistentes et prohibentes fortiores super se factos propter peccata. invenimus autem in historia Iudaica, quod in tempore Tiberii Caesaris sub Pontio Pilato periclitatus est populus, Pilato quidem cogente, ut susciperent statuam Caesaris in templum, Iudaeis autem et supra

16 Sir. 4, 28 — 27ff Vgl. Josephus Ant. XVIII, 1f. 4. 11; Bell. II, 8f; Harnack TU. 42, 4, 51

8 ἀπῆλθον + ἐρὶ (!) τῶν ἐπερωτησάντων διὰ τὸν κῆνσον H 10 τὸ] ὁ (!) H am Anfang d. Zeile 15 τῆς] *omni* lat.

5.7 dic—non] Omelia Origenis de eadem lectione L 7 aut non] an non B 13 conversationem umfaßt wohl διδασκαλίαν καὶ πολιτείαν Elt 31.32 templo L

θεῖναι ἐν τῷ ναῷ τῶν δὲ καὶ παρὰ δύναμιν κωλυόντων· τὸ δ' ὅμοιον ἀναγέγραπται γεγονέναι καὶ κατὰ τοὺς χρόνους Γαΐου Καίσαρος. καὶ 5 στοχαζόμεθα ὅτι, ὅσον μὲν ἐπεσκοπεῖτο ὁ λαὸς καὶ τὸν λεγόμενον κατὰ τοὺς προφήτας φραγμὸν περιτετείχιστο »ὁ ἀμπελὼν τοῦ κυρίου οἶκος Ἰσραήλ, καὶ τὸ ἠγαπημένον 10 νεόφυτον αὐτοῦ ἄνθρωπος Ἰούδα«, οὐδὲν τηλικοῦτον ἐγένετο. τὸ παραδοξότατον δέ· αὐτὸς πρῶτος ἐτόλμησε μιᾶναι τὸν ναὸν τοῦ θεοῦ ὁ Πιλᾶτος, ᾧ παρέδωκαν τὸν Ἰησοῦν.

15

20

Καὶ κατὰ τὸν χρόνον οὖν τοῦ σωτῆρος, ἡνίκα φόρον ἐπετάχθησαν δοῦναι Ἰουδαῖοι Ῥωμαίοις, σκέψις καὶ βουλὴ ἦν ἐν Ἰουδαίοις περὶ τοῦ πότερον 25 καθήκει τοὺς ἀνακειμένους τῷ θεῷ καὶ μερίδα ὄντας αὐτοῦ διδόναι φόρον τοῖς ἄρχουσιν ἢ ὑπὲρ ἐλευθερίας πολεμεῖν, εἰ μὴ συγχωροῖντο ζῆν ὡς βούλονται,

vires suas resistentibus; similiter autem scriptum est factum et in tempore Cai Caesaris. aestimamus ergo, quoniam quamdiu quidem speculabatur populum illum deus ⟨et⟩ circumdatus fuerat saepe dominicae tuitionis quasi »vinea domini Sabaoth«,

nihil huiusmodi contingebat eis. in primis autem ipse Pilatus, cui tradiderant Christum, ausus est populum inquinare;
quod gravius erat captivitatibus universis, quoniam omnis captivitas (quam frequenter sunt passi) corporis erat vexatio, introductio autem statuae in templum animarum erat interitus.

Et in tempore ergo Christi, quando tributum ⟨Iudaei⟩ iussi sunt dare Romanis, cogitatio et consilium erat apud Iudaeos, utrum deberent qui dei populus 805 erant et portio eius, tributum dare principibus aut potius pro libertate bella suscipere, nisi permitterentur vivere sicut ipsis placebat.

2. 12 Vgl. Josephus Ant. XVIII, 1f. 4. 11; Bell. II, 8f; Harnack TU. 42, 4, 51 — 7 Vgl. Jes. 5, 2 — 8 Jes. 5, 7 — 21ff Vgl. Hier. in Matth. 177 A: *nuper . . . Iudaea subiecta Romanis . . . stipendiaria facta fuerat, et erat in populo magna seditio, dicentibus aliis . . . debere tributa persolvi . . ., Pharisaeis vero . . . e contrario nitentibus, non debere populum dei . . . humanis legibus subiacere* — 26 Vgl. Deut. 32, 9

1 λαῷ M 5 στοχαζόμεθα ⟨οὖν⟩ Koe, vgl. lat. 6 λαὸς + *deus* lat. 7 φραγμὸν + *dominicae tuitionis* lat. 8 ὁ ἀμπ.] *quasi vinea* lat. 11 ἐγένετο + *eis* lat. 28 συγχωρεῖν τὸ H

3 cai B[c] gai B[a] G L 6 ⟨et⟩ Kl, vgl. gr. 7 tuitionis] visitationis B 14 populum] lat. las λαὸν st. ναὸν 22 ⟨Iudaei⟩ Diehl, vgl. gr.

καὶ μὴ διδόναι φόρον.
καὶ ἱστόρηται ὅτι Ἰούδας μὲν ὁ Γαλιλαῖος, οὗ μέμνηται καὶ Λουκᾶς ἐν ταῖς τῶν ἀποστόλων Πράξεσιν, ἀποστήσας πολὺ πλῆθος Ἰουδαίων, ἐδίδασκε μὴ δεῖν διδόναι Καίσαρι φόρον μηδὲ κύριον ἀναγορεύειν τὸν Καίσαρα· ὁ δὲ κατὰ τὸν καιρὸν αὐτοῦ τετράρχης πείθειν ἐβούλετο τὸν λαὸν εἴκειν τῇ παρούσῃ καταστάσει καὶ μὴ αὐθαίρετον αἱρεῖσθαι πρὸς ἰσχυροτέρους πόλεμον, διδόναι δὲ τοὺς φόρους. καὶ ἡ προκειμένη δὲ τοῦ εὐαγγελίου λέξις οὐ σαφῶς μὲν ⟨ἀλλὰ⟩ ἐμφαίνει τὰ τοιαῦτα. τῷ δὲ δυναμένῳ βεβασανισμένως ὁρᾶν τὸ ἐκκείμενον ῥητὸν παρίστησι ταῦτα οὕτως ἔχειν. χώραν γὰρ οὐκ εἶχον ⟨ἂν⟩ Φαρισαῖοι βουλόμενοι παγιδεῦσαι ἐν λόγῳ τὸν Ἰησοῦν, ἀποστείλαντες ἑαυτῶν τοὺς μαθητὰς μετὰ τῶν Ἡρῳδιανῶν πυθέσθαι τοῦ Ἰησοῦ, πότερον ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ, εἰ ὁμολογούμενον ἦν ὅτι οὐ δεῖ δοῦναι,

καὶ εἰ συμπεφωνημένον ἦν τὸ ⟨μὴ⟩ διδόναι.

26. Καὶ ὅρα εἰ μὴ δηλοῦται τὰ τῆς ἐκκειμένης ἱστορίας ἐκ τοῦ τοὺς

et refert historia, quod Iudas quidem Galilaeus, cuius memor est et Lucas in Actibus apostolorum, avellens multam multitudinem Iudaeorum docebat non oportere Caesari dare tributum neque dominum Caesarem appellare; qui autem erat in tempore illo tetrarcha suadere populo festinabat, ut statui praesenti consulerent et non voluntarie contra fortiores susciperent bellum, sed adquiescerent dare tributum. et sermo quidem evangelii praesentis non quidem manifeste, tamen haec ipsa ostendit. qui autem diligenter considerat verborum praesentium sensum, inveniet hoc et in loco praesenti. nec enim haberent occasionem *Pharisaei* volentes Christum capere *in sermone*, mittentes *discipulos* suos *cum Herodianis* ut eum interrogarent, utrum *liceret Caesari dare tributum aut non*, si manifestum apud eos fuisset, quoniam non oportet dare, et si consonantia voluntatum apud eos fuisset, ut non darent tributum.

26. Et vide nisi manifestatur historia illa ex eo, quod volentes

2ff Vgl. Act. 5, 37; Josephus Ant. XVIII, 1f — 8ff Vgl. Hieron. in Matth. 177 B: *Caesar Augustus Herodem . . . regem Iudaeis constituerat, qui tributis praeesset et Romano pareret imperio*

15 ⟨ἀλλὰ⟩ Kl Koe, vgl. lat. 19 ⟨ἂν⟩ Diehl, vgl. lat. 25. 28 ἦν + *apud eos* lat. 25 δεῖ δοῦναι Kl nach Hu, vgl. lat. διδόναι M H 28 τὸ ⟨μὴ⟩ Koe, vgl. lat. ὅτι M H

2 3 quidem ϱ quidam x* Pasch 4 et x Pasch < ϱ 5 avellens x* evellens ϱ 7, 8 dominum + neque y 24 eum] l. Iesum? Diehl, vgl. gr. 26 aut] an B

βουλομένους παγιδεῦσαι *ἐν λόγῳ* τὸν Ἰησοῦν Φαρισαίους μὴ μόνους ἀπεσταλκέναι *τοὺς μαθητὰς ἑαυτῶν* πευσομένους περὶ τοῦ κήνσου,
5 ἀλλὰ *μετὰ τῶν Ἡρῳδιανῶν*. εἰκὸς γὰρ ὅτι ἐν τῷ λαῷ τότε ¦ οἱ μὲν διδάσκοντες τελεῖν τὸν φόρον Καίσαρι ἐκαλοῦντο Ἡρῳδιανοὶ ὑπὸ τῶν μὴ θελόντων τοῦτο γίνεσθαι·
10 οἱ δὲ φαντασίᾳ ἐλευθερίας κωλύοντες διδόναι τὸν φόρον τῷ Καίσαρι, ἐδόκουν εἶναι οἱ ἀκριβοῦντες τὰ Ἰουδαίων μαθήματα Φαρισαῖοι.

⟨Pharisaei⟩ Christum capere *in sermone* non solum miserunt *discipulos* suos interrogantes de censu, sed *cum Herodianis*. forsitan enim in populo tunc qui quidem docebant oportere dare tributum *Caesari*, vocabantur Herodiani ab his, 806 qui hoc facere recusabant; qui autem prospectu libertatis dare tributum vetabant, videbantur esse Pharisaei subtilitatem Iudaicarum disciplinarum cautius observantes,

εἰ δὲ μὴ βούλεταί τις ταῦθ᾽ οὕτως
15 ἔχειν, δηλωσάτω πῶς βουλόμενοι αὐτὸν παγιδεῦσαι *ἐν λόγῳ ἀποστέλλουσι τοὺς ἑαυτῶν μαθητὰς* οἱ Φαρισαῖοι. ἀποστέλλουσι δὲ καὶ τοὺς Ἡρῳδιανοὺς πευσομένους
20 περὶ τοῦ φόρου. ποία γὰρ παγὶς ἦν ἐν τῷ ἀποκρίνεσθαι τὸν Ἰησοῦν, εἴτε βούλεται κῆνσον δίδοσθαι Καίσαρι εἴτε μή,
εἰ μὴ (ὡς ἀποδεδώκαμεν) κωλύοντος
25 μὲν αὐτοῦ διδόναι *κῆνσον Καίσαρι*, ἔμελλον Ἡρῳδιανοὶ παραδιδόναι αὐτὸν Ῥωμαίοις, ὡς ἀποστασίαν διδάσκοντα, ἐπιτρέποντος δὲ οἱ Φαρισαῖοι ἔμελλον κατηγο-
30 ρεῖν τοῦ Ἰησοῦ ὡς *βλέποντος εἰς πρόσωπον ἀνθρώπου* μᾶλλον ἤπερ *διδάσκοντος ἐν ἀληθείᾳ τὴν ὁδὸν τοῦ θεοῦ*; βασάνισον δὲ παρὰ σαυτῷ ὅτι οἱ τῶν Φαρισαίων

ut si quidem Christus responderet non oportere Caesari dare tributum, traderent eum Romanis Herodiani quasi recessionis auctorem, si autem iuberet dari, *Pharisaei* accusarent eum *quasi personas hominum* aspicientem magis quam docentem *viam dei in veritate*. considera autem et vide, quoniam Pharisaeorum discipuli dicentes: *magister, scimus quia verax es et*

5ff Vgl. Hieron. in Matth. 177 C: *seu quos inludentes Pharisaei, quia Romanis tributa solvebant, Herodianos vocabant* — 6f Vgl. *Π* 252, 3f

7 *τελεῖν*] *oportere dare* lat. 15 *δηλωσάτω* Koe *σωσάτω* M H 21 *ἀποκρίνασθαι* H 22 *διδόναι* M 34 *σαυτῷ* + *et vide* lat.

1 ⟨Pharisaei⟩ Diehl, vgl. gr. 5 6 docebant Kl, vgl. gr. dicebant x 27 Herodiani Diehl Kl, vgl. gr. l. secessionis? Koe 28 dare B 32 autem ⟨tecum⟩ Diehl, vgl. gr.

μαθηταὶ λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ
5 οὐδενός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπου οἷον προκαλοῦνται αὐτὸν διὰ ⟨τούτου⟩ τοῦ ἐπαίνου ἐπὶ τὸ μὴ λαβεῖν πρόσωπον τῶν Ἡρωδιανῶν καὶ τῶν οἳ ἐφρόνουν
10 τὰ Καίσαρος, ἵνα ἀποφηνάμενος κατὰ τὸ βούλημα τῶν Φαρισαίων περὶ | τοῦ μὴ δεῖν Καίσαρι διδόναι φόρον, ὑπ' αὐτῶν παραδοθῇ τοῖς Ἡρωδιανοῖς. ὅρα δὲ καὶ τὸ γνοὺς δὲ ὁ Ἰησοῦς
15 τὴν πανουργίαν αὐτῶν εἶπε· τί με πειράζετε, ὑποκριταί;

20

οὐκοῦν ᾔδει πειραζόμενος ὑπὸ τῶν
25 Φαρισαίων μετὰ πανουργίας αὐτῷ προσερχομένων, ἵν' ὅ τί ποτ' ἂν ἀποκρίνηται ἐκ τῆς ἀποκρίσεως ἐπιβουλεύσωσιν αὐτῷ.

Ταῦτα μὲν οὖν ἐκ τοῦ προκειμέ-
30 νου εὐαγγελίου λελέχθω εἰς τὸν τόπον ὡς πρὸς τὴν λέξιν, οἷς συνᾴδει καὶ τὰ τοῦ Μάρκου καὶ τοῦ Λουκᾶ ῥητὰ

viam dei in veritate doces, et non tibi cura est de aliquo, nec enim aspicis personas hominum, provocabant eum per huiusmodi laudem, ut non acciperet Herodianorum personas, qui partes Caesaris defendebant, ut respondens secundum voluntatem Pharisaeorum, quia non licet *Caesari* dare tributum, traderetur Herodianis ⟨ab iis⟩. unde et dominus *videns* 807 *nequitiam eorum* ita *dixit*: *quid me temptatis, hypocritae?*

ostendite mihi nomisma census. at illi obtulerunt ei denarium. et ait eis Iesus: cuius est imago haec et suprascriptio? dicunt ei: Caesaris. tunc ait eis: reddite ergo quae sunt Caesaris Caesari, et quae dei sunt deo.

6ff Vgl. Hieron. in Matth. 178 A: *blanda et fraudulenta interrogatio illuc provocat respondentem, ut magis deum quam Caesarem timeat et dicat non debere tributa solvi, ut statim audientes Herodiani seditionis contra Romanos principem teneant* — 15 Zu πανουργίαν vgl. Hautsch TU. 34, 2ª, 75

6 ἀνθρώπου (so G Θ usw. im NT)] *hominum* lat. 7 ⟨τούτου⟩ Diehl Kl Koe, vgl. lat. 9 καὶ τῶν < lat. 10 lat. las ἀποκρινάμενος? Diehl 24 ἤδη M

1 in veritate doces G 2 curae B 7 ut y* (Pasch) aut L 11 ⟨ab iis⟩ Diehl, vgl. gr. 19. 21 eis] illis L

περὶ τῶν ὁμοίων. ὡς δυνατόν σοι
παραθεμένῳ τὰ εὐαγγέλια καὶ συν-
εξετάζοντι αὐτὰ ἀλλήλοις ἰδεῖν· οὐκ
ἄλλος γὰρ νοῦς ἐστι παρὰ τοῦτον
5 εἰρημένος τῷ Ματθαίῳ περὶ τῶν
κατὰ τὸν τόπον, καὶ παραπλησίως
Ματθαίῳ παρὰ τῷ Μάρκῳ.
ἅμα δὲ καὶ διδασκόμεθα ἀπὸ τοῦ
σωτῆρος ἡμῶν μὴ τοῖς ὑπὸ τῶν
10 πολλῶν λεγομένοις καὶ διὰ τοῦτο
ἐνδόξοις φαινομένοις προφάσει τῆς
εἰς θεὸν εὐσεβείας προσέχειν,
ἀλλὰ ⟨τοῖς⟩ ὑπὸ τῆς ἐξετάσεως καὶ
τῆς ἀκολουθίας τοῦ λόγου παριστα-
15 μένοις. πρόσχες γὰρ ὅτι, ζητουμένου
τοῦ εἰ δεῖ διδόναι Καίσαρι κῆνσον
ἢ μή. οὐχ ἁπλῶς ἀπεφήνατο τὸ
δοκοῦν ἑαυτῷ ἀλλὰ εἰπὼν ἐπιδεί-
ξατέ μοι τὸ νόμισμα τοῦ κήν-
20 σου ἐπύθετο, τίνος ἡ εἰκὼν καὶ
ἡ ἐπιγραφή, καὶ εἰποῦσιν ὅτι
Καίσαρος. ἀπεκρίνατο ὅτι δεῖ ἀπο-
διδόναι τῷ Καίσαρι τὰ αὐτοῦ αἰ-
τοῦντι καὶ μὴ ἀποστερεῖν αὐτὸν
25 τῶν ἰδίων φαντασίᾳ θεοσεβείας·
οὐ δήπου δὲ τὰ μὲν Καίσαρος ἀπο-
διδόναι δεῖ τῷ Καίσαρι οὐχὶ δὲ καὶ
τὰ τοῦ θεοῦ τῷ θεῷ,
καὶ οὐ κωλύεταί τις ἀποδιδοὺς
30 Καίσαρι τὰ Καίσαρος ἀποδι-
δόναι τῷ θεῷ τὰ τοῦ θεοῦ.
27. Δύναται δέ τις τὰ κατὰ τὸν
τόπον οὕτως τροπολογῆσαι. συν-
εστήκαμεν ἐκ ψυχῆς καὶ σώματος
35 (ὑπερκείσθω δὲ νῦν λέγειν ὅτι καὶ ἐκ
πνεύματος) καὶ ὀφείλομέν τινα διδό-

Ex hoc loco discimus salvatoris exemplo, ut non his, quae a multis dicuntur et propterea gloriosa videntur, occasione pietatis adtendamus, sed quae convenienter secundum *** ordinem rationis dicuntur. nam cum quaereretur ab eo, utrum licet *Caesari* dare *tributum aut non*, non simpliciter dedit responsum secundum quod videbatur ei, sed dixit: *ostendite mihi nomisma census* et interrogavit: *cuius est ⟨imago et⟩ inscriptio?* et dicentibus eis quia *Caesaris*, respondit quia oportet reddere *Caesari quae Caesaris sunt*, et non eum oportere fraudare a propriis eius pietatis occasione.

nec enim ex eo, quod reddit quis *Caesari quae Caesaris sunt*, impeditur reddere *deo quae dei sunt*.

27. Potest aliquis moraliter intellegere locum istum hoc modo. omnes consistimus ex anima et corpore (differamus nunc dicere, quoniam et ex spiritu) et debe-

6 τὸν < H^a 13 ⟨τοῖς⟩ Koe 22 δεῖ < M 24 αὐτὸν] αὐτῷ M^a 27 τῷ < M^a 29 καὶ + *enim* lat. 35 λέγειν < H

13 *** Diehl, vgl. gr. 16 aut] an B 18 ei x* eis *μ* 20 ⟨imago et⟩ Kl, vgl. gr. 23 l. Caesari ⟨petenti⟩? Kl nach Diehl, vgl. gr.

ναι ὥσπερεὶ φόρον σωμάτων ἄρχοντι λεγομένῳ Καίσαρι, τὰ ἀναγκαῖα τῷ σώματι, ἔχοντα τὴν εἰκόνα τοῦ τῶν σωμάτων ἄρχοντος σωματικήν·
5 ταῦτα δέ ἐστι τροφὴ καὶ σκέπη καὶ ἀναγκαία διανάπαυσις καὶ ὕπνοι.

mus quaedam dare quasi tributum corporum principi qui dicitur *Caesar*, id est necessaria corpori et habentia imaginem principis corporum corporalem, hoc est escas et vestimenta et somnum et quaecumque necessaria sunt ad repausationem simplicem naturae carnalis, sine
10 quibus consistere non potest carnis natura.

καὶ ἄλλα ὀφείλομεν, ἐπεὶ ἡ ψυχὴ φύσει κατ' εἰκόνα ἐστὶ θεοῦ, τῷ βασιλεῖ αὐτῆς θεῷ, ἅπερ ἐστὶ συμφέροντα καὶ
15 κατάλληλα τῇ τῆς ψυχῆς φύσει καὶ οὐσίᾳ· ταῦτα δέ | εἰσιν ⟨πᾶσαι⟩ αἱ ἐπ' ἀρετὴν ἄγουσαι ὁδοὶ καὶ αἱ κατ' ἀρετὴν πράξεις.

item quoniam anima, quantum ad naturam suam, secundum imaginem est dei regis sui. quaecumque sunt convenientia animarum naturae, id est viae omnes quae ducunt ad virtutem ⟨et omnes actiones quae sunt secundum virtutem⟩, debemus ea deo offerre. 808

20 οἱ οὖν διδασκόμενοι τὸν νόμον τοῦ θεοῦ περὶ τῶν τοῦ σώματος πραγμάτων καὶ ὀφειλομένων αὐτῷ οὐ τὰ αὐτὰ δοξάζουσιν.
οἱ μὲν γὰρ τὸ ἀνά-
25 λογον ποιοῦσι τοῖς συμβουλεύουσι μὴ διδόναι κῆνσον Καίσαρι, ὅση δύναμις νηστείαις καὶ ἀγρυπνίαις κακοῦντες τὸ σῶμα καὶ ἀποχῇ πάσῃ τῇ διὰ τὸ σῶμα καὶ τὰς ἀναγκαίας
30 αὐτοῦ πράξεις.

qui ergo supra modum docent legem dei et de rebus corporalibus et debitis corpori nihil curare praecipiunt, ipsi sunt Pharisaei qui reddere *Caesari tributum* vetabant, id est qui tota virtute suadent omnino ieiuniis et vigiliis debere adfligere corpus et abstinere ab omnibus, quae sunt corporalia et necessaria corpori,

13 Vgl. Gen. 1, 27 — 22 Vgl. Röm. 13, 14?

6 l. mit lat. ὕπνοι (Koe) καὶ ⟨ἅτινα⟩ ἀναγκαῖα δι' ἀνάπαυσιν Kl, woran sich lat. 9—11 anschlöße? 16 ⟨πᾶσαι⟩ Kl Koe, vgl. lat. 20 οὖν + *supra modum* lat. vgl. S. 660, 14f 21 θεοῦ + *et* lat. 25 l. etwa ⟨Φαρισαίοις⟩ τοῖς? Diehl Kl Koe; doch hat gr. auch S. 660, 19ff die Herodianer nicht 26 Καίσαρι + *id est* lat.

14 regis sui] lat. las τοῦ βασιλέως 16 vias B 17f ⟨et—virtutem⟩ Diehl, vgl. gr. 19 ea < B 24 tributum Caesari L 25—27 lat. las κακοῦν ⟨δεῖν παραινοῦν⟩τες Koe

ut nihil ex nobis corporis principi tribuatur; quales sunt de quibus ait apostolus: »in novissimis temporibus recedent quidam a fide, adtendentes spiritibus erroris et doctrinae daemoniorum, in hypocrisi loquentium mendacium, cauteriatam habentium conscientiam suam, prohibentium nubere, et iubentium abstinere a cibis, quos deus creavit ad percipiendum cum gratiarum actione fidelibus«.

ἕτεροι δὲ παρὰ τούτους εἰσίν, οἳ ἀτρανώτως μὲν διαλαμβάνουσι περὶ τῶν κατὰ τὸν τόπον, φαντάζονται δὲ ὅτι καὶ τῷ σώματι χρὴ διδόναι τὰς ὀφειλάς.

alii autem sunt, qui supra modum aestimant oportere corporibus indulgere et per omnia satisfacere principi corporum; et ipsi sunt secundum similitudinem *Herodianorum* dicentium oportere *Caesari* dare tributum.

ἀλλ' ὁ σωτὴρ ἡμῶν »ὁ λόγος τοῦ θεοῦ«, τρανῶς χωρίζων τὰς εὐλόγους τῷ σώματι ὀφειλὰς ἀπὸ τῶν ⟨πνευματικῶν⟩ ὀφειλῶν τῆς ψυχῆς φησιν· ἀπόδοτε τὰ Καίσαρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· εἰκόνα γὰρ ἔχει Καίσαρος καὶ σωματικῶν πραγμάτων ὁ φόρος,

salvator autem noster »verbum dei«, dilucide separans rationabilia corporis debita a debitis spiritalibus animae, dicit: *reddite Caesari quae Caesaris sunt et quae dei sunt deo*; imaginem enim Caesaris habet omnis res corporalis et imaginem dei habet omnis virtus. si ergo sic reddimus principi carnis quae carnalia sunt, ut non fraudemus deum a spiritalibus

3 I. Tim. 4, 1—3 — 24 Hebr. 4, 12

27 ⟨πνευματικῶν⟩ Diehl Kl Koe, vgl. lat. 31 πραγματικῶν H

3 in < L 10 et iubentium < y 27 dixit GL 36 a < B (G vacat)

eius virtutibus, tunc reddimus principi corporum, quae corporis sunt,

ὃν μόνον καὶ οὐδὲν πλέον αὐτοῦ 5 ὀφείλομεν τῷ σώματι.

id est ea sola quae necessaria habet carnis natura et nihil amplius quod pertineat ad minorationem virtutum. et si sic virtutibus serviamus, ut non gravetur carnis natura a necessariis suis, tunc 10 reddimus *deo quae dei sunt*, ut nec virtus minoretur, dum supra modum carni servimus, nec carnis natura gravetur, dum abundantius virtutibus adhaeremus.

15 28. Οἶδα δὲ καὶ ἄλλην εἰς τὸν τόπον τοιαύτην φερομένην διήγησιν. ὁ μὲν ἄρχων τοῦ αἰῶνος τούτου ἐν τροπολογίᾳ καλεῖται Καῖσαρ·

28. Scio et huius loci aliam tradit⟨am exposit⟩ionem, quoniam princeps mundi moraliter dicitur Caesar,

sicut et omnium gentium principes 20 in persona principum mundi ponuntur.

ὁ δὲ ⟨πάντων⟩ τῶν αἰώνων βασιλεὺς ἐν οὐδενὶ συμβόλῳ τυγχάνων θεὸς πανταχοῦ ὀνομάζεται. ἐπεὶ τοίνυν 25 ἔχομέν τινα τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, τουτέστι τὰ κατὰ κακίαν, καὶ οὐ πρότερον δυνάμεθα ἀποδιδόναι τὰ τοῦ θεοῦ τῷ θεῷ, ἐὰν μὴ ἀποδῶμεν, ἀποθέμενοι πάντα τὰ τῆς κακίας, 30 τῷ Καίσαρι τὰ τοῦ Καίσαρος, διὰ τοῦτο ὁ σωτὴρ ἐπιδειχθέντος τοῦ νομίσματος καὶ τῆς ἐν αὐτῷ εἰκόνος φησίν· ἀπόδοτε τὰ Καίσαρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ 35 τῷ θεῷ. καὶ τοῦτο δὲ κατὰ τὸν

rex autem omnium saeculorum deus non in uno mysterio, sed ubique est deus. quoniam ergo habemus quaedam in nobis, quae sunt principis huius mundi, id est diversas malitias, et non possumus prius reddere *deo quae dei sunt*, nisi reddiderimus principi quae principis sunt, id est nisi deposuerimus malitiam universam, ideo dominus ostenso sibi nomismate et imagine eius respondit: *reddite Caesari quae Caesaris sunt et deo quae dei sunt*. et hoc disca-

15ff Vgl. Harnack TU. 42, 4, 24 — 17 Vgl. Joh. 12, 31

22 ⟨πάντων⟩ Diehl Koe, vgl. lat. **23** ἐν οὐδενὶ] lat. las οὐκ ἐν ἑνὶ Koe **25** τινα + *in nobis* lat.

6 ad minorationem y* a domino rationem L ad rationem μ **7** sic x* < ϱ **16** tradit⟨am exposit⟩ionem Diehl, vgl. gr. **18** Caesar x* < μ

τόπον | σκοπήσωμεν ὅτι, ἐάν ποτε
πειραζόμενοι ὑπὸ τῶν ζητούντων
ἀφορμάς, προτεινόντων προβλήματά
⟨τινα⟩ οὐχ ἵνα μάθωσιν ἀλλ' ἵνα ὅση
5 δύναμις ἡμῶν κατηγορήσωσιν,

mus ex loco praesenti, quoniam 809
si quando temptati fuerimus ab
eis, »qui volunt occasionem« et pro-
ponunt nobis quasdam proposi-
tiones, non ut discant, sed ut
causam accusationis inveniant
contra nos,

ἀκούωμεν λόγους πειραστικοὺς ἡμῶν,
οὔτε πάντη σιωπᾶν ὀφείλομεν οὔτε
10 ὡς ἔτυχεν ἀποκρίνασθαι, ἀλλὰ περι-
εσκεμμένως καὶ μετὰ περισκέψεως,
εἰς τὸ (ὅση δύναμις) ἐκκόψαι τὰς
ἀφορμὰς »τῶν θελόντων« ἀφορμάς,
καὶ διδάσκειν ἀνεπιλήπτως τὰ σῴ-
15 ζοντα τοὺς βουλομένους ἐν τῷ ἀκούειν
σῴζεσθαι.

nec omnino tacere debemus nec
simpliciter respondere, sed cum
cogitatu et circumspectu, ut
(quantum possibile nobis fuerit)
praecidamus »occasionem quae-
rentium« in nobis »occasionem« et
doceamus inreprehensibiliter ea,
quae possunt salvare volentes
⟨audientes⟩ salvari.

δύνανται δὲ οἱ μὲν Φαρισαῖοι λαμ-
βάνεσθαι εἰς τοὺς διδασκάλους τῶν
20 διαφόρων Ἰουδαϊκῶν παραδόσεων,
οἱ δὲ Ἡρῳδιανοὶ εἰς τὸν νομιζόμενον
παρὰ τοῖς πολλοῖς βασιλικὸν Ἰου-
δαίων τῶν οὕτως ἁπλούστερον λε-
γομένων λόγον. ἀφ' ἑκατέρων οὖν
25 πυνθάνονται τοῦ σωτῆρος τὰ περὶ
τοῦ κήνσου. ὁ δὲ αὐτοῖς ἀποκρίνεται,
ὡς ἀποδεδώκαμεν· πλὴν ἐπεὶ οὐ
μαθεῖν βούλονται ἐκ τοῦ ἐρωτᾶν αὐ-
τόν, ἀλλὰ παγιδεῦσαι ἐν λόγῳ καὶ
30 πειράζειν αὐτόν, διὰ τοῦτο ἀκού-
σαντες τὰ δοκοῦντα αὐτῷ πρὸς
τὸ πύσμα αὐτῶν καὶ θαυμάσαντες,

3. 12ff Vgl. II. Kor. 11, 12 — 30ff Vgl. Hieron. in Matth. 179 C: *qui credere debuerant ad tantam sapientiam, mirati sunt quod calliditas eorum insidiandi non invenisset locum, »et relicto eo abierunt«, infidelitatem pariter cum miraculo reportantes*

4 ⟨τινα⟩ Diehl Koe, vgl. lat. 13 θελόντων + *in nobis* lat. 24 λόγον Hu (besser: νόμον?) λόγων M H

17 ⟨audientes⟩ Diehl, vgl. gr.

ὅτι μὴ ἔδωκεν αὐτοῖς ἀφορμὰς τοῦ αὐτῷ ἐπιβουλεύειν οὐκ ἔμειναν μὲν παρ' αὐτῷ, ὡς οἱ μαθηταί, οὐδὲ ἁπλῶς ἀπῆλθον, ὡς περὶ ἄλλων 5 γέγραπται, ἀφέντες δὲ αὐτὸν ἀπῆλθον. καὶ τοιοῦτοί γέ εἰσιν οἱ ἀφιέντες τὸν λόγον καὶ ἀπιστοῦντες αὐτῷ καὶ ἀπιόντες ἀπ' αὐτοῦ μετὰ τὸ ἀκοῦσαι αὐτοῦ. καὶ οὐχ ἁμαρτήσει 10 λέγων περὶ τῶν μετὰ τὸ ἀκοῦσαι ἀποστάντων καὶ τοῦ ἀκούειν, ὅτι οἱ τοιοῦτοι ἀφέντες τὸν Ἰησοῦν ἀπῆλθον· ἡμεῖς δὲ ἐροῦμεν τὸ τῆς νύμφης· »ἐκράτησα αὐτόν, καὶ οὐκ 15 ἀφῆκα αὐτόν«.

29. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι λέγοντες μὴ εἶναι ἀνάστασιν

20

καὶ τὰ ἑξῆς, ἕως τοῦ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. (Matth. 22, 25 23—33). τὰ δὲ ἰσοδυναμοῦντα τούτοις ἢ τὰ αὐτὰ αὐτοῖς εἴρηται καὶ | παρὰ τῷ Μάρκῳ καὶ τῷ Λουκᾷ ἐν ἄλλαις κατ' ὀλίγα λέξεσιν. 810

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ποίᾳ 30 ἢ ὅτε »πορευθέντες οἱ Φαρισαῖοι

29. *In illa die accesserunt ad eum Sadducaei, qui dicunt non esse resurrectionem,*
et interrogaverunt eum dicentes: magister, Moyses dixit: si quis mortuus fuerit non habens filium et cetera.

In qua *die? in illa die* sine dubio, quando »euntes Pharisaei consi-

3—15 Vgl. C[1] Nr. 244 Or. — 14 Cant. Cant. 3, 4 — 27 Vgl. Marc. 12, 18ff; Luc. 20, 27ff — 30 Matth. 22, 15 — 30ff Anders Orig. hom. 39 in Luc. (IX, 226, 19ff)

7 ἀφιέντες H[c] ἀφέντες (M) H[a] 15 l. ἀφήσω? Kl mit C[1] Nr. 244, doch ἀφῆκα Cant. Cant. 3, 4 B 16 vorher: Περὶ τῶν Σαδδουκαίων, οἳ ἐπηρώτησαν τὸν Ἰησοῦν περὶ τῆς γυναικὸς τῆς ἑπτὰ λαβούσης ἄνδρας H 29 ⟨ἐν⟩ ποίᾳ Koe, vgl. lat.

16 in illa die] XXIII secundum mathm. In illo tempore L 17 eum] ihm G L 21 non habens filium < L 22 et cetera + Omelia Origenis de eadem lectione L 30 ineuntes B L

συμβούλιον ἔλαβον κατ' αὐτοῦ ὅπως
αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ«. καὶ
πυνθάνονται τὰ περὶ τοῦ κήνσου;
εἰκὸς γὰρ ὅτι. ἀποκριναμένου τοῦ
5 σωτῆρος ἡμῶν περὶ τοῦ κήνσου, καὶ
εἰπόντος· »ἀπόδοτε οὖν τὰ Καίσαρος
Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ«,
καὶ θαυμασάντων ⟨πάντων⟩ τὴν
ἀπόκρισιν αὐτοῦ, ᾠήθησαν οἱ Σαδ-
10 δουκαῖοι, εἰδότες αὐτοῦ τὰς συν-
ετὰς ἀποκρίσεις, ἤτοι αὐτοὶ διὰ τῆς
ἐπαπορήσεως παραστήσειν ἑαυτοὺς
κρείττονα λόγον ἔχοντας, μὴ εἶναι
λέγοντας ἀνάστασιν
15 τῶν ἐλπιζόντων αὐτήν, ἢ τάχα καὶ
μαθήσεσθαι. πῶς δύναται εἶναι ἀνά-
στασις κατὰ τὴν Μωσέως γραφὴν
καὶ ποῖος ὁ βίος ἔσται τῶν ἀναστη-
σομένων. παρατήρει δὲ ὅτι σχεδὸν
20 πᾶσα ἡ τοῦ καιροῦ τούτου τοῦ σω-
τῆρος ἡμῶν διδασκαλία πρὸς πεύσεις
ἐγίνετο. καὶ πρῶτόν γε »ἐλθόντος
αὐτοῦ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ
διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσ-
25 βύτεροι τοῦ λαοῦ λέγοντες· ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς ἔδωκέ
σοι τὴν ἐξουσίαν ταύτην;« πρὸς οὓς
ἀντερωτήσας τὰ περὶ Ἰωάννου ἔδο-
ξεν εὐλόγως παρῃτῆσθαι τὴν πρὸς
30 τὸ βούλημα αὐτῶν ἀπόκρισιν. εἶτα
μετὰ τοῦτο λέγει παραβολὴν τὴν περὶ
τῶν δύο τέκνων, τοῦ τε ⟨μὴ⟩ ὑπο-

lium acceperunt adversus eum ut
caperent eum in sermone«, et in-
terrogaverunt eum de censu. for-
sitan enim respondente domino:

»reddite ergo quae sunt Caesaris
Caesari et quae dei sunt deo«,
et admirantibus cunctis de respon-
so ipsius, aestimaverunt *Saddu-
caei*. videntes sensata eius respon-
sa, per interrogationem huiusmodi
[voluerunt] se ostendere pruden-
tiores habere sermones, dicentes
resurrectionem non esse.

6 Matth. 22, 21 — 22 Matth. 21, 23 — 27f Vgl. Matth. 21, 25f — 32ff Vgl. Matth, 21, 28ff

4 ἀποκρινωμένου H 8 ⟨πάντων⟩ Kl, vgl. lat. 10 εἰδότες] l. ἰδόντες mit lat.? Kl Koe 32f ⟨μὴ⟩ . . . [μὴ] Kl nach der von Orig. selbst (oben) vorausgesetzten Textgestalt, vgl. S. 587, 1ff

6 ergo R G < B L 7 sunt dei B L 9 10 Sadducaei Kl, vgl. gr. Pharisaei x 11f für τῆς ἐπαπορήσεως las lat. ⟨ταύτης⟩ τῆς ἐπερωτήσεως Diehl Koe, vgl. S. 665, 14 12 [voluerunt] Kl, vgl. gr.

σχομένου ἐργάσασθαι »ἐν τῷ ἀμπελῶνι« καὶ [μὴ] ἐργασαμένου, καὶ τοῦ ἐπαγγειλαμένου μὲν μὴ ἐργασαμένου δέ. εἶτα μετὰ ταῦτα λέγει τὴν περὶ
5 τοῦ ἀμπελῶνος παραβολὴν καὶ τῶν ἀποκτεινάντων γεωργῶν τοὺς δούλους καὶ τὸν υἱόν, καὶ τὰ ἑξῆς τούτων περὶ τῶν εἰς τοὺς γάμους κλητῶν ἄλλην παραβολήν. καὶ μετὰ τοῦ-
10 το δευτέραν πεῦσιν τὴν περὶ τοῦ κήνσου ἀνέγραψεν ὁ Ματθαῖος, καὶ τρίτην τὴν τῶν Σαδδουκαίων περὶ ἀναστάσεως ἐπαπόρησιν. ἀλλὰ καὶ τετάρτη μετὰ ταύτην ἐπερώτησις γε-
15 γένηται ἀπό τινος Φαρισαίου πειράζοντος αὐτὸν περὶ τοῦ· »ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;« τοσούτων δὲ ἐρωτήσεων προσαγομένων αὐτῷ καὶ αὐτὸς »συνηγμένων τῶν Φαρισαίων
20 ἐπηρώτησεν αὐτοὺς« τὰ »περὶ τοῦ Χριστοῦ«.

Οἱ Σαδδουκαῖοι | μέντοι λέγοντες μὴ εἶναι ἀνάστασιν, οὐ ⟨μόνον⟩ τὴν ἐν τῇ συνηθείᾳ τῶν ἀπ-
25 λουστέρων ὀνομαζομένην ἀνάστασιν σαρκὸς ἠθέτουν, ἀλλὰ καὶ παντελῶς ἀνῄρουν τὴν τῆς ψυχῆς οὐ μόνον ἀθανασίαν

Sadducaei enim, *qui dicunt resurrectionem non esse,* non solum hanc quae in consuetudine a simplicioribus carnis resurrectio nominatur negabant, sed etiam ⟨omnino⟩ animae inmortalitatem tollebant. 811

ἀλλὰ καὶ ἐπιδιαμονήν, οἰόμενοι μη-
30 δαμοῦ ἐν τοῖς Μωσέως γράμμασι σημαίνεσθαι τὴν τῆς ψυχῆς μετὰ ταῦτα ζωήν. τὸ δὲ αὐτὸ τοῖς Σαδδου-

4ff Vgl. Matth. 21, 33ff — **8ff** Vgl. Matth. 22, 1ff — **9f** Vgl. Matth. 22, 15ff — **11f** Vgl. Matth. 22, 23ff — **15** Matth. 22, 36 — **19** Vgl. Matth. 22, 41f — **22ff** Vgl. Orig. hom. 39 in Luc. (IX, 226, 5): *est haeresis Iudaeis, quae dicitur Sadducaeorum: haec resurrectionem mortuorum negat et putat animam interire cum corpore nec post mortem sensus ultra residere.* Vgl. Π 253, 3f

15 τειιος H **24** ⟨μόνον⟩ Kl Koe, vgl. lat. **26 27** ⟨omnino⟩ Diehl Koe, vgl. gr.

καίοις δόγμα περὶ τῆς τῶν ἀνθρώ-
πων ψυχῆς
φρονοῦσι μέχρι τοῦ δεῦρο Σαμαρεῖς
5 καὶ οἱ δοκοῦντες ἐξ αὐτῶν εἶναι νομο-
μαθεῖς καὶ ἕως θανάτου ἀγωνιζόμενοι
περὶ τοῦ Μωσέως νόμου καὶ τῆς
περιτομῆς. τοῦτο δὲ τὸ περὶ ἀνα-
στάσεως σημαινόμενον (λέγω δὲ τὸ
10 παρὰ Σαδδουκαίοις καὶ Σαμαρεῦσιν,
⟨τοῖς⟩ ἀθετοῦσι τὴν τῆς ψυχῆς μετὰ
ταῦτα ζωήν)
νοοῦντές τινες ⟨καὶ⟩ τῶν κατὰ τὸν
τοῦ ἀποστόλου χρόνον Κορινθίων
15 ἐδογμάτιζον μὴ εἶναι ἀνάστα-
σιν, περὶ ὧν ταῦτα γράφει· »εἰ δὲ
Χριστὸς κηρύσσεται ἐκ νεκρῶν ὅτι
ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες
ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;«
20

ὅτι δὲ οἱ ἐν Κορίνθῳ λέγοντες μὴ
25 εἶναι ἀνάστασιν νεκρῶν
κατὰ τὸ Σαδδουκαίων σημαινόμενον
ἠθέτουν [τὴν ἀνάστασιν] τὴν ἐπι-
διαμονὴν τῆς ψυχῆς, δῆλον ποιεῖ ἐκ
τοῦ »εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες
30 ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι
πάντων ἀνθρώπων ἐσμέν«.
ὅπερ ἐπιμελῶς ἐξετάσας ὄψει ὅτι
ὁ μὲν ἀθετῶν τὴν ἐν τῇ ἐκκλησίᾳ

secundum quos etiam nunc sapi-
unt Samaraei;

nec non etiam apostolorum tem-
pore quidam ex Corinthiis similia
sapiebant, animae vitam post
mortem negantes, de quibus talia
scribit apostolus: »si Christus
praedicatur quod a mortuis resur-
rexit, quomodo quidam dicunt in
vobis, quia resurrectio mortuo-
rum non est?«
et cetera quae de ipsa causa se-
quuntur.
quoniam autem Corinthii

permansionem animae denegabant
secundum sententiam Sadducaeo-
rum, illud ostendit quod ait apo-
stolus: »si in hac vita tantum spe-
rantes sumus in Christo, miserabi-
liores sumus omnibus hominibus«.

quamvis enim quis carnis resur-

3ff Vgl. Harnacks Bemerkung über die Samaritaner als »die eifrigsten Gesetzeslehrer« TU. 42, 4, 86; allerdings hatte H. den falschen Text *Σαμαρεῖς καὶ οἰκοδομοῦντες ἐξ αὐτῶν εἶναι νομομαθεῖς κτλ.* — 16 I. Kor. 15, 12 — 29 I. Kor. 15, 19

11 ⟨τοῖς⟩ Diehl 13 ⟨καὶ⟩ Koe, vgl. lat. 27 [τὴν ἀνάστασιν] Kl, vgl. lat. 28 ποιεῖ + *apostolus* lat.

13 apostolorum] lat. las τῶν ἀποστόλων

πεπιστευμένην ἀνάστασιν νεκρῶν. κἂν ψευδόμενος ἀθετῇ, οὐ πάντως ἐν »τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικώς ἐστι μόνον«.

5

ἵνα γὰρ καθ' ὑπόθεσιν μὴ ᾖ ἀληθὴς ἡ πεπιστευμένη παρὰ τοῖς πολλοῖς 10 ἀνάστασις, οὐκ »ἐν ταύτῃ τῇ ζωῇ« ἤλπικε »μόνον« »ἐν Χριστῷ« ὁ ἐκεί|νην ἀθετῶν ζώσης τῆς ψυχῆς, οὐκ ἐκεῖνο μὲν ἀπολαμβανούσης τὸ σῶμα ἐνδυομένης δὲ αἰθέριόν τι καὶ κρεῖττον. 15 ἀλλ' οὐδὲ »ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν«, εἰ τὴν μὲν ψυχὴν λέγοιμεν ζῆν καὶ ὑπάρχειν, τὸ δὲ σῶμα τοῦτο μὴ περιτιθεῖμεν αὐτῇ μηδὲ λέγοιμεν ἀπολαμβάνειν αὐτό.

20 Ἔτι δὲ εἰς κατασκευὴν τοῦ πρὸς τὸ σημαινόμενον τοῦτο μάλιστα ἵστασθαι τὸν ἀπόστολον ἐν τῇ πρὸς Κορινθίους προτέρᾳ συγχρησόμεθα καὶ τῷ »εἰ ὅλως νεκροὶ οὐκ ἐγείρον-25 ται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;« καὶ τῷ »εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; εἰ νεκροὶ οὐκ ἐγείρονται, 30 φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν«. ἔστω γὰρ τὸ νομισθὲν παρὰ τοῖς πολλοῖς ἀληθὲς εἶναι μὴ εἶναι ἀληθὲς τὸ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, πῶς τούτῳ 35 ἀκολουθεῖ τὸ μάτην ἡμᾶς κινδυνεύειν

rectionem non credat, tamen qui animam aestimat inmortalem, non tantum »in hac vita sperat in Christo«;

sed ille »in hac vita tantum sperat in Christo«, qui animam victuram non credit post mortem.

812

5. 10 Vgl. I. Kor. 15, 19 — 15 I. Kor. 15, 19 — 20 ff Hier. in Matth. 181 D: *hunc locum plenius in extrema parte primae epistulae ad Corinthios Paulus apostolus exsequitur* — 24 I. Kor. 15, 29 f — 27 I. Kor. 15, 32

18 *περιτιθεῖμεν* (od. *περιτιθείημεν*) Kl *περιτεθείη μὲν* M H

1 f tamen — inmortalem] entspricht *κἂν — ἀθετῇ*? sonst beiderseits Lücke Kl Koe

ὑπὲρ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν
ἀγωνιζομένους; πῶς δὲ οὐδὲν ὄφελος
τῷ διὰ Χριστὸν θηριομαχήσαντι ***
οἰκονομουμένῃ κατ' ἀξίαν, τὸ δὲ
5 πρότερον σῶμα μὴ ἀπολαμβάνοι;
πῶς δὲ ἀκολουθεῖ τῷ μὴ εἶναι σαρ-
κὸς ἀνάστασιν τὸ »φάγωμεν καὶ
πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν«;
οὐ ταῦτα δέ φαμεν ἀπιστοῦντες τῷ
10 ἐν Ἡσαΐᾳ γεγραμμένῳ τοῦτον τὸν
τρόπον· ὄψεται πᾶσα σὰρξ τὸ σω-
τήριον τοῦ θεοῦ« ἢ τῷ ὑπὸ τοῦ Ἰὼβ
λεγομένῳ· »ὅτι ἀέναός ἐστιν ὁ ἐκλύ-
ειν με μέλλων ἐπὶ τῆς γῆς, καὶ ἀνα-
15 στῆσαι τὸ δέρμα μου τὸ ἀνατλοῦν
ταῦτα«. οὐκ ἀπιστοῦμεν δὲ οὐδὲ τῇ
ἀποστολικῇ φωνῇ λεγούσῃ· »ζωο-
ποιήσει τὰ θνητὰ ὑμῶν σώματα διὰ
τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν«.
20 ἀλλ' ὅση δύναμις καθαίρωμεν τὸ ἐν
τῇ ἐκκειμένῃ λέξει τοῦ εὐαγγελίου
σημαινόμενον ἀπὸ τῆς ἀνάστασις φω-
νῆς. διὸ παρεθέμεθα καὶ τὰ ἀπὸ τῆς
προτέρας πρὸς Κορινθίους ῥητά.
25 Προσῆλθον οὖν τῷ Ἰησοῦ
Σαδδουκαῖοι, οἵτινες ἔλεγον μὴ
εἶναι ἀνάστασιν, ἀνάστασιν δὲ
τὴν (ὡς ἀποδεδώκαμεν) κατ' αὐτούς,
καὶ ἐπηρώτησαν ἡμῶν τὸν κύριον

7 I. Kor. 15, 32 — 11 Jes. 40, 5 — 13 Hiob 19, 25f (var. lect.: ἀνατλοῦν) — 17 Röm. 8. 11 — 20f Vgl. Orig. tom. II, XXXII in Joh. (IV, 90, 7): τῇ φύσει τοῦ λόγου καθαίροντος πᾶσαν τὴν σημαίνουσαν φωνήν.

3 *** Hu; Diehl Koe ergänzen ⟨, εἰ χρήσαιτο τῇ μὲν ψυχῇ⟩ 5 μὴ < M[a] 18 ἡμῶν M 19 ἡμῖν M 20 καθαίρομεν H 22 ἀπὸ] ἐπὶ Koe 23 διὸ καὶ παρεθέμεθα τὰ H

λέγοντες· Μωσῆς εἶπεν· ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ
5 ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. 30. ἄξιον οὖν εἰς τοῦτό μοι δοκεῖ παραθέσθαι τὴν Μωσέως λέξιν, εἰς ἣν ἀνέφερον Σαδδουκαῖοι τὰ ἐν τῷ εὐαγγελίῳ γεγραμ-
10 μένα ὑπ' αὐτῶν εἰρῆσθαι. | ἔχει οὖν οὕτως ἐν τῷ Δευτερονομίῳ τὸ ῥητόν· »ἐὰν δὲ κατοικήσωσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτό, καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν«
15 καὶ τὰ ἑξῆς

30. Quoniam ergo ad defensionem sui erroris proferunt *Sadducaei* exemplum de lege Mosaica, dignum mihi visum est ponere ipsum textum legis quem profe- 813 runt *Sadducaei* habentem hoc modo in Deuteronomio: »si habitaverint fratres in idipsum, et mortuus fuerit unus ex eis,
15 semen autem non fuerit ei, non erit uxor mortui foris viro non adpropinquanti; frater viri eius ingredietur ad eam et accipiet eam sibi in uxorem, et habitabit
20 cum ea. et erit infans quicunque fuerit natus, constituetur ex nomine fratris eius mortui, et non delebitur nomen eius ex Israel. si autem noluerit homo accipere uxo-
25 rem fratris sui, ascendet uxor fratris eius ad portam ad seniores, et dicet: non vult frater viri mei suscitare fratris sui nomen in Israel. et vocabunt eum seniores civi-
30 tatis illius et dicent ei, et si stans dixerit: nolo eam accipere, accedens uxor fratris eius ad eum ante conspectum seniorum excalciabit

12ff Deut. 25, 5—10 — **28** v. 7 Schluß fehlt auch in Hss der LXX

3 ἐπιγαμβρεύσῃ H[a] **5** ἀναστῇ H **7** τὴν] *ipsam* lat. ⟨αὐτὴν⟩ τὴν Koe

15 ei G[c] L < G[a] B **16** foris] fr̄is L **19** et Koe, vgl. LXX ut x | habitet G L **30** si] B in ras. < G[a] ille G[c. r.] **31 32** accedens] et̤ accedens B

5

ἕως τοῦ
»οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα«.
τούτου δὴ τοῦ ῥητοῦ οἱ Σαδδου-
καῖοι,
10 ὡς τὴν ἐλπίδα τῆς ἀναστάσεως μὴ
ἔχοντες, φαύλως ἀκούσαντες
καὶ μηδὲν θεοῦ ἄξιον ἐνθυμηθέντες
εἰς τὸν ἐκκείμενον νόμον, ᾠήθησαν
ἀκολουθεῖν τῷ εἶναι ἀνάστασιν
15 τὸ καὶ τὸν ἄνδρα ἄνδρα πάλιν ἔσεσθαι
ἀναστάντα ἄρρενα μόρια ἔχοντα, καὶ
τὴν γυναῖκα γυναῖκα ἀναστήσεσθαι
σῶμα γυναικεῖον περικειμένην.
καὶ ταπεινῶς ὑπολαμβάνοντες λέγε-
20 σθαι τὰ περὶ ἀναστάσεως ἐκ τοῦ
ταῦτα αὐτοῖς νομίζειν ἀκολουθεῖν,
πλάσαντές τινα μῦθον τὸν περὶ
ἑπτὰ ἀδελφῶν γαμησάντων μίαν
γυναῖκα, ἐπηπόρουν τίνος ἂν γέ-
25 νοιτο γυνὴ τοιαύτη ἀναστᾶσα, φθά-
σασα ἅπαξ ἑπτὰ χρηματίσαι ἀν-
δρῶν γυνή. ἐδύναντο δὲ καὶ χωρὶς
τοῦ τοιούτου πλάσματος ἐπαπορῆσαι
ἐκ τῶν πολυγάμων γυναικῶν, τάχα
30 δὲ καὶ πολυγάμων ἀνδρῶν.
καὶ ὁ σωτὴρ ἡμῶν ἀποκρινόμενος
αὐτοῖς τὸ μὲν βούλημα τοῦ κατὰ
Μωσέα νόμου οὐ διηγήσατο, ὡς οὐκ
ἀξίοις γνώσεως τηλικούτου μυστη-

calciamentum eius de pede ipsius,
et expuet in faciem eius, et re-
spondens dicet: sic facient ho-
mini qui non aedificat domum
fratris sui; et vocabunt nomen
eius in Israel
domus excalciati calciamentum«.
haec verba legentes *Sadducaei*

et nihil dignum deo intellegentes
in eis. arbitrati sunt non posse
fieri propter haec verba, ut mortui
resurgant, ut vir iterum sit ⟨vir⟩
virilia habens membra, et mulier
ut mulier sit muliebria habens
membra.

et dominus quidem respondens eis
voluntatem verborum legis non
exposuit quasi indignis huiusmodi
agnitione mysterii. sed tantum

22ff Orig. hom. 39 in Luc. (IX, 226, 8f): *composuerunt fabulam mulieris septem virorum*. Vgl. Hieron. in Matth. 180 A: *istiusmodi fingunt fabulam*; *Π* 253, 4ff.

13ff frei behandelt im lat.; Koe vermutet Lücke hinter ᾠήθησαν   **15** ⟨vir⟩ Kl   **16** et mulier < G in ras. 9 litt.   **17** ut] et G

ρίου· μόνον δὲ ἁπ⟨λῶς ἀπ⟩εφήνατο λέγων καὶ τὰς θείας γραφὰς ἀπαγγέλλειν περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ὅτι ἐκεῖ μή εἰσι γάμοι, ἀλλὰ 5 γίνονται οἱ ἐκ νεκρῶν ἀνιστάμενοι ὡς οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι, καὶ ὥσπερ οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι οὔτε γαμοῦσιν οὔτε γαμοῦνται, οὕτω (φησὶ) καὶ οἱ ἀνι- 10 στάμενοι ἀπὸ τῶν νεκρῶν. ἐγὼ δ' οἶμαι διὰ τούτων δηλοῦσθαι ὅτι οὐ μόνον κατὰ τὸ μὴ γαμεῖν καὶ τὸ μὴ γαμεῖσθαι ὡς οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι γίνονται οἱ καταξιού- 15 μενοι τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἀλλὰ καὶ κατὰ τὸ μετασχηματιζόμενα αὐτῶν τὰ σώματα »τῆς ταπεινώσεως« γίνεσθαι τοιαῦτα, ὁποῖά ἐστι τὰ τῶν 20 ἀγγέλων σώματα, αἰθέρια καὶ αὐγοειδὲς φῶς.

simpliciter eis dixit resurrectionem futuram, contestantibus hoc etiam scripturis divinis, quoniam illic nuptiae non sunt, sed erunt qui resurrexerint *sicut angeli in caelo*,

et quia transformabuntur corpora »humilitatis« eorum secundum corpora angelorum caelestia atque luminea. 814

Ξενίζον δέ τι τοὺς πολλοὺς τῶν πιστευόντων δόγμα ζητήσαι τις ἄν, τάχα μὲν καὶ πολλαχόθεν σαφῶς δ' 25 ὅτι καὶ ἐντεῦθεν ἐπαπορῶν, εἰ ὥσπερ εἰσὶν οἱ ἀνιστάμενοι ἐκ νεκρῶν ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ καὶ τάγμα τι ἀγγέλων, μεταβάλλοντες ἐξ ἀνθρώπων, οὕτως καὶ ἄλλοι ἐν τῷ 30 οὐρανῷ ἄγγελοι, ἄνθρωποί ποτε ὄντες καὶ καλῶς ἀγωνισάμενοι ἐν ἀνθρώπου σώματι, γεγόνασιν ἐν τῷ οὐρανῷ ἄγγελοι ὥς τινες ἕτεροι πρὸ αὐτῶν. ὁ δὲ τὸ ξενίζον τοῦτο 35 δόγμα ζητῶν ἐκ τῆς προκειμένης λέ-

17 f Vgl. Phil. 3, 21

1 ἁπ⟨λῶς ἀπ⟩εφήνατο Kl, vgl. lat. 2/3 ἀπαγγέλλειν υ ἀπαγγέλειν M H 27 οἱ < H 28 τάγμα τι Diehl τάγματι M H 34 δὴ H[a]

5 resurrexerunt L 17 transformabuntur x* transformabunt ϱ

ξεως, τάχα δὲ καὶ ἀλλαχόθεν, ὁράτω
περιαθρήσας ὅλην τήν τε γραφὴν καὶ
τὴν ἀκολουθίαν τῶν πραγμάτων, καὶ
τί ἕπεται τῷ ταῦτα τιθέντι, ⟨καὶ⟩
5 σκοπείτω εἰ χρὴ παραδέξασθαι τοιοῦ-
τον λόγον ᾧ ἕπεται τοιαῦτα ἅτινα
δηλοῦται ἐκ τοῦ »ἀγγέλους κρινοῦ-
μεν« καὶ τοῦ »εἰς ἃ ἐπιθυμοῦσιν
ἄγγελοι παρακύψαι«. εἰ δὲ καὶ τὴν
10 Ἰούδα προσοῖτό τις ἐπιστολήν, ὁράτω
τί ἕπεται τῷ λόγῳ διὰ τὸ »ἀγγέλους
τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν
ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον
οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέ-
15 ρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον
τετήρηκεν«. ὁράτω δὲ ὁ τὰ τοιαῦτα
τολμῶν ζητεῖν, πῶς αὐτῶν δεῖ
ἀκούειν τῶν ἐν Γενέσει γεγραμ-
μένων ὅτι »ἰδόντες οἱ υἱοὶ τοῦ
20 θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώ-
πων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς
εἰς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξε-
λέξαντο«. σαφῶς δὲ τὰ κατὰ τὸν
τόπον ἐπαπορῆσαι καὶ τὴν ἀκολου-
25 θίαν αὐτῶν ἐπισκοπῆσαι καὶ χάρτῃ
πιστεῦσαι τὴν τῶν τηλικούτων σα-
φήνειαν, μήποτε οὐκ | ἀσφαλὲς ᾖ·   815
ἀρκεῖ γὰρ καὶ ἐπὶ τοῖς εἰρημένοις
ἡμᾶς ἐπὶ τοσοῦτον παρακεκινδυ-
30 νευκέναι.

31. *Οὐκ ἄκαιρον δὲ νομίζω
ἅπαξ ἐκθεμένους τὴν λέξιν τοῦ
νόμου ἀπὸ τοῦ Δευτερονομίου*, ἰδεῖν

31. Non autem aestimavi superfluum, ex quo semel ipsa verba protulimus legis, ut sensum

7 I. Kor. 6, 3 — 8 I. Petr. 1, 12 — 9f Vgl. Harnack TU. 42, 4, 5 »der Judasbrief wird nur einmal beanstandet« — 11 Jud. 6 — 19 Gen. 6, 2

2 περιαθροίσας M 4 ⟨καὶ⟩ Koe 19 οἱ < M 32 τὴν] ⟨αὐτὴν⟩ τὴν Koe, vgl. lat.

ὁποῖόν γέ ἐστιν αὐτοῦ τὸ βούλημα.
ζητητέον οὖν ἐν αὐτῷ τίς ἡ μία
γυνὴ καὶ τίνες οἱ δύο ἄνδρες οἱ
ἀλλήλων ἀδελφοί, ⟨ὧν⟩ πρότερον μὲν
5 γαμῶν ὁ ἕτερός ⟨ἐστι⟩ τὴν γυναῖκα
οὐ καρποφορῶν δὲ ἐξ αὐτῆς, δεύτερον
δὲ γαμῶν ὁ τοῦ τεθνηκότος ἀδελφὸς
καὶ γεννῶν παιδίον ἐξ ὀνόματος τοῦ
τετελευτηκότος. καὶ μετὰ ταῦτα ζη-
10 τήσεις τίς ἐστιν ὁ μὴ βουλόμενος »λα-
βεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἑαυτοῦ«
καὶ διὰ τοῦτο »ἐναντίον τῆς γερουσίας«
ὑπολυόμενος »τὸ ἓν ὑπόδημα« καὶ
ἐμπτυόμενος »εἰς τὸ πρόσωπον« ὑπὸ
15 τῆς γυναικὸς καὶ ἀναβάσης »ἐπὶ τὴν
πύλην« καὶ λεγούσης· »οὐ θέλει ὁ
ἀδελφὸς τοῦ ἀνδρός μου ἀναστῆσαι
τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν
Ἰσραήλ«. ζητηθείη δ' ἂν ἐν τῷ
20 τόπῳ καὶ τίς ἡ γερουσία καὶ ἡ
πύλη ἐφ' ἣν ἀναβαίνει »ἡ γυνὴ«
λέγουσα τὰ γεγραμμένα. ὅτι μὲν
οὖν σεμνόν τι εἶναι καὶ αἰδοῦς
ἄξιον χρὴ πεπεῖσθαι πάντα νόμον
25 ἐπαγγελλόμενον εἶναι θεοῦ ἢ μὴ
ὄντα σεμνὸν μὴ εἶναι νόμον θεοῦ,
πᾶς ὁ μὴ πάντῃ ἀσύνετος ὁμολογή-
σαι ἄν· εἰ δὲ εὑρίσκομεν ἡμεῖς τὸ
τοῦ νόμου τούτου σεμνὸν καὶ αἰδέ-
30 σιμον ἢ μή, πρῶτον μὲν ὁ θεὸς
ἂν εἰδείη καὶ ὁ Χριστὸς αὐτοῦ,
μετὰ δὲ ταῦτα καὶ ὁ κατὰ τὴν

eorum aliquatenus explanemus.
quaero ergo, quae sit haec mulier
una et ⟨qui⟩ duo
fratres, quorum primus quidem
habuit uxorem et fructum non
reliquit ex ea, alter autem mortui
frater, qui accepit eam et gene-
ravit ex nomine mortui; et
quis est ille, qui non vult
»accipere uxorem fratris sui
et propterea »coram senioribus«
excalciat eum mulier calciamen-
tum unum et expuit in faciem
eius, ascendens ⟨ad portam⟩ et
dicens: »non vult frater viri
mei suscitare nomen fratris sui
in Israel«; et qui sunt seniores
et quae porta, ad quam ascendit
»mulier« illa.

10. 21 Vgl. Deut. 25, 7 — **12ff** Vgl. Deut. 25, 9 — **16** Deut. 25, 7 — **32ff** Zu dem Agraphon vgl. Harnack TU. 42, 4, 40

1 *ὁποῖόν γέ* Koe, vgl. lat. *ὡς οἷόν τε* MH **4 5** ⟨*ὧν*⟩ . . . ⟨*ἐστι*⟩ Kl nach Diehl Koe, vgl. lat. **6** *δεύτερον* Kl, vgl. S. 674, 18 *δεύτερος* MH **15** *καὶ* < H **20** *καὶ*[2] + *quae* lat. **25** *ἐπαγγελόμενον* M **30** *ὁ* < H

3 ⟨qui⟩ Koe, vgl. gr. **7** accepit] lat. las *λαβὼν* Diehl **14** et < GL

γραφὴν ὀνομαζόμενος δόκιμος τραπεζίτης καὶ εἰδὼς »πάντα« δοκιμάζειν καὶ τὸ μὲν »καλὸν« κατέχειν, ἀπέχεσθαι δὲ »παντὸς εἴδους πονη-
5 ροῦ«. φέρε οὖν τὸ προκείμενον πρόβλημα νομικὸν διηγήσασθαι θέλοντες, ἐπικαλεσάμενοι τὸν εἰπόντα· »φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς«, εἴπωμεν »καλὸν« μὲν εἰ ⟨κα-
10 τέχομεν⟩ τὰ ὑπ' αὐτοῦ διδόμενα, εἰ δὲ μή γε τὰ ὑποπίπτοντα ἡμῖν εἰς τὸν τόπον· κρινεῖ δὲ ὁ ἐντυγχάνων τοῖς λεχθησομένοις.

Δοκεῖ δή μοι κατὰ μίαν διή-
15 γησιν γυνὴ εἶναι ἡ τοῦ ἀνθρώπου ψυχή, γαμουμένη πρότερον μὲν τῷ τοῦ νόμου γράμματι καὶ μὴ τεκνοῦσα ἐξ αὐτοῦ, δεύτερον δὲ τῷ πνευματικῷ νόμῳ καὶ ἀπὸ τούτου καρπο-
20 φοροῦσα καὶ | γεννῶσα καὶ μὴ ἀφισταμένη ἐν τῷ γεγεννημένῳ τῆς πρὸς τὸν ἀποθανόντα αὐτῇ νόμον γράμματος τιμῆς. καὶ τάχα ἑκάστη ἡ ἐσομένη μακαρία ψυχὴ καὶ τρο-
25 πικῶς ⟨λεγομένη⟩ γυνὴ πάντως γαμεῖται πρότερον κατὰ τὰς εἰσαγωγὰς τῷ τοῦ νόμου γράμματι, ὃς ἀποθνήσκει προκοπτούσης τῆς γυναικὸς ψυχῆς, ἵν' αὐτὴ τοῦ σεμνοτέρου καὶ
30 τεκνοποιοῦ ἐπιτύχῃ γάμου, ὅτε »σωθήσεται διὰ τῆς τεκνογονίας«, ἐὰν τὰ τέκνα μείνῃ »ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης«, οὐ σωθησομένη πρὸ τῆς
35 τεκνογονίας ἢ χωρὶς αὐτῆς. τέκνα

816

2ff. 9 Vgl. I. Thess. 5, 21f — 8 Ps. 77, 2 — 30 I. Tim. 2, 15

3 μὲν] + πρόβλη H[a] 9 ⟨κατέχομεν⟩ Kl 25 ⟨λεγομένη⟩ Diehl Koe 28 προκοπτούσης + *ad maiora* lat. S. 676, 22f

ist zu gr. Z. 23—28 parallel lat. S. 676, 18—26?

δὲ τῆς γυναικὸς ταύτης ψυχῆς ἀπὸ
τοῦ δευτέρου ἀνδρός, τοῦ πνευματι-
κοῦ νόμου, τὰ κατ' αὐτόν ἐστιν ἔργα.
ἀδελφοὶ δὴ ⟨δύο⟩ καὶ ἀπὸ μιᾶς μητρὸς
5 διανοίας γεννώμενοι οἱ δύο νόμοι ***,
οἵτινες ἀεὶ κατοικοῦσιν »ἐπὶ τὸ
αὐτό«· οὐ γὰρ κεχώρισται ὁ
οἶκος αὐτῶν ἀπ' ἀλλήλων. ἀλλ'
»ἀδελφοί« εἰσι καὶ ἀμφότεραι αἱ
10 ἐκδοχαὶ ὡς ἐν οἴκῳ ἑνὶ τῷ περιέ-
χοντι αὐτοὺς γράμματι.

duo igitur fratres sunt,
primus quidem sermo legis, se-
cundus autem evangelii sermo.
hos ambos una peperit sapientia
mater et una eos semper habuit
domus, id est eadem scriptura
veteris testamenti, et »in idipsum«
habitaverunt semper.
in adventu autem Christi mor-
tuus est frater prior, id est
sermo legis, ex eo quod evacuatus
15 per novum testamentum inritus
factus est. mulier autem sermonis
illius est omnis anima vel syna-
goga, quae prius fuit sub lege:
qualis fuit anima Pauli vel Petri
20 ceterorumque ex populo illo. om-
nis autem anima recta, quae fuit
amatrix sermonis illius et vult
memoriam illius et nomen apud
se semper servare, ut numquam
25 desinat dici uxor illius, non ef-
ficitur »foris« uxor alterius pere-
grini et extranei verbi quod non
adpropinquat (peregrinum autem
et extraneum est omne verbum
30 gentile, quod longe est a genere
legis dei), sed accepit sibi virum
evangelicum sermonem, fratrem
viri sui defuncti atque propin-
quum secundum genus divinum,

6f. 26 Vgl. Deut. 25, 5

4 δὴ ⟨δύο⟩ Kl Koe, vgl. lat. δὲ M H **5** *** Koe, vgl. lat. **6** ἀεὶ Kl, vgl. lat. Z. 11 καὶ M H **9** ἀδελφοί Diehl ἀμφότεροι M H **10** ἑνὶ Koe, vgl. lat. τινὶ M H

25f non efficitur foris uxor alterius y* efficitur uxor fratris alterius non L **31** accipit B

ut faciat natos ex eo, quia ex priore sermone nullum potuit facere natum, »quia ex operibus legis« nemo iustificatur. nati autem mulieris de viro secundo opera eius sunt sancta. et ipsa est mulier servans legis mandatum.

καὶ ὅρα εἰ μὴ τοῦτο δηλοῦσθαι δύναται ἐκ τοῦ »ἂν δὲ κατοικῶσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτό«. εἶτα ἑξῆς ἐστι· »καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν, σπέρμα δὲ μὴ ᾖ αὐτῷ«, ἃ κατὰ δύναμιν διηγησάμην. ἴδωμεν δὲ καὶ τὸ »οὐκ ἔσται ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι«, καὶ τίς μὲν γυνὴ ψυχὴ παραβαίνει τοῦτον τὸν νόμον τίς δὲ τηρεῖ.

ὡς ἐν τοιούτοις δὴ τόποις ὑπολαμβάνω μετὰ τὸν θάνατον τῆς κατὰ τὸ γράμμα ἐκδοχῆς τοῦ νόμου καὶ τὴν ἀνατροπὴν αὐτῆς τὴν μέν τινα ψυχὴν

et omnis puto anima in primordiis suis prius accepit verbum secundum simplicem historiam legis, qui sine dubio morietur, cum coeperit anima illa ad maiora proficere. et sic mortuo simplici verbo spiritaliori iungitur verbo, qui est secundum altiora mysteria in scripturis.

*ποιοῦσαν παρὰ τὴν θείαν ἐντολήν, γυναῖκα πρότερον γενομένην τοῦ τεθνηκότος καὶ ἐκείνῳ πιστεύσασαν, »ἔξω« πάντῃ γίνεσθαι τοῦ νόμου »ἀνδρὶ μὴ ἐγγίζοντι«, ὅτε παραδέχεται λόγον αὐτὸν ⟨μὴ⟩ ἐγγίζοντα *** τῇ ἐκδοχῇ τοῦ γράμματος,*

anima autem, quae non servat legis mandatum, quae prius fuit sub lege, post mortem legis fit uxor »foris« »viro non adpropinquanti«, quando suscipit verbum quod non adpropinquat omnino legi priori, nec est secundum

3f Vgl. Gal. 2, 16; Röm. 3, 20 — **9. 30** Deut. 25, 5

9 ἂν] ἐὰν LXX **18** ὡς] ὧν vgl. etwa S. 500, 1 Elt **32** ⟨μή⟩ Hu, vgl. lat. **33** *** Kl Koe, vgl. lat.

1 quia y* < L | priori R G[c] **19** accipit B **23** et < L **24** spiritaliori] spiritali G **25** qui] quod B **26** mysteria altiora L **30** foris y* < L

ἀλλὰ πάντη ἀλλότριον (τοιαῦται δέ εἰσιν αἱ τῶν ἑτεροδόξων ψυχαί, αἷς καὶ ἡ ἐκδοχὴ τοῦ κατὰ τὸν νόμον γράμματος ἐτελεύτα. καὶ οὐκ
5 ἐβουλήθησαν τῷ ⟨ἀεὶ⟩ »ἐπὶ τὸ αὐτὸ« ἐκείνῳ οἰκοῦντι γαμηθῆναι πνευματικῷ νόμῳ,

10 ἀλλά τινι »ἔξω« ἀμφοτέρων τούτων λόγῳ

καὶ μηδαμῶς »ἐγγίζοντι« κοινωνῆσαι).
15 ἑτέραν δὲ ψυχὴν ⟨γυναῖκα εἶναι τὴν⟩ κατὰ θεὸν βιοῦσαν ἀποθανόντος καὶ ἀνατραπέντος τοῦ προτέρου ἀνδρός, οὐ βουλομένην »ἔξω« γενέσθαι καὶ »ἀνδρὶ μὴ ἐγγίζοντι«, ἀλλὰ γαμου-
20 μένην

τῷ ἀδελφῷ τοῦ τετελευτηκότος καὶ »ἐπὶ τὸ αὐτὸ« αὐτῷ οἰκήσαντι, ὅτε »ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς
25
εἰσέρχεται πρὸς αὐτὴν« καὶ γίνεται ἔνδον τῆς ψυχῆς αὐτῆς καὶ λαμβάνει »αὐτὴν ἑαυτῷ εἰς γυναῖκα« καὶ συνοικεῖ αὐτῇ τῇ ψυχῇ ἐπὶ μακα-

sensum eius. sed omnino habetur extraneum (et tales sunt omnes animae haereticorum, quibus sermo quidem legis antiquae mortuus est. noluerunt autem verbo nubere spiritali, quod semper habitaverat »in idipsum«
cum lege antiqua sub una eademque domo eiusdem scripturae,
sed nupserunt alicui extraneo verbo
et alieno tam a novo quam a vetere testamento
et numquam eis adpropinquanti).
cum autem anima recta (mortua sibi sicut diximus lege) acceperit super se 817

evangelicum verbum
fratrem defunctae legis, tunc frater mortui,

hoc est verbum novae legis,
»intrat« ad animam illam et fit intus in ea et accipit »illam sibi uxorem« et cohabitat animae

5ff. 18ff. 28ff Vgl. Deut. 25, 5 — 6 Vgl. Röm. 7, 14

2f so M H, soweit in M die letzten Zeilen auf fol. 106r noch zu lesen sind 2 αἱ] *omnes* lat. 5 ⟨ἀεὶ⟩ Koe, vgl. lat. u. S. 675, 6 15 ⟨γυναῖκα εἶναι τὴν⟩ Diehl, vgl. S. 676, 28 17 ἀνδρός] *lege* lat. 22 τετελευτηκότος — *legis* lat. 23 ὅτε] wie S. 676, 31 ὅτι M lat. las τότε 24 τοῦ + *mortui* lat. 29 ἐπὶ + *omni* lat.

5 noluerunt x* voluerunt ϱ | verbo] lat. las λόγῳ st. νόμῳ 13 veteri Gc B

ρισμῷ αὐτῆς, ἅτε κατὰ τὸ βούλημα
τοῦ θεοῦ γαμουμένης τῷ δευτέρῳ
καὶ πνευματικῷ νόμῳ. »τὸ δὲ παι-
δίον ὃ ἐὰν τέκῃ« καὶ γεννήσῃ ἡ
5 συνοικήσασα τῷ δευτέρῳ καὶ πνευ-
ματικῷ ἀδελφῷ ψυχὴ γυνή.

illi in omni beatitudine eius et
ex ea fructificat. »et infans qui-
cumque natus fuerit« ei,

id est opus quodcumque factum
fuerit ei bonum.

καθίσταται »ἐκ τοῦ ὀνόματος« τοῦ
10 ἀδελφοῦ αὐτοῦ »τοῦ τετελευτηκό-
τος«. καὶ γίνεται οὐκ ἐκ τοῦ προ-
τέρου μὲν ὁμώνυμος δὲ τῷ προ-
τέρῳ· ὄνομα γὰρ τῷ γεννήματι ἐκ
τοῦ πνευματικοῦ νόμου ἐστὶ τὸ
15 ὄνομα τοῦ τετελευτηκότος,
ἐπεὶ κἀκεῖνος ἐκαλεῖτο νόμος ⟨νόμος⟩
θεοῦ. καὶ οὐ χρή γε ἐξαλείφεσθαι ἀπὸ
τοῦ διορατικοῦ καὶ ἀληθῶς Ἰσραὴλ
»τὸ ὄνομα« τοῦ ἀποθανόντος ἀν-
20 δρός, κἂν αὐτὸς ἐξαλειφθῇ.

efficitur »ex nomine« fratris »mor-
tui«; et quamvis non sit ex lege
natum, tamen nomen baiulat
legis prioris et dicitur opus illud
generatum ex lege dei. et nomen
legis dei nominatur in opere illo
bono,
quoniam et illa lex dei lex vo-
cabatur, et non del⟨eri deb⟩etur
»nomen« legis illius ab omnibus
operibus animae sanctae. licet
sit ipsa evacuata.

32. Ταῦτα μὲν οὖν ἐκ μέρους
εἰρήσθω περὶ τοῦ νόμου. θεοῦ δὲ
ἡμῖν πάλιν ἢ καὶ μᾶλλον χρεία, ἐν
Χριστῷ φωτίζοντος τὸν νοῦν ἡμῶν
25 πρὸς θέαν

32. •

τῶν ἑξῆς. »ἐὰν« γὰρ »μὴ βούληται
(φησὶν) ὁ ἄνθρωπος λαβεῖν τὴν
γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ
ἀναβήσεται ἡ γυνὴ τοῦ ἀδελφοῦ
30 αὐτοῦ ἐπὶ τὴν πύλην ἐπὶ τὴν γε-
ρουσίαν καὶ ἐρεῖ« τὰ ἐπιφερόμενα.
καὶ πρῶτόν γε παρατήρει ὅτι, ἐς

Sequitur autem quod ait: »si
autem noluerit homo accipere
uxorem fratris sui, ascendet uxor
fratris eius ad portam ad seniores
et dicet« quae scripta sunt dici.
et primum vide. quamdiu quidem
et mulier faciebat, quod praecep-

3 Vgl. Röm. 7, 14 — 3ff. 19 Vgl. Deut. 25, 6 — 18 Vgl. Register —
26 Deut. 25, 7

4 γενήσῃ M[a] | ἡ Hu καὶ M H
16 ⟨νόμος⟩ Koe, vgl. lat. 17 ἀπὸ]
ὑπὸ H 26 γὰρ] *autem* lat.

1 illi x* illius ϱ 9/10 mortui
fratris G 13 dei x* < μ 17 del⟨eri
deb⟩etur Diehl, vgl. gr. 18 omnibus
operibus y* omni opere L 30 dici
G[a] B L de eo R G[c]

ὅσον ⟨μὲν⟩ καὶ ἡ γυνὴ ἐποίει τὸ ὑπὸ τοῦ νόμου προστεταγμένον, καὶ ὁ ἀνὴρ εἰσιὼν πρὸς αὐτὴν συνῴκει αὐτῇ καὶ ἐτέκνου ἐξ αὐτῆς, ἄνθρωπος
5 *οὐκ εἴρητο ἀλλὰ »ἀδελφὸς« ἀνδρὸς τῆς γυναικός· ὅτε δὲ οὐ βούλεται »λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ« καὶ »οὐ θέλει ἀναστῆσαι τοῦ ἀδελφοῦ αὐτοῦ τὸ ὄνομα ἐν*
10 *Ἰσραήλ«, καὶ καλούμενος ὑπὸ τῆς γερουσίας »τῆς πόλεως« λέγει· »οὐ βούλομαι λαβεῖν αὐτήν«*
καὶ ἀτιμοῦται ὑπολυόμενος »τὸ ὑπόδημα« καὶ ἐμπτύεται »εἰς τὸ πρό-
15 *σωπον« ἀπὸ τῆς γυναικὸς καὶ μετονομάζεται, ἵνα »τὸ ὄνομα αὐτοῦ« ἦ »[ὁ] οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα«,*

tum ei fuerat ex lege, et vir intrans ad eam habitabat cum ea et generabat ex ea, non dicebatur homo, sed »frater« defuncti; quando autem non vult »accipere uxorem fratris sui nec »vult suscitare fratris sui nomen in Israel«, et vocatus a senioribus »civitatis« »dixerit: nolo eam accipere«,

τότε ⟨οὐκέτι ἀδελφὸς ἀλλ'⟩ »ἄνθρω-
20 *πος« λέγεται· οἱονεὶ γὰρ διὰ μὲν τῆς τηρήσεως | τοῦ νόμου ἐλέγετο αὐτῷ τὸ »ἐγὼ εἶπα· θεοί ἐστε ⟨καὶ υἱοὶ⟩ ὑψίστου ⟨πάντες⟩«· διὰ δὲ τοῦ τὰ ἐναντία τῷ νόμῳ ποιεῖν*
25 *οἱονεὶ ἐλέγχεται ὑπὸ τοῦ λόγου φάσκοντος πρὸς αὐτόν· »ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε«.*

tunc iam non dicitur frater, sed homo. utputa quamdiu quidem quis facit legis mandatum, dicit ad eum scriptura: »ego dixi: dii estis et filii excelsi omnes«. si autem ⟨legem⟩ praeterierit, (818)

dicitur ei: »vos autem sicut homines moriemini«.

propinquus autem qui non vult accipere fratris sui uxorem, habetur omnis haeresiacus sermo,

30 *καὶ πρόσχες εἰ δύνασαι νοῆσαι*

quoniam

5 Vgl. Deut. 25, 5 — 7f Deut. 25, 7 — 11ff Vgl. Deut. 25, 8—10 — 19 Vgl. Deut. 25, 7 — 22 Ps. 81, 6 — 26 Ps. 81, 7

1 ⟨*μὲν*⟩ Koe, vgl. lat. 15 *ὑπὸ υ* 17 [*ὁ*] Kl, vgl. LXX u. S. 683, 17 19 ⟨*οὐκέτι—ἀλλ'*⟩ Kl Koe, vgl. lat. 19f *λέγεται ἄνος* H 22f ⟨*καὶ υἱοὶ*⟩ *ὑ.* ⟨*πάντες*⟩ Koe, vgl. lat. 23 *ὑψίστου ἐστε* M | *ὑψίστου*] < H 25 *λόγου*] *νόμου* M

21 quis y* < L 24 ⟨legem⟩ Diehl, vgl. gr. 30 heresiarcus S. 682, 12 B L

μετὰ τὸν θάνατον τῆς ἐκδοχῆς τοῦ
γράμματος εἶναι ἄλλην ⟨τινὰ⟩ ἐκ-
δοχὴν τοῦ νόμου διημαρτημένην καὶ
οὐ πνευματικὴν οὐδὲ ἀνεπίληπτον,
5 πλὴν τὴν γένεσιν ἔχουσαν ⟨ἐκ τοῦ
νόμου⟩ ἡμαρτημένην μὲν ἀπὸ δὲ τῆς
ἀφορμῆς τῶν ἐν τῷ νόμῳ γεγραμμέ-
νων ἀρχομένην. καὶ

10 οὐ βουλομένην »ἀναστῆσαι τὸ ὄνομα
τοῦ ἀδελφοῦ αὐτοῦ« καὶ τιμῆσαι τὸ
ὄνομα τοῦ νόμου. οὐ βούλεται δὲ ἡ
τοιαύτη ἐκδοχὴ
παραλαβεῖν τὴν γυναῖκα τοῦ ἀδελ-
15 φοῦ αὐτοῦ ψυχήν· οὐδὲ γὰρ θέλει
καρποφορῆσαι ἐπὶ τῷ δοξάσαι τὸ
ὄνομα τοῦ τεθνηκότος ἀδελφοῦ. διὸ
ἡ γυνὴ οὐ κάτω ἕστηκεν ἡ ἑτοίμη
τιμῆσαι τὸν πρότερον ἄνδρα αὐτῆς,
20 ἀλλὰ ἀναβαίνει »ἐπὶ τὴν πύλην« καὶ τὴν
εἴσοδον τῆς πόλεως ἑαυτῆς ἔχουσαν

καὶ »γερουσίαν«.
25 καὶ νοείσθω ταῦτα γινόμενα κατὰ
τὴν ἐκκλησίαν καὶ τὴν εἰς αὐτὴν
εἰσαγωγὴν καὶ εἴσοδον.

Ἐλέγχει οὖν ἡ γυνὴ τὸν μὴ
βουλόμενον ἄνδρα καρποφορῆσαι τὸν
30 τοιόνδε λόγον καὶ λέγει· »οὐ θέλει
ὁ ἀδελφὸς τοῦ ἀνδρός μου ἀναστῆ-

post mortem legis facta est altera quaedam traditio legis erratica et non spiritalis neque vera, quae quamvis sit perversa, tamen generationem habet ex lege, quoniam ex occasionibus eorum quae dicuntur in lege sumit originem, et
ideo dicitur »homo« propinquus nolens »suscitare nomen fratris sui« et honorare nomen legis. hoc autem verbum
cum sit pravum, non vult accipere uxorem fratris sui, animam rectam, ad fructificandum et reparandum nomen legis. propter quod mulier illa non deorsum stat, quae parata fuit honorare virum suum priorem, sed ascendit »ad portam«,

de qua scriptum est: »haec porta domini, iusti intrabunt in eam«, et ad seniores civitatis illius,
id est ad presbyteros ecclesiae dei.

Et convincet mulier verbum illud pravum, quod non vult fructificare secundum legem dei, et dicet: »non vult frater viri

10. 20ff Vgl. Deut. 25, 7 — **22** Ps. 117, 20 — **30** Deut. 25, 7

2 ⟨τινὰ⟩ Diehl Kl Koe, vgl. lat. 4 οὐ] οὐδὲ H 5 ἔχουσα M | ⟨ἐκ τοῦ νόμου⟩ Kl Koe, vgl. lat. 8 ἀρχομένην Kl, vgl. lat. ἐρχομένην M H 10 βουλόμενος Koe, vgl. lat. 15 ψυχήν + *rectam* lat. 19 αὐτῆς < M 21 ἔχουσαν Koe ἐχούσης M H 29—31 ἄνδρα—μου < H 29 ⟨κατὰ⟩ τὸν Koe, vgl. lat.

3 et non] neque G 16 reparandum] l. honorandum? Diehl, vgl. gr. 22/23 vgl. gr. S. 685, 17f 29—31 quod—dicet y* dicens L

σαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ«.

mei suscitare nomen fratris sui in Israel«.
qui enim contraria docet legi, non vult suscitare semen legis.

εἶτα »ἡ γερουσία τῆς πόλεως« ἐκείνης ἐξετάζουσα τὸν τοιοῦτον ἄνδρα πυνθάνεται εἰ ἀληθῶς οὐ βούλεται.

ita seniores civitatis illius interrogant virum illum talem si vere non vult -

quando enim sacerdotes discutiunt verba dogmatis alicuius, quasi interrogant illud – et cum invenerint eum qui legi contraria profitetur, videtur dogma illud senioribus dare responsum et dicere quia nolo accipere eam quae fuit legis.

ἀποκριναμένου δὲ ἐκείνου τὸ μὴ βούλεσθαι, προσέρχεται αὕτη πρὸς τὸν μὴ βουληθέντα ἐξαναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐπὶ τῆς γερουσίας ἐλέγχει αὐτὸν καὶ ἀτιμάζει ὑπολύουσα »τὸ ὑπόδημα αὐτοῦ τὸ ἕν«. καὶ σκόπει ἐν τούτοις διὰ τὸ »λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου« εἰρημένον πρὸς Μωσέα καὶ Ἰησοῦν καὶ τὸ »⟨οὗ⟩ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ«, γεγραμμένον ἐν τῷ κατὰ Λουκᾶν καὶ ⟨ἐν τῷ⟩ κατὰ Μᾶρκον καὶ ἐν τῷ κατὰ Ἰωάννην, μήποτε οὐ ταὐτόν ἐστι τὸ λῦσαι τὸ ὑπόδημα τῷ ὑπολῦσαι· οὐ γὰρ ὑπολύσασθαι κελεύεται Μωσῆς ἢ Ἰησοῦς, οὐδὲ Ἰωάννης περὶ τοῦ σωτῆρος ὠνόμασε τὸ ὑπο|⟨λῦσαι

cum ergo ille responderit nolle se, accedit ad eum anima sancta et sub praesentia seniorum ⟨convincit et⟩ excalciat eum »calciamentum eius unum« et ignominiat eum. et vide in his ex eo quod alibi scriptum est: »solve calciamenta pedum tuorum« ad Moysen,

et iterum in evangelio dicit: »cuius non sum dignus ego solvere calciamenta pedum eius«,

ne forte non sit hoc ipsum solvere calciamentum et excalciare. nec enim excalciare iubetur Moyses nec Iohannes de salvatore loquens excalciare dixit, 819

5 Vgl. Deut. 25, 8 — 22 Vgl. Deut. 25, 9 — 24 Ex. 3, 5; Jos. 5, 15 — 26 Luc. 3, 16; Marc. 1, 7; Joh. 1, 27

26 ⟨οὗ⟩ Kl, vgl. lat. 30 ⟨ἐν τῷ⟩ Koe 36 ὠνόμασαι H^a | ὑπο⟨λῦσαι ἀλλὰ τὸ⟩ Kl, vgl. lat.

6 si vere G^a B L se habere R si abere G^c 16 fuit] sunt B 19/20 ⟨convincit et⟩ Diehl Koe, vgl. gr.

ἀλλὰ τὸ⟩ λῦσαι. οὗτος οὖν ὁ παρανομῶν

οὔτε ἐξ ὅλων ὑπολέλυται οὔτε πάντῃ τῇ ὑποδέσει κεκόσμηται, ἀλλ᾿ ἐξ ἡμισείας ἑκάτερον ἔχει. διὸ ἐμπτύει »εἰς τὸ πρόσωπον αὐτοῦ« ἡ ἐπὶ τῆς γερουσίας ἐλέγξασα αὐτὸν γυνή· ἐμπτύει γὰρ

πᾶσα ψυχὴ τῷ οὐ τεκνοποιοῦντι οὐδὲ καρποφοροῦντι λόγῳ, καὶ διὰ τῆς ἀνατροπῆς ὑπολύει αὐτὸν ἐν οἷς πταίει

καὶ »ἀποκριθεῖσα« λέγει ὅτι »οὕτως ποιήσουσι τῷ ἀνθρώπῳ ὃς οὐκ οἰκοδομεῖ τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ«.

καὶ πρόσχες πάλιν ἐνταῦθα ὅτι

sed solvere. iste autem, qui contra legem agit,

excalciatur. omne enim dogma, quoniam ex occasione veritatis scripturarum nascitur, plerumque in aliqua quidem parte verum dicit, in alia autem falsum. in qua ergo parte falsum dicit, in ea parte arguitur, et convictum ab anima sancta excalciatur a colore verisimili erroris sui, quo fuerat calciatus. et ideo omnis haeresiacus sermo

nec ad plenum excalciatus est nec ad plenum calciamentis ornatus ***. propter quod expuit »in faciem eius« coram senioribus mulier illa abrenuntians eum; expuere enim videtur

»in faciem« dogmatis erratici omnis anima in eo, quod

abrenuntiat eum et abdicat.

et vere nisi abrenuntiaverit anima omne dogma perversum, non potest firmiter verbo nubere veritatis.

et »respondens dicit: sic facient homini, qui non aedificat domum fratris sui«.

26f Vgl. Jac. 1, 18? — 28 Deut. 25, 9

17 ἡ Kl, vgl. lat. καὶ MH
19 ἐμπτύειν γὰρ ⟨δοκεῖ⟩ Koe, vgl. lat.

9f arguitum y | convicium G 11 verisimili x* verisimilis μ | quo fuerat calciatus x* quod fuerat calciatum μ 12 heresiarcus BL 16 *** Kl, vgl. gr. | expuet G 18 eum] ipsum L 28 dicit RG dicet BL

δεύτερον τὸ ἄνθρωπος ὠνόμασται
ἐπὶ τοῦ ἁμαρτάνοντος. νῦν δ' ἤδη
καὶ μὴ οἰκοδομοῦντος »τὸν οἶκον
τοῦ ἀδελφοῦ αὐτοῦ«.
5 πᾶς οὖν ὁ βλέπων τοῦτον τὸν ἄνθρω-
πον ὑπολυόμενον ἀπὸ γυναικὸς καὶ
ἐμπτυόμενον καὶ ἀκούων αὐτῆς λε-
γούσης· »οὕτω ποιήσουσι τῷ ἀν-
θρώπῳ, ὃς οὐκ οἰκοδομεῖ τὸν οἶκον
10 τοῦ ἀδελφοῦ αὐτοῦ«, »πάντα πρὸς
οἰκοδομὴν« τοῦ ἀδελφοῦ ποιείτω·
εἰ γὰρ μὴ οἰκοδομήσαι »τὸν οἶκον
τοῦ ἀδελφοῦ αὐτοῦ« ⟨νόμου⟩, ὑπο-
λυθήσεται »τὸ ἓν ὑπόδημα« καὶ ἐμ-
15 πτυσθήσεται καὶ »τὸ ὄνομα« παντὸς
τοῦ τοιούτου »ἐν Ἰσραὴλ« παρὰ
⟨πᾶσι⟩ τοῖς ὁρῶσι »κληθήσεται οἶκος
τοῦ ὑπολυθέντος τὸ ὑπόδημα«.
Ἴδωμεν δὲ καὶ δευτέραν εἰς
20 τὸν ἐκκείμενον τόπον διήγησιν. καὶ
ἔστωσαν δύο νόμοι ἀδελφοί, καθ'
οὓς ὁ μὲν τηρήσας τὸν πρότερον
οὐκ ἦν »ἄνομος θεοῦ«, ὁ δὲ τὸν
δεύτερον φυλάσσων ἐστὶν »ἔννο-
25 μος Χριστοῦ«. καὶ νόει μοι κατὰ τὴν
Χριστοῦ παρουσίαν τεθνηκέναι τὸν
πρότερον νόμον. ἄνθρωπον τῆς τῶν
ἀνθρώπων ψυχῆς, ἐπεὶ μὴ »δεδό-
ξασται τὸ δεδοξασμένον ἐν τούτῳ
30 τῷ μέρει« πρότερον »ἕνεκεν τῆς
ὑπερβαλλούσης δόξης« τῆς κατὰ

omnis ergo qui videt hunc hominem excalciari a muliere et expui et audire dicentem: »sic facient omni homini, qui non aedificat domum fratris sui«, »omnia ad aedificationem« fratris facere debet. si autem non aedificaverit »domum fratris sui« legis, excalciabitur similiter »unum calciamentum« et expuetur et »nomen eius vocabitur in Israel« ab omnibus videntibus eum »domus excalciati calciamentum«.

1. 3. 8. 12 Deut. 25, 9 — 10 Vgl. I. Kor. 14, 26 — 15ff Deut. 25, 10 — 23 Vgl. I. Kor. 9, 21 — 28 II. Kor. 3, 10

1 τὸ Kl ὁ ὡς M H 13 ⟨νόμου⟩ Kl Koe, vgl. lat. 13/14 ὑπολυθήσεται + *similiter* lat. 17 ⟨πᾶσι⟩ Diehl, vgl. lat. | ὁρῶσι + *eum* lat. 20 τόπον] νόμον H 27 ἄνθρωπον] l. ἄνδρα? Kl, vgl. Röm. 7, 2: κύριον? Koe, vgl. Röm. 7, 1

7 audire G[a] B L audit sibi R G[c] 11 autem] enim Koe, vgl. gr. 15 eius] unius cuiusque Diehl, vgl. gr.

τὸ δεύτερον· δεύτερον δὲ νόμον τοῦ
Χριστοῦ, ἀδελφὸν ὄντα τοῦ προ-
τέρου καὶ διὰ Μωσέως καὶ υἱὸν τοῦ
αὐτοῦ λόγον, ὃς καὶ τὸν πρότερον
5 ἐγέννησε. κατοικούντων οὖν τού-
των τῶν δύο ἀδελφῶν »ἐπὶ τὸ
αὐτὸ« μάλιστα κατὰ τὴν παρου-
σίαν ἀπέθανεν ὁ εἷς ἐξ αὐτῶν καὶ
οὐκ ἦν αὐτῷ σπέρμα. ἀλλὰ ἡ γυνὴ
10 τοῦ τεθνηκότος μετὰ τὸν θάνατον
τοῦ προτέρου ἀνδρός, ἡ ὑπὸ νόμον
ψυχή, οὐ γίνεται »ἔξω ἀνδρὶ μὴ
ἐγγίζοντι«· ἐγγίζει γὰρ ἀνήρ, ὁ
τοῦ εὐαγγελίου νόμος, ὡς ἀδελφὸς
15 τοῦ ἀνδρὸς τεθνηκότος τῷ προ-
τέρῳ νόμῳ, καὶ εἰσέρχεται πρὸς
τὴν γυναῖκα τοῦ ἀδελφοῦ. οἷον ὡς
ἐπὶ παραδείγματος ἰδέ μοι τὴν
Παύλου ψυχὴν »ὑπὸ νόμον«, εἶτα
20 διὰ Χριστὸν ἐξαγοράσαντα αὐτὸν
ἀπὸ τοῦ νόμου γενομένην ὑπὸ τὸ
εὐαγγέλιον. καὶ ὅρα εἰ μὴ ἀπέθανεν ὁ
ἀνὴρ τῆς Παύλου ψυχῆς, καὶ οὐδὲν | 820
ἧττον ἀποθανόντος ἐκείνου ἡ γυνὴ
25 τοῦ τεθνηκότος οὐ γέγονεν »ἔξω«,
ὡς οἴονται οἱ ἀπὸ τῶν αἱρέσεων,
οὐδὲ »ἀνδρὶ μὴ ἐγγίζοντι«. ὁ γὰρ
»ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς« εἰσῆλθε
πρὸς αὐτὴν καὶ ἔλαβεν »αὐτὴν
30 ἑαυτῷ εἰς γυναῖκα« καὶ συνῴκησεν
αὐτῇ, καὶ γέγονεν ὁ καρπὸς καὶ τὸ
γέννημα καὶ »τὸ παιδίον« καὶ τὸ
τεχθὲν »ἐκ τοῦ ὀνόματος τοῦ τετε-

6ff. 16. 25ff Vgl. Deut. 25, 5 — 19 Vgl. I. Kor. 9, 20 — 20 Vgl. Gal. 3, 13 — 32f Vgl. Deut. 25, 6

1 τὸ] τὸν H 2/3 προτέρου ⟨τοῦ θεοῦ⟩ καὶ διὰ Μωσέως ⟨νόμου⟩? Koe 7 ⟨Χριστοῦ⟩ παρουσίαν Koe 13 ἀνήρ < M 21 γενομένην Kl γενόμενον M H 33 τελευτηκότος M[a]

λευτηκότος«. κατὰ γὰρ τὸν πνευματικὸν νόμον τὸ εὐαγγέλιον ὀνομάζει πάντα, καὶ οὐκ ἐξήλειπται τὸ ὄνομα τοῦ τετελευτηκότος, ὅτε
5 ἐλήλυθεν ὁ νόμος τοῦ εὐαγγελίου· παρὰ γὰρ τῷ ἀληθινῷ Ἰσραὴλ τηρεῖται καὶ τὸ ὄνομα τοῦ προτέρου. τίς δὲ μετὰ ταῦτα ὁ μὴ βουλόμενος ἄνθρωπος »λαβεῖν τὴν γυναῖκα τοῦ
10 ἀδελφοῦ ἑαυτοῦ« ἢ ὁ ἐν ταῖς αἱρέσεσι λόγος, μὴ βουλόμενος τὴν τιμήσασαν ψυχὴν τὸν πρότερον ἄνδρα καὶ τὴν μνήμην τοῦ προτέρου ἀνδρὸς παραδέξασθαι; καθ' οὗ ἀνα-
15 βαίνει ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ »ἐπὶ τὴν πύλην«, περὶ ἧς λέλεκται τὸ »αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ« καὶ ἀναβαίνει »ἐπὶ τὴν γερουσίαν« καὶ
20 διαμαρτύρεται περὶ τοῦ μὴ βουλομένου »ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ ἐν Ἰσραὴλ« μηδὲ τιμῆσαι τὸν τοῦ θεοῦ διὰ Μωσέως νόμον. ἐπὰν οὖν »ἡ γερουσία« πύ-
25 θηται τοῦ τοιούτου ἀνθρώπου εἰ ἀληθῆ περὶ αὐτοῦ λέγει ἡ γυνὴ καὶ οὐ βούλεται ἐξαναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ, τότε προσέρχεται »ἡ γυνὴ« τοῦ τεθνηκότος »ἐναν-
30 τίον τῆς γερουσίας« καὶ ὑπολύει »τὸ ὑπόδημα τὸ ἓν ἀπὸ τοῦ ποδὸς αὐτοῦ«, ἵνα κἂν ᾖ ὑποδεδεμένος τὸ Χριστοῦ ὄνομα, ὑπολελυμένος τε ᾖ τὸ τοῦ θεοῦ ὄνομα καὶ διὰ τοῦτό
35 γε οὐκ ἐνδόξως οὐδὲ ἀληθῶς τὸ Χριστοῦ φορῶν ὄνομα. ἐμπτύει δὲ καὶ »εἰς τὸ πρόσωπον« τοῦ τοιούτου

9f. 16. 19f Vgl. Deut. 25, 7 — **17** Ps. 117, 20 — **24** Vgl. Deut. 25, 8 — **29ff** Vgl. Deut. 25, 9

ἡ γυνὴ καὶ ὀνειδίζει ὡς ἀνθρώπῳ
αὐτῷ, καὶ οὐ βουληθέντι θεοποιη-
θῆναι ἐκ τοῦ καρποφορῆσαι· καί
φησιν οὕτω παντὶ ἔσεσθαι τῷ μὴ
5 οἰκοδομήσαντι »τὸν οἶκον τοῦ ἀδελ-
φοῦ αὐτοῦ«, τοῦ εὐαγγελικοῦ λόγου,
ὃς νομικός ἐστι καὶ προφητικός.
καὶ ἄλλο ὄνομα οὐχ ἕξει ὁ μὴ οἰκο-
δομῶν τὸ ὄνομα αὐτοῦ παρὰ τοῖς
10 Ἰσραηλίταις ἢ τοῦτο ὅτι »οἶκός«
ἐστιν οὗτος »τοῦ ὑπολυθέντος τὸ
ὑπόδημα«. πᾶς οὖν ὁ ἐν αἱρέσεσι,
μάλιστα ταῖς διακοπτούσαις τὴν
θεότητα καὶ τὸν νόμον ἀπὸ τοῦ
15 εὐαγγελίου χωριζούσαις, καλινδού-
μενος »οἶκός« ἐστι »τοῦ ὑπολυ-
θέντος ὑπόδημα«, ἐμπτυόμενος »εἰς
πρόσωπον« καὶ ὑπολυόμενος »τὸ ἓν
ὑπόδημα«.

20 Καὶ τρίτην δὲ τοιαύτην ὑπό-
νοιαν εἰς τὸν τόπον ἐξεδεξάμεθα,
ἣν διὰ βραχέων ἐροῦμεν. γυνὴ μὲν
ἡ σοφία εἴρηται διὰ τὸ »ταύτην
ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ«,
25 ⟨ἣν⟩ καὶ ἐρᾶν δεῖ κατὰ τὸν | 821
εἰπόντα Σολομῶνα· »ἐράσθητι αὐ-
τῆς, καὶ τηρήσει σε«. ἀνὴρ δὲ αὐτῆς
ὁ σοφός. ἐὰν οὖν ὁ σοφὸς μὴ γεννή-
σας τινὰς ἐκ τῆς σοφίας ἀπαλλαγῇ
30 τοῦ βίου, ὁ κατοικήσας μετ᾽ αὐτοῦ
ἀδελφὸς καὶ ἐν τοῖς αὐτοῖς ἀνα-
παυσάμενος λόγοις πρεσβευέτω τῶν
αὐτῶν, ἵνα γεννηθῇ ἐκ τῆς σοφίας ὁ
κλέος περιποιήσων τῷ ἀπαλλαγέντι
35 τῆς συμβιώσεως ⟨τῷ⟩ τὸν καρπὸν

5. 16 Vgl. Deut. 25, 9 — 8 Vgl. Deut. 25, 10 — 10 Deut. 25, 10 —
23 Sap. Sal. 8, 2 — 26 Prov. 4, 6

7 ὃς Koe ὁ M H | προφητικός] πρὸ H 25 ⟨ἣν⟩ Kl 35 ⟨τῷ⟩ Koe

παραστῆσαι. εἰ δὲ μὴ βούλοιτο
πρεσβεῦσαι ὁ καταλειπόμενος ἀδελ-
φὸς τῶν λόγων, ἀτιμασθήσεται ὑπὸ
τῆς σοφίας ἐξ ἡμισείας αὐτὸν ὑπο-
5 λυούσης· οὔτε γὰρ οὐχ ὑπολυθή-
σεται ὁ τοιοῦτος οὔτε τελείως ὑπολυ-
θήσεται.
εἰς δὲ κατασκευὴν τοῦ τὸν
νόμον ἄνδρα λέγεσθαι κατὰ τὴν
10 γραφὴν γυναικὸς τῆς ψυχῆς,
παραθησόμεθα τὰ ἀπὸ τῆς πρὸς
Ῥωμαίους οὕτως ἔχοντα· »ἢ ἀγνο-
εῖτε, ἀδελφοί, γινώσκουσι γὰρ νόμον
λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ
15 ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ;«

καὶ τὰ ἑξῆς

20

ἕως τοῦ
»γενομένην ἀνδρὶ ἑτέρῳ«.
25 εἴρηται δὲ πλείονα ἡμῖν εἰς τὸν τόπον
διηγουμένοις τὸ χωρίον του⟨τὶ⟩
τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς ἐν
τοῖς εἰς αὐτὴν ἐξηγητικοῖς. 33. ταῦτα
μέν, εἰ καὶ μετὰ παρεκβάσεως λε-
30 λέχθαι δοκεῖ, εἰρήσθω εἰς σαφήνειαν
τοῦ παρὰ Μωσεῖ νόμου, οὗ μνη-
σθέντες οἱ Σαδδουκαῖοι ἐπύθοντο
τοῦ σωτῆρος λέγοντες τὸ Μωσῆς
εἶπεν·
35 ἐάν τις ἀποθάνῃ μὴ ἔχων
τέκνα

quoniam autem animae vir prior
fuit sermo Mosaicae legis, se-
cundus autem evangelicus sermo,
cui nubit omnis anima recta
mortua lege, illud est documen-
tum quod apostolus dicit hoc
modo: »an ignoratis, fratres, scien-
tibus enim legem loquor, quo-
niam lex dominatur homini in
quantum temporis vivit?
si autem mortuus fuerit vir, soluta
est a lege viri. igitur vivente viro
adultera est, si facta fuerit alteri
viro; si autem mortuus fuerit
vir, libera est a lege viri, ita ut
non sit adultera
si fuerit cum altero viro«.

33. haec
in excessu diximus ad manifestan-
dum legem Moysi, cuius me-
moriam facientes *Sadducaei* Chri-
stum interrogabant *dicentes:*
Moyses dixit

12 Röm. 7, 1—3 — 25 ff Vgl. Comm. in ep. ad. Rom. VI, 7 (Lomm. 7, 27 ff)

1 μὴ < M 4 5 ἀπολυούσης M^a w. e. sch. 8—11 lückenhaft Kl Koe, vgl. lat. 26 του⟨τὶ⟩ Diehl 11 nubet G 18 vir < y 22 libera R liberata x 24 altero] alio B 29 30 manifestandam L

καὶ τὰ ἑξῆς.	et cetera,
Φέρε δὲ μετὰ ταῦτα τὰ ἄλλα τοῦ εὐαγγελίου ἐξετάσωμεν τὰ ἀπὸ τοῦ ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ 5 ἀδελφοί· καὶ ὁ πρῶτος γήμας ἐτελεύτησε καὶ τὰ ἑξῆς. ὁ μὲν Ἡσαΐας ἐν τῇ προφητείᾳ φησίν· »ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι· τὸν ἄρτον 10 ἡμῶν φαγόμεθα καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν«. οἱ δὲ προσελθόντες Σαδδουκαῖοι τῷ σω- 15 τῆρι τὸ ἀνάπαλιν τῇ προφητείᾳ φασὶ περὶ ἀνδρῶν ἑπτὰ γαμησάντων μίαν γυναῖκα. πλάσμα δὲ δοκεῖ μοι εἶναι τὸ πρόβλημα αὐτῶν, προθεμένων διὰ τοῦ πλάσματος τὸν 20 περὶ ἀναστάσεως ἀθετῆσαι λόγον καὶ	
οἰηθέντων ἀκολουθεῖν τῇ ἀνα¦στάσει τὸ ἕκαστον τῶν ἀνισταμένων τὴν αὐτὴν ἔχειν σχέσιν πρὸς οὓς εἶχεν ἐν 25 τῷ βίῳ τούτῳ, ἵν' ὁ μὲν ἀνὴρ ἀπολάβῃ καὶ τὴν γυναῖκα μετὰ τὸ τυχεῖν ἀναστάσεως, ὁ δὲ πατὴρ μείνῃ ἐν τῇ σχέσει τῇ πρὸς τὸν υἱὸν καὶ ὁ ἀδελφὸς πρὸς τὸν ἀδελ- 30 φόν.	putantes omnia sic futura esse 822 illic, quomodo sunt in saeculo isto viri et uxores, patres et filii, fratres et sorores.
ἠγνόουν δὲ ἄρα ὅτι ὁ δημιουργὸς πάντα ποιῶν πρὸς τὸ χρήσιμον, ὅπου μὲν γένεσίς ἐστι καὶ φθορά,	

8 Jes. 4, 1 — 17ff Vgl. Hieron. in Matth. 180 B: *turpitudinem fabulae opponunt, ut resurrectionis denegent veritatem*; *Π* 253, 7

10 11 φαγόμεθα . . . περιβαλούμεθα Kl, vgl. LXX φαγώμεθα . . . περιβαλόμεθα M H 26 τὸ Kl τοῦ M H

22 putantes x* putaverunt ϱ

πεποίηκεν ἀναγκαίως τὰς τοιαύτας
σχέσεις, ἵν' ὁ μέν τις ᾖ ἀνὴρ διὰ
γυναικὸς διακονούμενος παίδων γε-
νέσει, οἱ δὲ γεννώμενοι σχῶσί τι ἐκ
5 τῆς διὰ τῶν αὐτῶν γενέσεως συγ-
γενές, ὄντες ἀδελφοί· γενέσεως δὲ
ἔργον ἦν καὶ πατὴρ καὶ υἱὸς καὶ
μήτηρ καὶ θυγάτηρ. εἰ οὖν ἐν τῇ
μακαριότητι οἱ γέρως ἀξιούμενοι
10 διὰ τὸν ἐνεστηκότα αἰῶνα ἐν ᾧ
καλῶς ἐβίωσαν ἐν ἐκείνῃ ἔσονται
τῇ ζωῇ, καὶ οὐδεὶς τῶν μὴ ἀγωνισα-
μένων ἐνταῦθα καταξιοῦται τῆς ἐκ
νεκρῶν ἀναστάσεως, δηλονότι ὧν
15 ἐνταῦθα διὰ γένεσιν χρεία ἦν, ταῦτα
οὐκ ἔσται ἐκεῖ. οὐδὲν γὰρ παρέλκον
ὁ θεὸς ποιεῖ οὐδὲ μάτην τι παρ'
αὐτῷ γίνεται.
ἐχρῆν δὲ ὁρᾶν ⟨τότε⟩ τοὺς Σαδδου-
20 καίους τὸ ἀκόλουθον αὐτῶν τῇ
ὑπονοίᾳ περὶ τοῦ ἕκαστον ἀπο-
λήψεσθαι τὴν ἑαυτοῦ γυναῖκα, ὅτι
πάλιν ἐκεῖ τεκνογονίαι καὶ παίδων
γενέσεις καὶ θάνατοι· εἰ δὲ ταῦτα
25 καὶ νόσοι, εἰ δὲ γενέσεις καὶ νη-
πιότητες καὶ προβάσεις ἀπὸ νη-
πιότητος ἐπὶ τὸ συμπληροῦσθαι
⟨τὴν⟩ διάλεκτον καὶ ὕστερον τὸν λό-
γον καὶ ἐν τῇ συμπληρώσει τοῦ λόγου
30 κακίαν, καὶ μόλις ποτὲ πάλιν ἀρε-
τὴν ἐν ὀλίγοις τοῖς ζητοῦσιν αὐτὴν
εὑρίσκεσθαι.

debuerunt enim considerare tunc
Sadducaei ea, quae sequebantur
opinionem eorum: quoniam si
sunt ibi nuptiae, et partus; si
partus, et mortes et infirmitates;
si nativitas, et pueritia et ascen-
siones a pueritia ad maturitatem
virilem et minorationes senectu-
tis. si autem haec omnia, erit
et malitia, et vix alicubi virtus
invenietur in raris hominibus
quaerentibus eam.

30f Vgl. Matth. 7, 14

5 *γεννέσεως* H^a *γεννήσεως* Hu 14 *ὧν* H^c (H^a?) *ᾧ* M 19 ⟨*τότε*⟩ Kl Koe, vgl. lat. 23 *ἐκεῖ* + *nuptiae* lat. 28 ⟨*τὴν*⟩ Diehl

19 l. debuerant? Kl. vgl. gr. 21 ff lat. frei 22 ibi < B

Τούτων δὲ τί ἂν εἴη ματαιότερον; καὶ βέλτιόν γέ ἐστι μὴ εἶναι ἀνάστασιν τοῦ τοιαύτην | εἶναι ὁποίαν ὑπενόουν οἱ Σαδδουκαῖοι, 5 ὑπολαμβάνοντες ἀκολουθεῖν τῇ ἐκ νεκρῶν ἀναστάσει τὸ ἀπολαμβάνειν ἕκαστον τὴν γυναῖκα· ᾧ ἀκόλουθον ἦν καὶ ἕκαστον τῶν εἰρημένων ἔσεσθαι. εἴπερ οὖν καινὸς αἰών 10 ἐστιν ἐλπιζόμενος καὶ (ὡς ὠνόμασεν Ἡσαΐας) »οὐρανὸς καινὸς καὶ γῆ καινή« καὶ ὡς ἐν τῷ εὐαγγελίῳ γέγραπται »ποτήριον« καινῆς διαθήκης, ἀπὸ ἀμπέλου οἶμαι καινῆς, 15 ἑτεροῖα δεῖ εἶναι πάντα τὰ τῆς ἐκεῖσε ζωῆς καὶ ἀληθῶς μακάρια. ὥσπερ δέ, ὡς ὁ λόγος ἀπέδειξεν, ἠκολούθησε τῷ εἶναι γυναῖκα καὶ ἄνδρα τὸ ἔσεσθαι καὶ τέκνα πα- 20 τέρων καὶ ἀδελφοὺς ἀδελφῶν καὶ μητέρας τῶν γεννωμένων, οὕτω μήποτε ἀκολουθεῖ τῷ μὴ εἶναι γυναῖκα ἢ ἄνδρα τὸ μηκέτι ἔσεσθαι πατέρα καὶ μητέρα καὶ ἀλλήλων 25 τινὰς ἀδελφούς, τάχα οὐ περὶ μελλόντων μόνον ἀλλὰ καὶ τῶν παρεληλυθότων. ἐκεῖ γὰρ οὐκέτι τοῦ κατὰ σάρκα γένους ἔσται μνήμη παρὰ τοῖς εὐλόγως ἀκούουσι τοῦ »μὴ 30 μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε· ἰδοὺ ποιῶ καινὰ πάντα«. καὶ κατὰ τοῦτο ἐν τῷ μέλλοντι αἰῶνι οὐ χρηματίσει πατὴρ τοῦ Ἀβραὰμ ὁ Θάρρα οὐδὲ 35 τοῦ Ἰσμαὴλ καὶ τῶν ἀπὸ Χεττού-

Et his quid potest esse amplius vanum? et melius est *ut nec sit resurrectio*, quam ut sit talis 823 qualem aestimant *Sadducaei*.

11 Vgl. Jes. 66, 22 — 13 Vgl. Luc. 22, 20; I. Kor. 11, 25 — 29 Jes. 43, 18f

10 ἐλπιζόμενος + καὶ γῆ καινή ρ **23** ἔσεσθαι ⟨τέκνα καὶ⟩ Diehl **34** τοῦ Kl τῷ MH **35** καὶ] ἢ Koe

1 et + in R G **2** est ut nec] ne B

ρας ὁ Ἀβραάμ, τάχα δὲ οὐδὲ τοῦ
Ἰσαάκ· »τὰ γὰρ ἀρχαῖα παρῆλθε«
καὶ τότε λεχθήσεται τὸ »ἰδοὺ γέγονε
καινὰ πάντα«.

5 εἰ δέ ἐστιν ἄλλως τις παρὰ »τὸ κατὰ
σάρκα« ἀδελφὸς καὶ ἑτέρως παρὰ τὰ
ἐν γενέσει πράγματα πατὴρ καὶ
υἱός, οὐκέτι

10

διὰ γυναικὸς οὐδὲ δι' ἀσχημόνων
μερῶν τοῦ σώματος,
ἀλλὰ ἀνάλογον τῷ καὶ τὸν σωτῆρα
υἱὸν εἶναι τοῦ θεοῦ, ἐπιστήσει ὁ
15 δυνάμενος τὰ τηλικαῦτα ὀρθῶς ζη-
τεῖν χωρήσας »τὸ πάντα« ἐρευνῶν
»πνεῦμα, καὶ τὰ βάθη τοῦ θεοῦ«.

si autem est ibi aut pater aut frater
aut aliquid eiusmodi, non tamen
est

secundum nativitatem carnalem
neque
per mulierem neque per turpes
corporis partes.

Ἐγὼ δὲ οὐ μόνον ἐπὶ τούτων
τὸ ἑτεροῖον καὶ ὥσπερ ὁμώνυμον
20 παραλαμβάνω, λέγω τὰ ἀδελφοῦ
καὶ πατρὸς καὶ υἱοῦ,
ἀλλὰ καὶ περὶ γυναικὸς
καὶ ἀνδρός.
ἐν γὰρ τῇ ἀναστάσει τῶν νε-
25 κρῶν ἀληθὲς καὶ τὸ οὔτε γαμοῦσιν
οὔτε γαμίζονται, ἀλλ' εἰσὶν
ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ,
ἀληθὲς δὲ καὶ τὸ
ὡς ἐν παραβολῇ εἰρημένον περὶ
30 ἑτεροίου παρὰ τοὺς ἐπὶ | γῆς γάμους
ἐν τῷ »ὡμοιώθη ἡ βασιλεία τῶν
οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις
ποιῶν γάμους τῷ υἱῷ αὐτοῦ« καὶ
τὰ ἑξῆς

Ego autem aestimo non tan-
tum ibi ⟨fratres et⟩ patres et
filios esse
secundum inpassi-
bilem spiritum, sed etiam uxorem
et virum in spiritus unitate,

secundum parabolam illam

824

quae dicit: »simile est regnum
caelorum homini regi, qui fecit
nuptias filio suo« et cetera.

2f II. Kor. 5, 17 — 5f Vgl. Röm. 9, 5 — 16 I. Kor. 2, 10 — 31 Matth. 22, 2

5 ἐστιν + *ibi* lat. | ἄλλος ρ 16 τὸ] τὰ M 21 υἱοῦ + *secundum inpassibilem spiritum* lat. 23 ἀνδρὸς + *in spiritus unitate* lat. 31 32 τῶν οὐρανῶν] τοῦ θεοῦ M

5 est ibi aut B L aestimabitur R G 7 est] esse R G 19 ⟨fratres et⟩ Diehl, vgl. gr. 23 spiritus unitate B L spiritu unitatis R G[c] spiritum unitates G[a]

καὶ ἐν τῷ »τότε ὁμοιωθήσεται ἡ
βασιλεία τῶν οὐρανῶν δέκα παρ-
θένοις, αἵτινες λαβοῦσαι τὰς λαμ-
πάδας αὐτῶν« καὶ τὰ ἑξῆς.
5 οὐκοῦν ὁ υἱὸς τοῦ βασιλέως ἐν τῇ
ἀναστάσει τῶν νεκρῶν γαμεῖ γάμον
παρὰ πάντα γάμον, ὃν ὀφθαλμὸς
εἶδε καὶ οὖς ἤκουσε »καὶ ἐπὶ
καρδίαν ἀνθρώπου« ἀνέβη· καὶ ἔσται
10 ὁ σεμνὸς καὶ θεῖος ἐκεῖνος καὶ
πνευματικὸς γάμος ἐν ἀρρήτοις ῥή-
μασιν, ἃ μὴ ἔξεστιν ἀνθρώπῳ λα-
λεῖν. ζητήσει δέ τις εἰ ἀνάλογον
τῷ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν
15 τοῦ νυμφίου γάμῳ εἰσὶ καὶ ἄλλοι
γάμοι ἢ ἐν τῇ ἀναστάσει τῶν
νεκρῶν μόνος ὁ νυμφίος, καταρ-
γήσας πάντα γάμον, γαμεῖ γάμον,
οὐχ ὅπου »ἔσονται οἱ δύο εἰς σάρκα
20 μίαν«, ἀλλ' ὅπου κυριώτερόν ἐστιν
εἰπεῖν ὅτι ἓν πνεῦμά εἰσιν ὁ νυμ-
φίος καὶ ἡ νύμφη. ἀλλ' ὅρα μή-
ποτε ὀλίσθῃς ἀκούων τοιούτων λό-
γων πρὸς τὸ τὴν περὶ τῶν αἰώνων
25 μυθοποιίαν, ἀρρένων καὶ θηλειῶν,
παραδέξασθαι κατὰ τοὺς ἀναπλά-
σαντας τὰς συζυγίας αὐτῶν οὐδαμῶς
⟨οὔσας οὐδ'⟩ ὑπὸ τῶν ἱερῶν γραμ-
μάτων δηλουμένας.
30 34. Ἐπεὶ οὐδεμιᾶς τροπο-
λογίας δεῖται τὸ πύσμα τῶν Σαδ-

ergo filius regis *in resurrectione* mortuorum faciet nuptias extra omnes nuptias quas oculus vidit et auris audivit et »super cor hominis« ascendit; et erunt illae nuptiae castae et divinae et spiritales in verbis mysterialibus constitutae, quae non licet hominibus loqui. et quaeres si *in resurrectione* possunt esse et aliorum nuptiae secundum nuptias Christi, aut potius solus Christus sponsus destruens nuptias omnes faciet nuptias, ut sint duo in carne una, magis autem non solum duo in carne una, sed duo spiritus unus, id est sponsus et sponsa. sed vide, ne tu audiens haec aberres, accipiens fabulas aliquorum dicentium esse saecula masculina et feminina, qui finxerunt et coniunctiones saeculorum illorum, quae non sunt neque fit eorum memoria in ⟨sanctis⟩ scripturis.

34.

1 Matth. 25, 1 — 7f Vgl. I. Kor. 2, 9 — 11f Vgl. II. Kor. 12, 4 — 19f Vgl. Matth. 19, 5 Parr. — 24ff Vgl. dazu in Joh. tom. II, 24 (IV, 81, 1ff)

9 ἔσται Koe, vgl. lat. ἔστιν M H **11/12** ῥήμασιν + *constitutae* lat. **17** ὁ] l. χ̅ς̅ ? Kl, vgl. lat., doch läßt gr. auch Z. 15 *Christi* aus **21** ὅτι < M **25** θή-λεων (!) Hu **28** ⟨οὔσας οὐδ'⟩ Diehl Kl Koe, vgl. lat.

7 videt . . . audit y **18ff** lat. ungenau Koe **20** duo μ duos x **23** accipiens Diehl, vgl. gr. audiens x **29** ⟨sanctis⟩ Diehl, vgl. gr.

δουκαίων περὶ τῶν ἑπτὰ ἀδελφῶν ἐσχηκότων μίαν γυναῖκα.

φέρε κατανοήσωμεν τοὺς τοῦ σωτῆρος περὶ ταῦτα λόγους, ἐν οἷς φησι· 5 *πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς οἱ ἄγγελοι* 10 *ἐν τῷ οὐρανῷ. πρὸς τοῦτο δὲ ζητήσει τις τοιαῦτα· ὁ λέγων σωτὴρ τοῖς Σαδδουκαίοις· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ ἐμφαί-* 15 *νει κατὰ τὰς γραφὰς παρίστασθαι τὸ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν μὴ εἶναι γάμους, ἅτε τῶν ἀνθρώπων ⟨ὁμοιωθ⟩ησομένων τοῖς ἐν οὐρανῷ ἀγγέλοις* 20 *παρ' οἷς οὐκ ἔστι γάμος.*

Nunc videamus Christi responsa, ⟨in⟩ quibus ait: *erratis nescientes scripturas neque virtutem dei. in resurrectione neque nubunt neque uxores accipiunt, sed sunt sicut angeli in caelo.* quaeritur hic: salvator, qui dicit ad Sadducaeos: *erratis nescientes scripturas neque virtutem dei*, indicat quoniam in quibusdam scripturis positum est, ut *in resurrectione* nuptiae non sint, hominibus videlicet factis in similitudine angelorum.

ποία οὖν γραφὴ δηλοῖ ὅτι ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίζονται; καὶ ποῦ τοῦ νόμου ἢ τῶν προφητῶν μανθάνο- 25 *μεν περὶ τῶν ἀναστησομένων ὅτι ἔσονται ὡς οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι; σαφῶς γὰρ τοιαῦτα ἐν τῇ | παλαιᾷ γραφῇ οὐχ εὑρίσκομεν.*

quae ergo scriptura est docens quoniam *in resurrectione neque nubunt neque uxores accipiunt*? et in qua scriptura vel legis vel prophetarum discimus, quoniam erunt qui resurrexerint *sicut angeli in caelo*? manifeste enim in 825 veteri testamento hoc non legitur scriptum.

30 *κατὰ μὲν τὸν Λουκᾶν τοῦτο οὐ ζητηθήσεται, ἀναγράψαντα τὸν σωτῆρα εἰρηκέναι· »οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γεννῶσι καὶ γεννῶνται, γα-*

32 Luc. 20, 34 (var. lect.)

15 *τὰς*] *quibusdam* lat. 17 f *ἀνθρώπων ⟨ὁμοιωθ⟩ησομένων* Kl, vgl. lat. und Hu *ἀναστησομένων* M H 21 *γραφὴ ἐν τῇ ἀναστάσει δηλοῖ ὅτι* H[a]

4 ⟨in⟩ Koe, vgl. gr. 6 l. resurrectione ⟨enim⟩? Kl, vgl. gr. 11 12 indicat + enim G L 12 quibusdam] lat. las *τινὰς* st. *τάς*? 15 similitudinem *μ*

μοῦσι καὶ γαμίσκονται« καὶ ⟨τὰ⟩
ἑξῆς καὶ μὴ εἰπόντα ἐν τῷ τόπῳ
τούτῳ τι πρὸς τοὺς Σαδδουκαίους
καὶ περὶ τοῦ ἐν ταῖς γραφαῖς
5 ταῦτα δηλοῦσθαι. κατὰ δὲ τὸν
Ματθαῖον ζητηθείη ἄν, ὁμοίως δὲ
καὶ κατὰ τὸν Μᾶρκον· κατ' αὐτὸν
γὰρ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε τοῖς
Σαδδουκαίοις· »οὐ διὰ τοῦτο πλα-
10 νᾶσθε μὴ γινώσκοντες τὰς γραφὰς
μηδὲ τὴν δύναμιν τοῦ θεοῦ; ὅταν γὰρ
ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γα-
μοῦσιν οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν
ὡς οἱ ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς«.
15 Ἕκαστος μὲν οὖν τῶν ἐπιστη-
σάντων τῇ ἐπαπορήσει ἡμῶν ζη-
τείτω
ἀπὸ τῶν γραφῶν παριστάμενα τὰ
ὑπὸ τοῦ σωτῆρος εἰρημένα περὶ τῶν
20 μετὰ τὴν ἀνάστασιν.
ἡμεῖς δὲ τοιαῦτα φήσομεν ὅτι πε-
ριέχουσι ταῦτα αἱ γραφαὶ οὐκ αὐτο-
λεξεὶ οὐδ' ὥστε τοῖς τυχοῦσι νοη-
θῆναι, ἀλλ'
25 ἐν τροπολογίᾳ.
»σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελ-
λόντων ἀγαθῶν« καὶ νομοθετήσας
τινὰ περὶ γυναικῶν καὶ ἀνδρῶν καὶ
διηγησάμενος γάμους δικαίους. οὐ
30 περὶ τούτων προηγουμένως λέγει ἃ
ἐκ τῆς προχείρου λέξεως ἐκλάβοι
τις ἄν, ἀλλὰ περὶ ὧν καὶ ἡμεῖς
προαπεφήναμεν παραθέμενοι τὰ περὶ

Et quaerat qui vult, si poterit
invenire.

nos autem dicimus quia scriptum
est, non tamen in ipsis sermonibus
manifeste ista dicentibus,
sed in mysterio indicantibus
secundum intellectum moralem.
nam cum sit »lex« umbra »futuro-
rum bonorum« et dicens quaedam
de viris et uxoribus et exponens
nuptias ⟨iustas⟩, non principa-
liter de ipsis nuptiis intellegitur,
quas nos simpliciter secundum
carnem nuptias aestimamus, sed
de talibus nuptiis quales nos

9 Marc. 12, 24f — 26 Hebr. 10, 1 — 32ff Vgl. S. 628, 18ff

1 ⟨τὰ⟩ Lo

15 poterit μ potuerit x 21 l. dicemus? Kl, vgl. gr. 22 tamen] autem γ 27 dicens] l. docens? Kl 29 ⟨iustas⟩ Diehl, vgl. gr. 32 nuptias < B

τοῦ γάμου τοῦ σωτῆρος ⟨καὶ τῆς ἐκκλησίας⟩ ἐσομένου ἐν τῷ μέλλοντι αἰῶνι. οἷον ⟨εἰ⟩ »Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ
5 τῆς ἐλευθέρας, καὶ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας«, οὐ πάντως στῆναί με δεῖ ἐπὶ τοῦ αἰσθητοῦ γάμου τῆς ἐλευ-
10 θέρας καὶ τῆς πρὸς τὴν παιδίσκην κοινωνίας· ταῦτα γάρ »ἐστιν ἀλληγορούμενα«. ἀλλ᾽ εἰ καὶ »ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ
15 προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«. οὐχ οὕτως ἀκουστέον τοῦ λεγομένου ὡς οὐδὲν μυστήριον δηλοῦντος· »τὸ« γὰρ »μυστή-
20 ριον τοῦτο μέγα ἐστὶ« καὶ (ὥς Παῦλός φησιν) »εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν« ἀναφερόμενον.
καὶ πρὸ βραχέος δὲ ἐκθέμενοι τὸ περὶ τῆς γαμουμένης τῷ ἀδελφῷ
25 τοῦ τετελευτηκότος ἀνδρὸς αὐτῆς ὡς ἐδυνήθημεν ἐξητάσαμεν τὸ βούλημα τοῦ νόμου.
εἰσὶ δὲ καὶ ἄλλοι μυρίοι περὶ γυναικὸς καὶ ἀνδρὸς νόμοι
30 (ὡς περὶ τοῦ βιβλίου τοῦ ἀποστασίου καὶ | περὶ τῶν δύο γυναικῶν ἑνὶ ἀνδρὶ γινομένων, μιᾶς μὲν ἀγα-

supra de Christo et ecclesia exposuimus fore in saeculo illo. utputa: »Abraham duos filios habuit. unum ex ancilla alterum ex libera. et qui ex ancilla secundum carnem natus est. qui autem de libera secundum promissionem«; non omnino oportet me stare in intellectu carnalium nuptiarum liberae et ancillae. sed haec alia significant ex aliis. et iterum: »propter hoc relinquet homo patrem et matrem et iungetur uxori, et erunt duo in carne una«; non ita debemus aestimare quod dicitur, quasi nullum mysterium demonstretur in eis, quoniam »mysterium illud magnum est«

de Christo et ecclesia.

et sunt alia mille loca de nuptiis scripta,

826

3 Gal. 4, 22f — 11 Vgl. Gal. 4, 24 — 12 Gen. 2, 24 Parr. — 19f Eph. 5, 32 — 23ff Vgl. S. 672, 31ff — 30 Vgl. Deut. 24, 3 — 31 Vgl. Deut. 21, 15

1 ⟨καὶ τῆς ἐκκλησίας⟩ Koe, vgl. lat. 3 ⟨εἰ⟩ Kl, vgl. Z. 12 6 γεγένηται M[a] H 13 καταλήψει H 23 βραχέως v | τὸ Kl τὸν M H 29 νόμοι] lat. las τόποι

2 illo < B

πωμένης ἑτέρας δὲ μισουμένης, καὶ
περὶ τῆς γαμουμένης αἰχμαλώτου
τῷ αὐτῆς ἐρασθέντι, γαμουμένης δὲ
μετὰ τὸ ξύρασθαι καὶ ἐν πενθικοῖς
5 κλαῦσαι τὸν πατέρα καὶ τὴν μητέρα
αὐτῆς),
ὧν ἕκαστος τὸ σεμνὸν καὶ θεῖον
ἔχει ἐν τῇ εὑρισκομένῃ ἀληθινῇ
τροπολογίᾳ. εἴ τις οὖν ἀναγινώσκων
10 τὸν νόμον καὶ τὰ περὶ γάμων
γυναικῶν καὶ ἀνδρῶν διεξερχόμενος
οἴεται μηδὲν πλέον τῶν ὑπὸ τοῦ
γράμματος σημαινομένων *** δηλοῦ-
σθαι, πλανᾶται μὴ εἰδὼς τὰς γρα-
15 φὰς μηδὲ τὴν δύναμιν τοῦ
θεοῦ.

20 35. Ζητήσαι δ' ἄν τις εἰ ⟨τὸ⟩
πλανᾶσθε μὴ εἰδότες τὰς γρα-
φὰς λεγόμενον τοῖς Σαδδουκαίοις,
μὴ προσιεμένοις ἄλλην γραφὴν ἢ
τὴν νομικήν, ἀναφορὰν ἔχει καὶ ἐπὶ
25 ἑτέρας παρὰ τὸν Μωσέως νόμον
γραφάς. ὁ μὲν οὖν τις φήσει κατ'
αὐτὸ τοῦτο ἐγκαλεῖσθαι τοὺς Σαδ-
δουκαίους ὅτι μὴ προσιέμενοι τὰς
ἑξῆς τῷ νόμῳ γραφὰς
30
πλανῶνται μὴ εἰδότες αὐτάς.
ἕτερος δὲ ἐρεῖ· ἀρκεῖ πρὸς τὸ τὴν

et unusquisque locus castum et
divinum de nuptiis continet in-
tellectum secundum expositionem
moralem. quicumque ergo scrip-
turas legit et nuptias virorum
atque uxorum, et nihil amplius
aestimat demonstrari in eis nisi
simplices nuptias, errat [in eis]
nesciens *scripturas neque virtutem
dei*:
sicut errabant Sadducaei nuptias
legentes in scripturis et carna-
liter eas intellegentes.

35. Quaeret aliquis hoc quod
dicit Sadducaeis: *erratis nescien-
tes scripturas*, utrum in hoc eos
errare significet, quoniam scrip-
turas alias extra libros Mosaicos
non legebant, aut quia nec ipsos
libros Mosaicos legentes intelle-
gebant. et dicet aliquis: in hoc
illos increpabat errare, quia non
legebant ceteras *scripturas* quae
sunt extra legem,
id est libros secretos, et ideo
errabant nescientes scripturas.
alius autem dicet: sufficit ad

2 Vgl. Deut. 21, 11—13

4 πενθικοῖς ⟨λόγοις⟩ Koe 7 ἕκα-
στος + *locus* lat., vgl. S. 695, 29
8 ἔχει ⟨περὶ γάμων⟩ Koe, vgl. lat.
13 *** Diehl Kl, vgl. lat. 20 ⟨τὸ⟩
Kl, vgl. lat. 21 μὴ] καὶ M 26 κατ'
Kl, vgl. lat. καὶ M H 28 τὰς] *ceteras*
lat. 32 αὐτάς] *scripturas* lat.

12 uxorum ⟨prosequitur⟩ ? Diehl,
vgl. gr. 14 [in eis] Kl, vgl. gr.
27 in < y 29 f lat. las τὰς ἑξῆς ⟨ἔξω⟩
τοῦ νόμου γραφὰς ? Diehl Kl 33 dicet
Koe, vgl. gr. dicit x

πλάνην ἐλέγχεσθαι τῶν Σαδδουκαίων τὸ μὴ εἰδέναι αὐτοὺς τὰς κατὰ Μωσέα γραφὰς τῷ μὴ ἐκλαμβάνειν τὸν ἐν ταύταις θεῖον νοῦν. δύο μέν-5 τοιγε πράγματά φησι μὴ εἰδέναι τοὺς Σαδδουκαίους, ἓν μὲν τὰς γραφάς, ἕτερον δὲ τὴν δύναμιν τοῦ θεοῦ, ἀφ' ἧς δυνάμεως τὰ τῆς ἀναστάσεως γίνεται καὶ ἡ καινὴ ἐν 10 αὐτῇ ζωή. δύναται δέ τις ⟨λέγειν⟩ τὸ μηδὲ τὴν δύναμιν τοῦ θεοῦ εἰδέναι λέγεσθαι τοὺς Σαδδουκαίους ἀναφέρειν ἐφ' ἑαυτὸν τὸν σωτῆρα· ἐπείπερ Χριστὸς θεοῦ δύναμίς ἐστι 15 καὶ θεοῦ σοφία, καὶ ἠγνόουν αὐτὸν οἱ Σαδδουκαῖοι, ὡς μὴ εἰδότες τὰς περὶ αὐτοῦ γραφὰς μηδὲ οἷα διακονήσεται τῇ ἐκ νεκρῶν ἀναστάσει τῶν σωθησομένων. ὁ δὲ μὴ ἀρεσκό-20 μενος τῷ διὰ τῆς τροπολογίας λύεσθαι τὸ περὶ τοῦ πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ ἐπηπορημένον,

25

δυεῖν θάτερον ποι⟨εῖν δε⟩ήσει, ἢ ἀπι-30 στήσει τοῖς ἐκκειμένοις ῥητοῖς ὡς οὐ καλῶς ἀναγεγραμμένοις, τῷ μὴ ἂν τὸν σωτῆρα τὰ μὴ γεγραμμένα εἰρηκέναι ὡς γεγραμμένα, ἢ τολμήσει ἀπιστῆσαι ὡς οὐκ ἀληθεύσαντι 35 τῷ Ἰησοῦ.

arguendum errorem Sadducaeorum, quod nesciebant Mosaicae legis *scripturas* ex eo quod divinum sensum earum non scrutabantur. duas tamen res dicit Sadducaeos nescire, unam quidem *scripturas*, alteram autem *virtutem dei*, per quam resurrectio fit et nova vita in ea. potest autem aliquis dicere, quoniam dominus arguens Sadducaeos nescire *virtutem dei*, se eos non cognoscere arguebat; ipse enim erat virtus dei et sapientia, et non cognoscebant eum Sadducaei quasi *nescientes scripturas* quae loquuntur de eo. propterea nec resurrectionem credebant, quam facturus fuerat ipse sanctorum suorum. qui autem non vult intellegere dictum hoc, ut Sadducaei ideo videantur culpari, quia *scripturas* de nuptiis quibusque positas moraliter non intellegebant secundum spiritalem expositionem,
sed simpliciter secundum corporalem historiam,
necesse habebit unum facere ex duobus: aut non credere praesentibus verbis Christi quasi male Christo dicente, qui dixit esse positum in scripturis, quod positum non erat; aut

14 Vgl. I. Kor. 1, 24; dazu *Π* 254, 2

10 ⟨λέγειν⟩ Koe, vgl. lat. 13 ἐπ' αὐτὸν ? Hu, doch s. Z. 10! 29 ποι⟨εῖν δε⟩ήσει Koe, vgl. lat. 30 ῥητοῖς + *Christi* lat.

9ff lat. frei 9, 10 autem y* < L 31ff lat. verstand falsch oder hatte lückenhafte Vorlage Koe

καὶ τρίτος δ' ἄν τις, ἐπὶ τοὺς ἀποκρύφους καταφεύγων λόγους, | ἔνθα δοκεῖ σαφέστερον τὰ περὶ τῆς μακαρίας γεγράφθαι ζωῆς, φήσει
5 ἐπ' ἐκείνους τὴν ἀναφορὰν εἶναι τῶν ἐνταῦθα γεγραμμένων ἐν τῷ
πλανᾶσθε μὴ εἰδότες τὰς γραφάς.

καὶ ὅρα εἰ μὴ πάντοθεν ἀτό-
10 ποις περιπεσεῖται διὰ τὸ φεύγειν τὴν τροπολογίαν.

εἴτε γὰρ τῇ γραφῇ ἀπιστεῖ, παρὰ τὸν ἐκκλησιαστικὸν ποιήσει λόγον· εἴτε
15 τῷ Ἰησοῦ, ὡς κατὰ σάρκα Ἰουδαῖος τὸ τοιοῦτο ποιήσει· εἴτε ἐπὶ τοὺς ἀποκρύφους ⟨λόγους⟩ καταφεύξεται, οὐκ ἐπὶ ὁμολογούμενον πρᾶγμα παρὰ τοῖς πεπιστευκόσιν ἐλεύσεται.
20 διόπερ ἐμοὶ οὐκ ἄλλως φαίνεται δύνασθαι λύεσθαι τὸ πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ·
ἐν γὰρ τῇ ἀναστάσει οὔτε γα-
25 μοῦσιν οὔτε γαμίσκονται
ἢ διὰ τῆς ἀνάλογον κειμένης ἀλληγορίας
παρὰ τῷ ἀποστόλῳ ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ περὶ παιδίσκης καὶ
30 ἐλευθέρας,
ἀποδοθησομένης καὶ εἰς τὰς λοιπὰς γραφὰς ἔνθα περὶ ἀνδρὸς καὶ γυναικὸς λέλεκταί τι. καὶ ὥσπερ πλανῶνται οἱ διὰ τὸ μὴ τροπολογεῖν τὰ
35 προφητικὰ οἰόμενοι μέλλειν ἡμᾶς

refugere ad libros secretos, in quibus de vita illa beata manifestius [827] videtur esse conscriptum. et dicet ad illas scripturas referendum esse, quod hic dominus dicit ad Sadducaeos:
erratis nescientes scripturas.

et vide nisi ex omni parte ⟨in inpossibilia⟩ cadat quicumque moralem scripturarum respuit intellectum.

propterea non aliter mihi videtur posse solvi quod dicitur: *erratis nescientes scripturas neque virtutem dei,*

nisi scripturas quis moraliter audiens aliam ex aliis intellexerit,

demonstrantes in quibus aliquid de viris et uxoribus loquuntur scripturae. et quemadmodum errant, qui propheticas scripturas non intellegentes moraliter putant

28. 29 Vgl. Gal. 4, 22

16 τὸ τοιοῦτο] τοῦτο H 17 ⟨λόγους⟩ Diehl Kl Koe 21 λύεσθαι M^c λυθήσεσθαι (?) M^a < H

3 videbitur R 9/10 ⟨in inpossibilia⟩ Diehl, vgl. gr. 26 quis x* qui μ

μετὰ τὴν ἀνάστασιν ἐσθίειν καὶ πίνειν σωματικὰ βρώματα ⟨καὶ πόματα⟩, ἐπεὶ ⟨καὶ⟩ αἱ λέξεις τῶν ⟨προφητικῶν⟩ γραφῶν τοιαῦτα περιέχουσιν, οὕτως καὶ τὰ περὶ γάμων γεγραμμένα καὶ ἀνδρῶν καὶ γυναικῶν τηροῦντες ἐπὶ τοῦ ῥητοῦ καὶ οἰόμενοι συνουσίαις ἡμᾶς καὶ τότε χρήσεσθαι, δι' ἃς οὐδὲ σχολάζειν ἐστὶ »τῇ προσευχῇ« δυνατὸν ἐν μολυσμῷ πως ὄντων καὶ ἀκαθαρσίᾳ τινὶ τῶν χρωμένων ἀφροδισίοις.

36. Μετὰ ταῦτα ζητῶ πότερον τὸ πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ ἐπὶ μόνον ἀναφέρεται τὸ ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται ἢ καὶ ἐπὶ τὸ ἀλλ' εἰσὶν ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ. οὐ γὰρ εὑρίσκω, ποῦ τῆς γραφῆς λέγονται οἱ σωθησόμενοι εἶναι ὡς ἄγγελοι | ἐν τῷ οὐρανῷ· εἰ μὴ ἄρα τις καὶ τοῦτο φήσει δηλοῦσθαι ἐν τῷ »σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, τραφεὶς ἐν γήρᾳ καλῷ« καὶ ⟨τῷ »προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ« ἢ⟩

post resurrectionem homines manducaturos et bibituros escas carnales et potus, quoniam et scripturae propheticae talia continent quaedam, sic et de nuptiis virorum et mulierum scripta secundum textum intellegentes putant nos etiam post exitum futuros esse in usu carnalium nuptiarum, propter quas nec vacare quis orationibus potest absque macula nec in hoc mundo.

36. Item quaero quod dicit: *erratis nescientes scripturas neque virtutem dei*, utrum ad illud solum pertinet quod dicit: *in resurrectione neque nubunt neque uxores accipiunt*, aut etiam ex eo quod ait: *sed erunt sicut angeli in caelo.* nec invenio alicubi scripturam dicentem sanctos post exitum fore *sicut angelos dei*; nisi forte (828) quis et hoc moraliter intellegat secundum illud, quod dicitur: »tu autem ibis ad patres tuos cum pace, nutritus in senecta bona«, item: »appositus est ad populum suum« aut:

9f Vgl. I. Kor. 7, 5 — 24 Gen. 15, 15 — 27 Gen. 25, 8 u. ö.

2/3 ⟨καὶ πόματα⟩ Kl, vgl. lat. 3 ⟨καὶ⟩ Diehl Kl Koe, vgl. lat. 4 ⟨προφητικῶν⟩ Koe, vgl. lat. | τοιαῦτα + *quaedam* lat. 8 συνουσίαις] *carnalium nuptiarum* lat. | χρήσεσθαι v χρήσασθαι H χρῆσθαι M 20—23 οὐ —οὐρανῷ < H 27 ⟨τῷ προσετέθη —ἢ⟩ Kl Koe, vgl. lat.

3 potus R B L potos G post *μ* 5 quidam R G[c] | sic x* sicut *μ* 18 ex eo? Koe 23 lat. las καὶ τοῦτο ⟨κατὰ τροπολογίαν νοήσας⟩ φήσει Koe

τῷ »προσετέθη πρὸς τὸ γένος αὐτοῦ«.
ἢ τῷ ἐν Δευτερονομίῳ λεγομένῳ περὶ
ἀνθρώπου ὡς τεταγμένου ὑπὸ θεοῦ
ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ἑαυτῷ δὲ
5 τὴν λέξιν τηρήσας εὑρήσεις.
ἑξῆς τούτῳ ἔστιν ἰδεῖν τὸ περὶ τῆς
ἀναστάσεως τῶν νεκρῶν οὐκ
ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ
τοῦ θεοῦ λέγοντος· ἐγώ εἰμι
10 ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς
Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; οὐκ
ἔστιν ὁ θεὸς θεὸς νεκρῶν
ἀλλὰ ζώντων. καὶ εἰς τοῦτο δὲ
φήσομεν ὅτι μυρία δυνάμενος περὶ
15 τοῦ ὑπάρχειν τὴν μέλλουσαν ζωὴν
τοῖς ἀνθρώποις παραθέσθαι
ἀπὸ προφητῶν ὁ σωτήρ, τοῦτο
οὐ πεποίηκεν,

20 διὰ τὸ τοὺς Σαδδουκαίους μόνην
προσίεσθαι τὴν Μωσέως γραφήν, ἀφ'
ἧς ἐβουλήθη αὐτοὺς συλλογισμῷ δυ-
σωπῆσαι τοιοῦτό τι δηλοῦντι·
ὁ θεὸς εἶπε Μωσεῖ· »ἐγώ εἰμι θεὸς
25 Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς
Ἰακώβ«, ἡνίκα ἐπὶ τῆς βάτου ἐχρη-
μάτισεν αὐτῷ. ἤτοι οὖν ὁ θεὸς θεὸς
ὄντων ἐστὶν ἢ θεὸς οὐκ ὄντων.
ἀλλ' ἄτοπον λέγειν ὅτι ὁ θεὸς ὁ
30 εἰπών· ⟨»ἐγώ εἰμι⟩ ὁ ὤν«, »τοῦτό μοί

»appositus est ad genus suum«.

restat ut dicamus de eo quod ait:
*non legistis de resurrectione quod
dictum est vobis a deo: ego sum
deus Abraham et deus Isaac et
deus Iacob? non est deus mor-
tuorum deus sed viventium.* et hic
dicimus quoniam, cum posset
mille exempla proferre osten-
dentia resurrectionem futuram,

hoc non fecit ex prophetis,
sed tantum ex lege,
quoniam Sadducaei tantum Mo-
saicam legem legebant, ex qua
volens illos placare protulit inde
exemplum.

deus enim, qui [est] dicit ipse:
»ego sum qui sum«, et: »hoc mihi

1 Gen. 35, 29 — **2** Vgl. Deut. 4, 32 — **13ff** Vgl. Hieron. in Matth. 180E: *ad comprobandam resurrectionis veritatem multo aliis manifestioribus exemplis uti potuit* — **20ff** Vgl. Hieron. in Matth. 181 B: *hi quinque tantum libros Mosi recipiebant, prophetarum vaticinia respuentes*; *stultum ergo erat inde proferre testimonia* etc. — **24** Ex. 3, 6 — **30f** Ex. 3, 14. 15

2 *τῷ ἐν* ∼ H **6** *τοῦτο* M **11** sed deus G L **29** [est] Kl, **31** ⟨*ἐγώ εἰμι*⟩ Kl, vgl. lat. u. LXX vgl. gr | dixit L

ἐστιν ὄνομα«, τῶν οὐδαμῶς ὄντων θεός ἐστιν. εἰ δὲ τοῦτο ἄτοπον, ὄντων θεός ἐστι καὶ ζώντων καὶ ὑφεστηκότων καὶ αἰσθανομένων τῆς χά-
5 ριτος,

nomen est sempiternum«, [si] inpossibile est, ut dicatur eorum deus esse, qui non sunt. et si hoc inpossibile est, ergo eorum est *deus* qui sunt et *qui vivunt* et ⟨extant et⟩ sentiunt beneficium eius.

ἧς αὐτοῖς ὁ θεὸς ἐδωρήσατο, θεὸν ἑαυτὸν ἀναγορεύων αὐτῶν καὶ λέ-
10 γων· »τοῦτό μού ἐστι μνημόσυνον αἰώνιον«. ζῶσιν ἄρα αἰσθανόμενοι τοῦ θεοῦ καὶ τῆς χάριτος αὐτοῦ ὁ Ἀβραὰμ καὶ ὁ Ἰσαὰκ καὶ ὁ Ἰακὼβ ⟨καὶ⟩ καθ' ἕκαστον αὐτῶν ἰδίως
15 χρηματίζει θεός·
οὐ γὰρ γέγραπται· »ἐγὼ θεὸς Ἀβραάμ« καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἀλλ' »ἐγώ εἰμι θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ«.
20

et vide, quia non dixit: »ego sum deus Abraham« et Isaac et Iacob, sed: »deus Abraham et deus Isaac et deus Iacob«,
in alio autem loco sic dixit: »vade et dic ad Pharaonem: deus Hebraeorum misit me«.

καὶ οὕτως γε ἀνέγραψαν Ματθαῖος καὶ Μᾶρκος καὶ Λουκᾶς, ἵν' (οἶμαι)
25 παραστήσωσι τοῖς προσέχουσι τῇ ἀναγνώσει ὅτι καθ' ἕκαστον αὐτῶν ὁ θεὸς θεός ἐστι, τοῦτ' ἐξαίρετον αὐτοῖς χαριζόμενος. οὐ γὰρ ἦσαν ὅμοιοι τοῖς Ἑβραίοις, ἵνα συλληπτι-
30 κῶς ὥσπερ ἐκείνων οὕτω καὶ τούτων ὁ θεὸς λέγηται.

qui enim perfectissimi sunt circa deum (quantum ad conparationem dico ceterorum hominum) plenius totum habent deum in se; propterea non communiter, sed singulariter eorum dicitur deus. utputa si dicatur: ager ille eorum est, ostendimus quod unusquisque eorum, qui possident agrum illum,

10 Ex. 3, 15 — **18f** Ex. 3, 6 — **20** Ex. 7, 16 — **23f** Vgl. Matth. 22, 32; Marc. 12, 26; Luc. 20, 37

1 *ὄνομα* + *sempiternum* lat. **8** *ἧς*] *οἷς* M **14** *⟨καὶ⟩ . . . χρηματίζει* Kl Koe *χρηματίζων* M H

1 [si] Kl, vgl. gr. **6** ⟨extant et⟩ Koe, vgl. gr. **22** me + ad te G[c] **26ff** ist wohl nicht parallel, sondern gehört hinter gr. Z. 31 **26** perfectissimi Diehl Kl Koe perfectissime x

5

ἐπ᾽ ἐκείνων μὲν γὰρ γέγραπται· »ὁ θεὸς τῶν Ἑβραίων ἀπέστειλέ με«, ἐπὶ δὲ τούτων κατὰ ἕνα, ἵνα παραστήσῃ ὁ λόγος ὅτι εἷς Ἀβραὰμ ἰσό-
10 τιμος ὅλῳ ἔθνει Ἑβραίων ἐστίν· οὐ γὰρ ἐπίσης ἐστὶν ὁ θεὸς | θεὸς Ἀβραὰμ καὶ θεὸς Ἑβραίων. τὸ δ᾽ ὅμοιον ἐρεῖς καὶ περὶ τοῦ θεὸν αὐτὸν εἶναι τοῦ Ἰσαὰκ καὶ θεὸν τοῦ Ἰακὼβ
15 ὡς θεὸν τῶν Ἑβραίων. τοιαύτης δὲ τιμῆς ἠξιῶσθαι νομίζω καὶ τὸν Ἠλίαν, διὸ ἀναγέγραπται ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· »ὁ θεὸς Ἠλιοῦ«.

Τοῦ μὲν οὖν Ἀβραὰμ θεὸς μό-
20 νον ἦν ὁ θεός, ὁμοίως δὲ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ. τοῦ δὲ κρείττονος αὐτῶν σωτῆρος ἡμῶν οὐ μόνον θεός ἐστιν ὁ θεός, ἀλλὰ καὶ πατήρ. διὸ καλῶς λέγεται παρὰ τῷ
25 ἀποστόλῳ· »εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ«. οὗτος δὴ Ἰησοῦς Χριστός, οὗ »εὐλογητὸς ὁ θεὸς καὶ πατήρ«, ἐχαρίσατο τοῖς γνησίοις αὐτοῦ μα-
30 θηταῖς τὸ τὸν αὐτὸν εἶναι αὐτῶν οὐ μόνον θεὸν ἀλλὰ καὶ πατέρα. φησὶ γὰρ ἀναστὰς ἐκ νεκρῶν πρὸς τὴν Μαριάμ·
»μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα
35 πρὸς τὸν πατέρα μου·
πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν

partem modicam habent de eo et non habent eum in toto; si autem dicimus, quoniam ager ille illius est, demonstramus quia totum agrum illum possidet ille. sic et ubi dicitur »deus Hebraeorum«, inperfectio demonstratur eorum, quoniam unusquisque eorum aliquid modicum de deo habebant. Abraham autem 829 totum habebat deum et Isaac totum habebat deum et Iacob totum habebat deum. ideo non dicitur in communione: deus eorum, sed: »deus Abraham et deus Isaac et deus Iacob«, quasi singuli eorum totum habeant deum. sic et alibi dicitur: »deus Eliae«.

Christi autem et deus et pater est.

quod beneficium singulare donavit etiam discipulis suis, ut non solum deus sit eorum, sed etiam pater, sicut dicit ad Mariam post resurrectionem suam:

»vade ad fratres meos et dic eis: ascendo ad patrem meum et

6 Ex. 7, 16 — 15 (lat.) Ex. 3, 6 — 18 IV. Regn. 2, 14 — 25. 28 II. Kor. 1, 3 — 34 Joh. 20, 17

12 δὲ H 19 μὲν < M

17 habebant B L Pasch 37 ascendo] vado G

πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου καὶ θεὸν ὑμῶν«.
ἐγὼ δ' οἶμαι ὅτι τότε καὶ τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ
5 ἐχαρίσατο, ἵνα μηκέτι μόνον θεὸς ᾖ αὐτῶν ὁ θεὸς ἀλλ' ἤδη καὶ πατήρ.
ὁ δὲ Λουκᾶς προσέθηκε τῷ »οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν ἀλλὰ ζώντων«, κειμένῳ καὶ παρὰ Ματθαίῳ
10 καὶ Μάρκῳ, τὸ »πάντες γὰρ αὐτῷ ζῶσιν«. ὅπερ ἦν οὐχ ὁ τυχὼν ἔπαινος τῶν πατριαρχῶν, ἅτε τοῦ τηλικούτου σωτῆρος ἡμῶν μαρτυροῦντος αὐτοῖς οὐ μόνον ὅτι ζῶσιν, ἀλλὰ καὶ
15 ὅτι ὃ ζῶσι θεῷ ζῶσι καὶ οὐκ ἄλλῳ τινί.
τοῦτο δὲ τὸ »πάντες γὰρ αὐτῷ ζῶσι« καλὸν παντὶ τρόπῳ ἀσκεῖν ἡμᾶς καὶ ἀναλαβεῖν,
20 ἵνα πάντες μηδενὶ ἄλλῳ ἢ τῷ θεῷ ζήσωμεν ἐν Χριστῷ.
τὴν δὲ ἐν βραχυλογίᾳ ἀπόδειξιν ἐκ τῶν Μωσέως γραμμάτων, τοῖς μόνα ἐκεῖνα παραδεχομένοις ὡς θεῖα περὶ
25 τοῦ ζῆν τοὺς πατριάρχας, ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο, τὴν διδαχὴν ἀποδεχόμενοι τοῦ σωτῆρος σοφωτάτην καὶ δυναμένην τοὺς δυσπίστως ἔχοντας ἐπιστρέψαι πρὸς
30 αὐτόν.

patrem vestrum, ad deum meum et ad deum vestrum«.

Lucas autem hoc addidit amplius dicens: »non est deus mortuorum, sed vivorum; omnes enim ei vivunt«, quod non ad modicam laudem respicit patriarcharum,

qui non solum vivebant, sed deo vivebant quod vivebant et nemini alteri,

ut nos festinemus nemini vivere, nisi deo ⟨in Christo⟩.

7 Luc. 20, 39 — 9 Vgl. Matth. 22, 32; Marc. 12, 27 — 10. 17 Luc. 20, 38 — 14 f Vgl. Gal. 2, 19. 20 (u. Luc. 20, 38)

5 μηκέτι M[c] H μή M[a] 8 θεός[2] < M 14 ὃ ζῶσιν M 17 αὐτῶν M 18 ἡμᾶς καὶ Diehl ~ M H 21 ζήσομεν M ζῆ⟨ν σπουδά⟩σωμεν Diehl, vgl. lat. 30 αὐτόν + τέλος τοῦ ἁγίου εὐαγγελίου H

20 ut G[a] B L et R G[c] 21 ⟨in Christo⟩ Diehl Kl, vgl. gr.

Nachwort

Die zweite Hälfte des hiermit beendeten Bandes wurde nach den gleichen Grundsätzen angefertigt wie sie in dem Vorwort 1935 entwickelt sind. Nur zwei Bemerkungen möchte ich hier anfügen:

1. Für das Lesen der Korrekturen von Bogen 20—44 hatte ich meinen Mitarbeiter Benz leider nicht mehr zur Seite.

2. Die letzte Entscheidung über die Textherstellung ist unter beständigem Austausch mit den ebenso selbstlosen wie sachkundigen Helfern Diehl und Koetschau erfolgt. Dabei war es jedoch nicht möglich, alle Verbesserungsvorschläge im Apparat zu berücksichtigen; ein Teil mußte für die Nachträge im Schlußband zurückgestellt werden.

Halle, 1. März 1937. Erich Klostermann.